ISTITUTO DI STUDI BIZANTINI E NEOELLENICI
UNIVERSITÀ DI ROMA
CON IL CONCORSO DEL CONSIGLIO NAZIONALE DELLE RICERCHE

ANALECTA HYMNICA GRAECA

E CODICIBUS ERUTA ITALIAE INFERIORIS

IOSEPH SCHIRÒ
CONSILIO ET DUCTU EDITA

V

CANONES JANUARII

ALCESTIS PROIOU
COLLEGIT ET INSTRUXIT

ROMA 1971

TIPOGRAFIA S. PIO X - VIA DEGLI ETRUSCHI, 7-9 - ROMA

MANU SCRIPTA E QUIBUS CARMINA SUMPTA SUNT

Ch *Crypt. Δ.α. V*, a. 1101, membran., mm 260×180, Sophronio hieromonacho calligrapho cryptoferratensi adiudicandus: Menaeum ianuarii. — Cfr. A. Rocchi, *Codices Cryptenses seu Abbatiae Cryptae Ferratae*, Tusculani 1883, 297-299.

Cg *Crypt. Δ.α. XV*, s. XI, membran., mm 240×180, calligrafo carbonensi exaratus: Menaeum ianuarii. — Cfr. A. Rocchi, op. cit., 315-316.

Cx *Crypt. Δ.α. XX*, s. XIII, membran., mm 250×180, initio et fine mutilus: Menaeum ianuarii-februarii. — Cfr. A. Rocchi, op. cit., 321-322.

Cy *Crypt. Δ.α. XXIV*, s. XIII vel XIV, membran. palimpsestus, mm 240×190, initio mutilus: Menaeum decembris-ianuarii. — Cfr. A. Rocchi, op. cit., 325-326.

Ct *Crypt Δ.α. XXXII*, s. XII, membran., mm. 320×230, initio et fine mutilus: Menaeum octobris-ianuarii. — Cf. A. Rocchi, op. cit., 331-332.

M *Mess. gr. 52* (*οέ, olim ρκή*), s. XI, membran., mm 312×214, initio et fine mutilus: Menaeum septembris-ianuarii, musicis notis instructum. Lectiones Veteris et Novi Testamenti. Epistulae et Evangelia in festis maioribus. — Cfr. A. Mancini, *Codices graeci Monasterii Messanensis S. Salvatoris*, Messanae 1907, 101.

Mf *Mess. gr. 136* (ρκδ'), s. XIII, membran., mm 230×250, initio mutilus: Anthologium canonum ianuarii-augusti. — Cfr. A. Mancini, op. cit., 198.

Sa *Paris. Suppl. gr. 32*, s. XIII, membran., mm 300×210; scriptura hydruntina patet: Menaeum septembris-februarii, initio et fine mutilum. — Cfr. H. Omont, *Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale*, III, Paris 1888, 207; M. L. Concasty, *Manuscrits grecs originaires de l'Italie Méridionale conservés à Paris*, in « Atti dell'VIII Congresso Internazionale di Studi Bizantini, Palermo 1951 », I, Roma 1953, 29.

HC = *Ὡρολόγιον ... κατὰ τὴν ἔκπαλαι τάξιν οὐ μὴν ἀλλὰ καὶ τυπικὸν τοῦ τῆς Κρυπτοφέρρης μοναστηρίου ...* Ἐν Ῥώμῃ 1677.

HR = *Ὡρολόγιον τὸ μέγα.* Ἐν Ῥώμῃ 1876.

MG = *Mélanges Joseph de Ghellinch, S. J.*, I-II. Gembloux 1951. (*Museum Lessianum – Section historique* 13-14).

MR = *Μηναῖα τοῦ ὅλου ἐνιαυτοῦ*, I-VI. Ἐν Ῥώμῃ 1888-1901.

NS = *Νέα Σιών.* Ἐκκλησιαστικὸν περιοδικὸν Σύγγραμμα. Ἐν Ἱεροσολύμοις.

PaR = *Παρακλητικὴ ἤτοι Ὀκτώηχος ἡ μεγάλη.* Ἐν Ῥώμῃ 1885.

PAS = J. B. Pitra, *Analecta Sacra spicilegio Solesmensi parata*, I-IV. Parisiis-Tusculi-Venetiis 1876-1884.

Pent = *Πεντηκοστάριον... ἐν ᾧ καὶ προσετέθη ἡ παλαιὰ Ἀκολουθία τῆς ἑβδομάδος τῆς Διακαινησίμου, σὺν τοῖς Τριῳδίοις μετὰ τὸ Ἀντιπάσχα.* [Roma, curante Ph. Vitali] 1738.

PeR = *Πεντηκοστάριον χαρμόσυνον ...* Ἐν Ῥώμῃ 1883.

PHG = J. B. Pitra, *Hymnographie de l'Église grecque*, Rome 1867.

PG = Migne, *Patrologia Graeca*, Lutetiae Parisiorum, 1857-1866.

PID = *Παρακλητικὸν σὺν Θεῷ ἁγίῳ τῆς ὑπεραγίας Θεοτόκου. Ποίημα τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ ...* [Romae, curante Ph. Vitali] 1738.

Savilius, Chrysostomi opera omnia, VIII = Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, τῶν εὑρισκομένων τόμος ὄγδοος, δι' ἐπιμελείας καὶ ἀναλώμασι Ἑρρίκου τοῦ Σαβιλίου, ἐκ παλαιῶν ἀντιγράφων ἐκδοθείς. Etonae 1612.

Synax. CP. = H. Delehaye, *Synaxarium Ecclesiae Constantinopolitanae* (Propylaeum ad Acta Sanctorum Novembris). Bruxellis 1902.

Synaxarium = id. id.

TR = *Τριῴδιον κατανυκτικόν, περιέχον ἅπασαν τὴν ἀνήκουσαν αὐτῷ ἀκολουθίαν τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς.* Ἐν Ῥώμῃ 1879.

TRM = N. Τωμαδάκη, *Ῥωμανοῦ τοῦ Μελῳδοῦ Ὕμνοι*, I-III. Ἀθῆναι 1952-1957.

ANALECTA HYMNICA

IN SANCTUM BASILIUM

Synaxarium, 364-366: ..... τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου, ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, τοῦ μεγάλου ..... Ἐν λόγοις ..... οὐ μόνον τοὺς κατ' αὐτὸν ἀλλὰ καὶ τοὺς παλαιοὺς ὑπερέβαλε· διὰ γὰρ πάσης ἐλθὼν ἰδέας παιδεύσεως, ἐν ἑκάστῃ τὸ κράτος ἐκτήσατο. Οὐχ ἧττον δὲ τὴν διὰ πράξεως ἀσκήσας φιλοσοφίαν καὶ διὰ ταύτης τῇ θεωρίᾳ τῶν ὄντων προσβάς, ἐπὶ τὸν ἀρχιερατικὸν θρόνον ἀνήχθη· ἔνθα δὴ πολλοὺς ἀγῶνας ὑπὲρ τῆς ὀρθοδόξου πίστεως διανύσας καὶ τῷ σταθερῷ τοῦ φρονήματος καὶ ἀτρέπτῳ τὸν ὕπαρχον καταπλήξας καὶ λόγους ἐκθείς, δι' ὧν τὰ τῶν ἑτεροδόξων φρονήματα κατεβρόντησε καὶ τὴν ἐν ἤθει κατάστασιν ἐξεπαίδευσεν καὶ τῶν ὄντων κατάστασιν καὶ γνῶσιν κατέστησεν ἐναργῆ καὶ διὰ πάσης ἀρετῆς τὴν τοῦ Χριστοῦ ποίμνην ὁδηγήσας, πρὸς Κύριον ἐξεδήμησεν.....

Crypt. Δ.α. V = Ch, ff. 2v-5

Ὁ κανὼν παρακλητικὸς φέρων ἀκροστιχίδα· Ἕκτον μέλισμα, Βασίλειε, προσδέχου· Ἰωσήφ.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Ἐν ταῖς λαμπρότησι πάντων
περιχαρῶς,
ἱερὲ Βασίλειε,
τῶν ἁγίων κατοικῶν,
5 σὺν αὐτοῖς ἱκέτευε τυχεῖν
ἱλασμὸν ἁμαρτιῶν
τοὺς εὐφημοῦντάς σε.

---

tit. Τῇ ἑσπέρᾳ κανὼν παρακλητικὸς τοῦ ὁσίου πατρὸς ἡμῶν βασιλείου φέρων ... nomen Ἰωσὴφ in margine scriptum invenitur
heirm. α' EE 159, n. 224, Joannis

Καταστραπτόμενος δόξης
τῆς θεϊκῆς,
10 ἐπὶ γῆς ὡς ἄγγελος
ἐλειτούργησας Θεῷ,
ὃν ἀεὶ ἱκέτευε, σοφέ,
ὑπὲρ πάντων τῶν πιστῶς
ἀνευφημούντων σε.

15 Τὰ σκοτεινότατα πάθη,
τοὺς λογισμοὺς
τοὺς παρενοχλοῦντάς μοι,
ἐνθυμήσεις, βλαβερὰς
ἐπηρείας σκέδασον, Χριστὸν
20 δυσωπῶν τὸν ἀγαθόν,
πάτερ Βασίλειε.

θεοτ. Ὁ ὑπερούσιος Λόγος
οὐσιωθεὶς
ὅλον τὸ ἡμέτερον
25 διὰ σπλάγχνα οἰκτιρμῶν,
ἐκ σοῦ ἀνατέταλκεν, ἁγνή,
συντριβέντα τῇ φθορᾷ
ἀνακαλούμενος.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*
κύριε ὁ Θεός μου,

Νοῒ ἀΰλῳ ἀστραπὰς
30 εἰσδεχόμενος, πάτερ,
τὰς ἀΰλους ἐνθέως,
ἐναπήστραψας αὐγὰς
δογμάτων φωτοειδεῖς
καὶ τὸν κόσμον
35 ὅλον κατελάμπρυνας.

Μὴ κατακρίνῃς με, Χριστέ,
ὅταν μέλλῃς με κρῖναι,

19 ἐπιρείαις
heirm. γ' EE 159, n. 224, Joannis

κατακρίσεως ἔργα
κεκτημένον, ἀλλ' εὐχαῖς
40 τοῦ ἱεράρχου φρικτῆς
καταδίκης
λύτρωσαι, φιλάνθρωπε.

Ἐν παραβάσει ἐντολῶν
ὅλον ἠχρειωμένον,
45 ἀνακάλεσαι, πάτερ,
καὶ οἰκείωσον Θεῷ
f. 3 προστρέχοντά με || τῇ σῇ
προστασίᾳ,
ἅγιε Βασίλειε.

θεοτ. 50 Λαὸν καὶ ποίμνην σου, ἁγνή,
ῥῦσαι πειρατηρίων
καὶ παντοίων σκανδάλων
καὶ ἐχθρῶν ἐπιδρομῆς
καὶ πάσης ἄλλης ὀργῆς
55 δυσωποῦσα
Λόγον, ὃν ἐκύησας.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Τῆς ἀρρήτου σοφίας
θεοπτικῶς
....

ᾠδὴ δ'. *Χριστός μου δύναμις*
Θεὸς καὶ κύριος

Ἰλύος ῥῦσαί με
παθῶν, Βασίλειε,
καὶ λαμπρύνας τὸν νοῦν μου,

κάθ. MR III, 11
heirm. δ' EE 159, n. 224, Joannis

60 εἰσδεκτικὸν
θείων ἐπιλάμψεων
ταῖς ἱεραῖς σου προσευχαῖς
δεῖξον, ὅπως μακαρίζω σε.

Στολήν με ἔνδυσον
65 ἀπολυτρώσεως,
τῶν παθῶν μου τὸν σάκκον
ῥῆξον ταῖς σαῖς
προσευχαῖς, Βασίλειε,
καὶ ἐνδυνάμωσον ποιεῖν
70 τοῦ Θεοῦ τὸ θεῖον θέλημα.

Μὴ θριαμβεύσῃς μου
ἐν ὥρᾳ κρίσεως
τὰ κρυφῇ πεπραγμένα,
ἀλλὰ τῷ σῷ
75 οἴκτειρον ἐλέει με,
ὁ ἱερός σε δυσωπεῖ,
ὑπεράγαθε, Βασίλειος.

θεοτ. Ἁγία δέσποινα
καὶ παναμώμητε,
80 σωματώσασα Λόγον,
ἁγιασμὸν
τῇ ψυχῇ μου δώρησαι
ἀπονεκροῦσα τῶν παθῶν
τὰ σκιρτήματα πρεσβείαις σου.

85 ᾠδὴ ε΄. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Βεβαρυμένον με στεναγμῶν,
πάντων τῶν τοῦ σώματος παθῶν
καὶ προφανῶς κινδυνεύοντα,
f. 3v ‖ σοῦ ταῖς προστασίαις,
πάτερ, διέγειρον

---

heirm. ε΄ EE 159, n. 224, Joannis

90 γνησίας μετανοίας
τρόποις φαιδρύνων με.

Ἀποσκοπῶν πάντοτε Θεοῦ
εἰς μακροθυμίαν, δαπανῶ
τῇ ῥαθυμίᾳ τὸν βίον μου·
95 σπεῦσον διεγεῖραι
πρὸς μετανοίας ἀεί,
Βασίλειε, τὸν κτίστην
ἐπικαλούμενος.

Συντετριμμένῃ, Λόγε, ψυχῇ
100 νῦν καθικετεύω σε, ὡς πρὶν
ἡ Χαναναία, καὶ δέομαι·
«κύριε οἰκτῖρμον,
σύ με ἐλέησον
εὐχαῖς τοῦ ἱεράρχου
105 ὡς ὑπεράγαθος».

θεοτ. Ἱκετηρίαν πρὸς τὸν ἐκ σοῦ
ποίησον τεχθέντα ὑπὲρ νοῦν,
θεοχαρίτωτε δέσποινα,
ὅπως ἀοράτων
110 καὶ ὁρωμένων ἐχθρῶν
λυτρώσηται τοὺς πίστει
ὑμνολογοῦντάς σε.

ᾠδὴ ς΄. *Τοῦ βίου τὴν θάλασσαν*

Λαμπτὴρ θεαυγέστατε,
φωταγώγησον ἡμῶν
115 τὸν λογισμόν, Βασίλειε,
τὸν φωτοδότην κύριον καὶ Θεὸν
θερμῶς ἱλεούμενος,

---

heirm. ς΄ EE 159, n. 224, Joannis

99-103 cfr. Matth. 15,22

ἵνα πίστει καὶ πόθῳ
εὐφημοῦμέν σε.

120 Εἰς βάθη τοῦ πνεύματος
σὺν τῷ πνεύματι, σοφέ,
θεοπρεπῶς ἐνέκυψας
καὶ θεολόγος θεῖος ἀποφανθείς,
τριάδα τὴν ἄκτιστον
125 ἀναπτύξεσι θείαις
διετράνωσας.

Ἱστίῳ πτερούμενοι
τῶν δογμάτων σου, σοφέ,
καὶ τῶν παθῶν κλυδώνιον
130 διαπερῶσι, φθάνουσι γαληνοὺς
λιμένας, Βασίλειε,
ἀπαθείας, ἐν πίστει
οἱ τιμῶντές σε.

θεοτ. Ἐλπὶς ἀκαταίσχυντε
135 τῶν πιστῶν καὶ βοηθὲ
χειμαζομένων πάντοτε,
μή με παρίδῃς, δέσποινα τοῦ παντός,
πελάγει τῶν θλίψεων
καὶ παθῶν τρικυμίαις
140 χειμαζόμενον.

Κοντάκιον.

Ἦχος πλ. δ'. *Τῷ φαεινῷ σου βίῳ*

Τῆς καθαρᾶς σου γλώττης
τὰ πάνσοφα δόγματα
τῆς βδελυρᾶς ἀπάτης
ἐξήρανε ῥεύματα,
5 Βασίλειε οὐρανοφάντορ,
τῶν εὐσεβῶν

119 εὐφημοῦμεν pro εὐφημῶμεν habeas heirm. κονταχ. et οἴκ. PAS I, 355

δογμάτων ὁ πρόμαχος·
πρέσβευε ὑπὲρ ἡμῶν
τῶν ἑορταζόντων
10 ἐν πόθῳ τὴν μνήμην σου.

⟨Οἱ οἶκοι.⟩ *Τὸν μύρῳ θείῳ χρισθέντα*

f. 4 ‖ Ἀξίως ἡ ἐκκλησία
τῇ μνήμῃ σου, ἱεράρχα,
ἐν τοῖς λόγοις σου φαιδρῶς
ὡραΐζεται καὶ κραυγάζει·
15 « μύστα τοῦ λόγου,
ἀποστόλων κοινωνέ,
ἅγιε Βασίλειε,
βασιλείας οὐρανῶν
μέτοχος χρηματίζων,
20 πᾶσι σὺν ἱεράρχαις
μνημονεύειν μὴ παύσῃ πρὸς Θεὸν
τῶν εὐσεβῶς σε ὑμνούντων
καὶ ἑορταζόντων
ἐν πόθῳ τὴν μνήμην σου ».

25 Σοῦ πᾶσαν εἰς γῆν ὁ φθόγγος
ἐξῆλθε τὴν οἰκουμένην·
ὅθεν πᾶσα ἡ Χριστοῦ
ἐκκλησία ἀποστόλων σε
κατονομάζει
30 τρισκαιδέκατον σαφῶς,
πάνσοφε Βασίλειε,
ἣν πρεσβείαις σου ἀεὶ
σῷζε πάσης ἀνάγκης,
σκέπε πάσης ἐκ βλάβης
35 καὶ μνημόνευε πάντων τῶν πιστῶς
ἀνευφημούντων σε, μάκαρ,
καὶ ἑορταζόντων
ἐν πόθῳ τὴν μνήμην σου.

23 post ἑορταζόντων orat. detruncat librarius

Μισήσας πρόσκαιρον κόσμον
40 καὶ πάντα τὰ ἐν τῷ κόσμῳ,
τῆς σοφίας ἱερὸς
ἐχρημάτισας ὄντως οἶκος
καὶ ἀνεδείχθης
νομοθέτης μοναστῶν,
45 ἅγιε Βασίλειε,
οὓς πρεσβείαις σου ἀεί,
ὥσπερ πάλαι τοῖς λόγοις,
σκέπε, φρούρει, ὁδήγει
πρὸς ἐκπλήρωσιν νόμων τῶν σεπτῶν,
50 ὅπως ὑμνοῦμέν σε πάντες
οἱ ἐπιτελοῦντες
ἐν πόθῳ τὴν μνήμην σου.

ᾠδὴ ζ′. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Πυρακτούμενος τῷ ζήλῳ, παμμακάριστε,
τῆς ὀρθοδόξου πίστεως,
πῦρ ἀπέσβεσας
κακοδόξων πλάνης ἐν Χριστῷ
145 φωστὴρ γεγονὼς τῶν εὐσεβῶν
καὶ κυβερνήτης καὶ λιμὴν
καὶ πρὸς Θεὸν ὁδηγός.

Ῥητορεύων τὰ σωτήρια διδάγματα,
αἱρετιζόντων στόματα
150 ἐναπέφραξας·
διὰ τοῦτο πίστει σοι βοῶ·
« ἀδίκων χειλέων με, σοφέ,
καὶ ἀπὸ γλώσσης πονηρᾶς
ῥῦσαι ταῖς σαῖς προσευχαῖς ».

155 Ὀκνηρίᾳ κατακρύψας ὅπερ εἴληφα
εἰς ἐργασίαν τάλαντον,

---

41 ἱερῶς 49 νόμον τὸν σεπτὸν 50 ὑμνοῦμεν pro ὑμνῶμεν habeas
heirm. ζ′ EE 159, n. 224, Joannis

155-157 cfr. Matth. 25,14-30

ἀπεκδέχομαι
τὰς ἐκεῖ κολάσεις καὶ βοῶ·
f. 4v ‖ « οἰκτείρησον, σῶσόν με, Χριστέ,
160 ταῖς Βασιλείου προσευχαῖς,
ἵνα ὑμνῶ σε ἀεί ».

θεοτ. Συντριβεῖσαν ἐκαινούργησας, πανάμωμε
ἁγνή, τὴν ἀνθρωπότητα
ὡς κυήσασα
165 τὸν δεσπότην πάντων καὶ Θεόν·
διό σε ὑμνοῦμεν εὐσεβῶς
καὶ μεγαλύνομεν πιστῶς
εἰς τοὺς αἰῶνας· ἀμήν.

ᾠδὴ η′. *Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας*

Δεδεμένον σειραῖς με
170 τῶν παραπτώσεων,
ὡς δεσμεῖν τε καὶ λύειν,
πάτερ, δεξάμενος
παρὰ τοῦ Θεοῦ
ἐξουσίαν, Βασίλειε,
175 λῦσον, δυσωπῶ σε,
λαμπρύνας ἀπαθείᾳ.

Ἐμαυτὸν κατακρίνω·
ἔργα γὰρ κέκτημαι
κατακρίσεως πάσης
180 ὄντα ἐπάξια·
ὅθεν πρὸς Θεὸν
σὲ μεσίτην προβάλλομαι·
πάτερ ἱεράρχα,
πρόστηθι, λύτρωσαί με.

185 Χεῖρα δίδου μοι, πάτερ
σοφὲ Βασίλειε,

---

164 κυήσασαν
heirm. η′ EE 159, n. 224, Joannis

συναντῶντι τοῦ βίου
ταῖς περιστάσεσι
καὶ ταῖς βλαβεραῖς
190 ἐπηρείαις τοῦ ὄφεως
περιπεμπομένῳ
καὶ λύπῃ τρυχομένῳ.

τριαδ. Ὀρθοδόξως τριάδα
Θεὸν δοξάσωμεν,
195 τὸν πατέρα, υἱόν τε
καὶ πνεῦμα ἅγιον,
ἄκτιστον ἀρχήν,
ὁμοδύναμον, σύνθρονον,
μίαν βασιλείαν
200 καὶ μίαν ἐξουσίαν.

θεοτ. Ὑπερύμνητον Λόγον
ἀποκυήσασα,
πολυύμνητε κόρη
θεοχαρίτωτε,
205 ὕμνους πρὸς αὐτόν,
οὓς ποιούμεθα, πρόσδεξαι
καὶ αὐτῷ ὡς πάντων
προσάγαγε δεσπότῃ.

ᾠδὴ θ΄. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Ἱστὸν ἀράχνης καθάπερ ἔλυσας
210 τὰ πονηρά,
Βασίλειε, καὶ ἔκφυλα δόγματα
καὶ χιτῶνα τὸν θεῖον ἐλάμπρυνας,
πάτερ, τῆς ἐκκλησίας
θείοις διδάγμασιν·
215 ὅθεν σε τιμᾷ χρεωστικῶς,
μάκαρ Βασίλειε.

---

heirm. θ΄ EE 159, n. 224, Joannis

Ὡς φῶς, ὡς λύχνος ἐτέθης, ὅσιε,
ἐν μυστικῇ
λυχνίᾳ καὶ τὸν κόσμον κατηύγασας
f. 5 220 ἱερῶν διδαχῶν ἐπι||λάμψεσιν·
ὅθεν ἐκδυσωπῶ σε
ἐσκοτισμένον μου
λάμπρυνον, Βασίλειε, τὸν νοῦν,
ὅπως γεραίρω σε.

225 Συνὼν ταῖς ἄνω θείαις δυνάμεσι,
πατριαρχῶν,
μαρτύρων, προφητῶν, ἀποστόλων τε
καὶ δικαίων ἁπάντων, Βασίλειε,
θείαις χοροστασίαις,
230 ἐκδυσωπούμέν σε,
σὺν αὐτοῖς ἱκέτευε Θεὸν
τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Ἡ νῦν κατέχουσα ῥαθυμία με
καὶ τῶν καλῶν
235 ἀργία παντελὴς τὴν ἐκεῖθέν μοι
προξενεῖ τιμωρίαν καὶ δέδοικα·
ὅθεν ἀναβοῶ σοι·
« πάτερ Βασίλειε,
πρόθυμον ἀπέργασαι ταῖς σαῖς
240 θείαις ἐντεύξεσιν ».

θεοτ. Φρικτὸν ἐκδέχεται δικαστήριον
τοὺς ἀμελῶς
τὸν βίον διανύοντας πάντοτε·
ἑαυτοὺς πρὸ τοῦ τέλους φεισώμεθα,
245 κράζοντες ἀσιγήτως·
« τῆς κυησάσης σε,
οἴκτειρον, ἐλέησον ἡμᾶς,
Χριστέ, δεήσεσιν ».

---

236 τιμωρία

217-219 cfr. Marc. 4,21; Luc. 8,16; 11,33

1 IAN. *CANON* II

IN SANCTUM ARSENIUM [JUNIOREM]

Crypt. Δ.α. XV = Cg, ff. 17ᵛ-20

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τὸν ἡσυχαστὴν Ἀρσένιον θαυμάσω· ⟨ὁ⟩ Ἰωσήφ.

Ἦχος α΄.

ᾠδὴ α΄. *Χριστὸς γεννᾶται δοξάσατε*

Τῆς θείας δόξης πληρούμενος,
φωτὸς τοῦ νοητοῦ ἐμφορούμενος,
μεθέξει Θεὸς γενόμενος,
ταύτην τὴν φωτοφόρον
5 μνήμην σου νῦν
τοὺς ἐπιτελοῦντας
φωταγώγησον ταῖς σαῖς εὐχαῖς, Ἀρσένιε.

Ὁσίως, πάτερ, ἐμόνασας
ἐκ βρέφους τὸν σταυρόν σου ἀράμενος
10 καὶ ἀσκητικοῖς παλαίσμασι
πάσας τοῦ διαβόλου
τὰς μηχανὰς
καὶ τὰς πανουργίας
ἐταπείνωσας, πλησθεὶς ἁγίου πνεύματος.

---

f. 3 initium acolouthiae: Μηνὶ ἰανουρίω α΄ ἡ περιτομὴ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν βασιλείου ἀρχιεπισκόπου καισαρείας καὶ τοῦ ὁσίου ἀρσενίου τοῦ νέου — tit. Κανὼν ἕτερος τοῦ ἁγίου ἀρσενίου φέρων .... — ὁ, omissum in rubrica, ab acrostichide deducitur; nomen Ἰωσήφ in margine indicatur

heirm. α΄ EE 6, n. 8, Cosmae.

15 Νοῒ τελείῳ, Ἀρσένιε,
κυρίῳ τῷ Θεῷ προσκολλώμενος,
σαυτὸν ἠρνήσω καὶ γέγονας
ἔξω σαρκὸς καὶ κόσμου
ταπεινωθείς·
20 ὅθεν ἀνυψώθης,
μετὰ σώματος ὀφθεὶς ἄγγελος, ὅσιε.

θεοτ. Ἡ σή, παρθένε, βοήθεια
τὸν ὅσιον κυκλοῦσα Ἀρσένιον,
παντὸς κακοῦ ἐλυτρώσατο·
25 ὅθεν σε καταχρέως
νῦν σὺν αὐτῷ
ὕμνοις ἀσιγήτοις
μακαρίζομεν πιστῶς ὡς θεομήτορα.

ᾠδὴ γ΄. *Τῷ πρὸ τῶν αἰώνων*

Σὲ ὥσπερ ἀρνίον
30 ἡ κυήσασα, πάτερ, ποιμένι καλῷ
ἀναθεμένη, θεοφόρε,
ἁπαλῶν ἐξ ὀνύχων Θεῷ
ὅλον καθιέρωσεν,
ὡς τὸν προφήτην ποτὲ Σαμουὴλ
35 Ἄννα ἡ θεόκλητος.

Ὑπελθὼν κυρίου
τὸν ζυγὸν τὸν χρηστὸν ἐκ νεότητος,
σὺ ἐκαθέσθης ὡς στρουθίον
κατὰ μόνας, ἡσύχως τὴν σὴν
40 ζωὴν περατούμενος
καὶ τῶν παγίδων πασῶν τοῦ ἐχθροῦ
ὕπερθεν ἱστάμενος.

---

heirm. γ΄ EE 6, n. 8, Cosmae

34-35 I Regn. 1,24-28 38-39 Ps. 101,8

f. 18 || Χαίρων διοδεύσας
τὴν σεμνήν, πάτερ, τρίβον, Ἀρσένιε,
45 δι' ἐπιπόνου ἀγωγῆς τε
καὶ τραχείας, εὐθέτως νυνὶ
πρὸς πλάτος κατήντησας
τῆς οὐρανῶν βασιλείας· διὸ
πίστει εὐφημοῦμέν σε.

θεοτ. 50 Ἄνω ταῖς χορείαις
τῶν ἀγγέλων ὁ μόνος ἀθάνατος
ἐκ σοῦ, παρθένε θεοτόκε,
ἐκ τῆς γῆς καθωράθη, ἁγνή,
σάρκα προσλαβόμενος
55 <— — — ́ — — ́ — — ́
́ — — — ́ — —.>

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Ἐγκρατείᾳ καὶ πόνοις ἀσκητικοῖς
ὑποτάξας τὰ πάθη τὰ τῆς σαρκός,
τοῦ πνεύματος γέγονας
ἱερὸν οἰκητήριον,
5 μεταστὰς δὲ κόσμου
πρὸς λῆξιν ἀθάνατον
μετετέθης, πάτερ,
χοροῖς συνευφραίνεσθαι
πάντων τῶν ἀπ' αἰῶνος
10 ἱερῶς βιωσάντων
ἁγίων, Ἀρσένιε,
μεθ' ὧν πίστει τιμῶμέν σε
καὶ συμφώνως βοῶμέν σοι·
« πρέσβευε Χριστῷ τῷ Θεῷ
15 τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου ».

55-56 versus in cd. omnino desunt
heirm. καθ. MR II, 19 κάθ. 15-17 post πταισμάτων cetera om. cd.
cfr. autem MR III, 48.

ᾠδὴ δ'. *Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί*

Σὺ ταῖς ἀγρυπνίαις ταῖς πολλαῖς
τὰ πάθη κατεκοίμησας
τὰ τῆς σαρκός, πάτερ Ἀρσένιε,
60 νυκτὸς δι' ὅλης Θεῷ
ἐντυγχάνων, ὅσιε,
καὶ τῇ πρὸς αὐτὸν συννεύσει θείᾳ
θεούμενος καὶ φωτὸς
ὅλως νοητοῦ ἐμφορούμενος.

65 Τῷ φόβῳ Θεοῦ καθηλωθεὶς
τὰς σάρκας σου, Ἀρσένιε,
νηστείαν ἔσχες ὑπὲρ ἄνθρωπον,
ἀέναον προσευχήν,
ψυχικὴν ταπείνωσιν
70 καὶ ἀληθινὴν ἀγάπην, πάτερ,
μεγίστην ὑπομονήν,
πίστιν καὶ ἐλπίδα ἀνόθευτον.

Ἡσύχως τελέσας τὴν ζωὴν
θορύβων ἔξω γέγονας
75 μέσον οἰκῶν, παμμάκαρ, πόλεων·
ἐντεῦθεν προσομιλῶν
τῷ Θεῷ, Ἀρσένιε,
f. 18v || χάριν πρὸς αὐτοῦ πολλὴν ἐδέξω
καὶ πόλεως νοητῆς
80 γέγονας οἰκήτωρ, πανόλβιε.

θεοτ. Ναμάτων ἐνθέων πληρωθείς,
παρθένε, μεσιτείαις σου
ὁ ἱερός, ἁγνή, Ἀρσένιος,
τῷ πόθῳ σου τὴν ψυχὴν
85 ὑπὲρ νοῦν συνέδησεν·
ὅθεν σὺν αὐτῷ σε προσκυνοῦντες,
ὑμνοῦμεν περιχαρῶς
καὶ χρεωστικῶς μακαρίζομεν.

heirm. δ' ΕΕ 6, n. 8, Cosmae

ᾠδὴ ε'. *Θεὸς ὢν εἰρήνης, πατὴρ οἰκτιρμῶν*

Ἁγίων πατέρων τοὺς βίους ζηλῶν,
90 τὴν αὐτοῖς ἐπιλάμπουσαν εὔκλειαν
ἐκτήσω, ἀξιάγαστε·
ἀγῶνας γὰρ πολλοὺς
καὶ πόνους ἐπεδείξω
τοῖς δαίμοσι παλαίων
95 καὶ Θεοῦ βοηθείᾳ
διηνεκῶς περισκεπόμενος.

Ῥοαῖς σου δακρύων, Ἀρσένιε,
ἀρδευόμενος, δένδρον ὑψίκομον
ἐδείχθης, κατανύξεως
100 προσφέρων τοὺς καρπούς,
ἁγνείαν, σωφροσύνην,
ἐγκράτειαν, ἀγάπην,
ὧν ἡμεῖς ἐντρυφῶντες
χρεωστικῶς σε μακαρίζομεν.

105 Σὲ μόνος ὁ πάντας δοξάζων Θεός,
θεοφόρε, δοξάσας, Ἀρσένιε,
ἀστέρα οὐρανόθεν σοι
ἐκπέμπει δαψιλῶς
νυκτὸς φωτίζοντά σε
110 ἀΰλῳ φωταυγίᾳ
καὶ υἱὸν τοῦ ἐκεῖθεν
θείου φωτὸς καθυπεμφαίνοντα.

θεοτ. Εὑρέθη, ὡς πάλαι προφήτης φησίν,
ἐν γαστρὶ ἡ πανάμωμος ἔχουσα
115 Θεὸν τὸν ἀπερίληπτον
γενόμενον βροτόν,
περιτομὴν ὡς βρέφος

heirm. ε' EE 6, n. 8, Cosmae

113-115 Is. 7,14

δεχόμενον καὶ νόμον
παλαιὸν ἐκπληροῦντα
120 δι' εὐσπλαγχνίαν ἀδιήγητον.

ᾠδὴ ς'. *Σπλάγχνων Ἰωνᾶν*

Νόμους τοῦ Θεοῦ
τοὺς θείους ἐπλήρωσας
προθύμῳ ψυχῇ, πάτερ Ἀρσένιε,
σοῦ τῷ στόματι
125 φυλακὴν ἀενάως τιθέμενος,
δωματίου τε ἀπαύστως αὐλιζόμενος
ἔνδον
f. 19 καὶ τὸ κάλλος, || ὅσιε,
τοῦ σωτῆρος ἡμῶν φανταζόμενος.

130 Ἴσμεν σου, σοφέ,
τοὺς τρόπους, Ἀρσένιε,
τὴν διαγωγήν τε καὶ τὴν δίαιταν
οὐκ ἐπέγνωμεν·
οὐ γὰρ εἶδέ σε ἔτεσι πλείοσι
135 τῶν ἀνθρώπων τις ἐσθίοντα ἢ ἀπὸ χειρός,
μάκαρ,
ἐξυπηρετούμενον
τοῦ πλησίον καιρῷ ἑστιάσεως.

Ὅλος ταπεινῷ
140 φρονήματι, ὅσιε,
ὑπερβολικῶς ὡραϊζόμενος,
οὐκ ἠτένισας
εἰς ἑτέρου, Ἀρσένιε, πρόσωπον,
οὐ γηΐνην ἐπεπόθησας ἀπόλαυσιν,
145 μόνην
ἐργασίαν πάντοτε
τὴν πρὸς κύριον νεῦσιν ποιούμενος.

heirm. ς' EE 6, n. 8, Cosmae

124-125 cfr. Ps. 38,2; 140,3

θεοτ. Νύκτα ἐκμειῶν
δεινῆς παραβάσεως
150 ἐκ σοῦ νοητὸς ἥλιος ἔλαμψεν,
ἀπειρόγαμε,
καὶ ὡς βρέφος σαρκὶ περιτέμνεται
καὶ τοῦ νόμου τὸ σκιῶδες, παναμώμητε,
παύει·
155 ὅθεν ὡς αἰτίαν σε
τῆς ἡμῶν σωτηρίας δοξάζομεν.

ᾠδὴ ζ'. *Οἱ παῖδες εὐσεβείᾳ*

Θηλάσας ἐγκρατείας
τὸ γλυκύτατον γάλα, Ἀρσένιε,
εἰς ἄνδρα τέλειον Χριστοῦ
160 ἡλικίας, πάτερ, ἔφθασας
καὶ μετῆλθες πρὸς Θεὸν ὡραϊζόμενος
τῶν ἀρετῶν καλλοναῖς,
ἀζύγων κλέος.

Ἀκούσας τοῦ δεσπότου
165 τοὺς γελῶντας, θεοφόρε, ταλανίζοντος,
ὅλον τὸν βίον σου πενθῶν
διετέλεσας, Ἀρσένιε·
διὰ τοῦτο τῆς ἐκεῖ νῦν παρακλήσεως
κατηξιώθης χαρᾷ
170 ἀμέτρῳ χαίρων.

Ὑψώθης, ἐδοξάσθης,
ὑπὲρ λόγον ἐσχηκὼς ταπείνωσιν,
δι' ἧς ἁπάσας τοῦ ἐχθροῦ
τὰς ἐπάρσεις ἐταπείνωσας
175 καὶ Θεοῦ τῶν ἀγαθῶν βοῶν ἐπέτυχες·
« ὁ τῶν πατέρων Θεός,
εὐλογητὸς εἶ ».

150 νοητῶς
heirm. ζ' EE 7, n. 8, Cosmae 176 post πατέρων orat. abrumpitur

159-160 Eph. 4,13

θεοτ. Μεγάλως σε ποθήσας,
θεοτόκε, ὁ κλεινὸς Ἀρσένιος,
180 μεγάλων ἔτυχε τῇ σῇ
μεσιτείᾳ παρακλήσεων
τῶν ὁσίων τοῖς χοροῖς νῦν συνταττόμενος,
μεθ' οὗ σε πάντες πιστοὶ
ὑμνολογοῦμεν.

f. 19v || ᾠδὴ η'. *Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος*

185 Ἄνω πρὸς Θεὸν ἔχων τὸ ὄμμα,
ἐκαρτέρησας τὸν διὰ βίου
συγκλεισμὸν ἑκούσιον
τοὺς θορύβους ἀποφυγὼν
καὶ Θεῷ ἀδιαλείπτως συγγινόμενος
190 καὶ μέλπων, σοφέ, ψυχῆς εὐθύτητι·
« εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας ».

Σὺ τοῦ Ἀβραὰμ ἔσχες τὴν πίστιν,
τὴν εὐπάθειαν τοῦ Ἰσαάκ τε,
195 Ἰακὼβ τὸ ἄπλαστον,
σωφροσύνην τοῦ Ἰωσὴφ
καὶ τὸ πρᾷον τοῦ Δαβίδ, πάτερ Ἀρσένιε,
καὶ νῦν ἀναμέλπεις ἀγαλλόμενος·
« εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
200 καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ὤφθης ἀρετῶν, πάτερ, συνθέσει
ὡς θυμίαμα ὄντως εὐῶδες
ζῶν καὶ μετὰ θάνατον·
ὅθεν τάφος τὸ ἱερὸν
205 συγκαλύπτων σου νῦν σῶμα ἀναδίδωσι

heirm. η' EE 7, n. 8, Cosmae 191 post πᾶσα orat. exciditur 199. 207. 215 post εὐλογείτω orat. detruncatur

195 Gen. 25,27

πολλὴν εὐωδίαν τοῖς κραυγάζουσιν·
« εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Ὅλην τὴν μορφήν μου παραδόξως
210 ὁ ὑπέρθεος ἐκ σοῦ φορέσας,
σαρκοφόρος πρόεισι,
θεοτόκε, περιτομὴν
ὀκταήμερον ὡς βρέφος προσδεχόμενος
καὶ σῴζων ἡμᾶς φόβῳ κραυγάζοντας·
215 « εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Μυστήριον*
ξένον ὁρῶ καὶ παράδοξον

Ἱέρευσας
σαυτὸν ἐκ βρέφους, Ἀρσένιε,
ὅλον δι' ἀσκήσεως
220 πάθη τὰ τῆς σαρκὸς θανατώσας
καὶ χάριν ἐδέξω
πολλὴν
πρὸς κυρίου τὰ ἐσόμενα
ὁρᾶν
225 ὡς προφήτης ἐνθεώτατος ἐν πνεύματι.

Ὡς ἥλιος
ἀπὸ δυσμῶν ἐξανέτειλας
τὴν Κωνσταντινούπολιν,
πᾶσάν τε πολιτείαν καὶ χώραν,
230 πάτερ, καταυγάζων
φαιδρῶς
ταῖς ἀκτῖσι τῶν ἀγώνων σου,
δι' ὧν
τῆς μελλούσης κοινωνὸς ζωῆς γενήσομαι.

235 Στησώμεθα
πάντες χοροὺς ἀλαλάζοντες

heirm. θ' ΕΕ 7, n. 8, Cosmae

καὶ πανηγυρίσωμεν
μνήμην ἐπιτελοῦντες ἁγίαν
πατρὸς θεοφόρου,
240 πρὸς φῶς
ἐπελθόντος καὶ φωτίζοντος
ἡμῶν
ταῖς αὐτοῦ ἐπιστασίαις τὰ νοήματα.

f. 20 ‖ Ἡ μνήμη σου
245 πάντας ἡμᾶς ἁγιάζουσα
σήμερον ἐφέστηκεν,
πάτερ, ἣν ἐκτελοῦντες βοῶμεν·
« πρέσβευε ἀπαύστως
Θεῷ
250 τοῦ εὑρεῖν ἡμᾶς, Ἀρσένιε,
ἐκεῖ
αἰωνίων ἀγαθῶν θείαν ἀπόλαυσιν ».

θεοτ. Φιλάνθρωπον
ἀποκυήσασα κύριον,
255 τοῦτον καθικέτευε
πάντων ὡς βασιλέα καὶ κτίστην
πάντας ἡμᾶς σῶσαι,
ἁγνή,
καὶ δεινῶν ἀπολυτρώσασθαι
260 ἀεὶ
τοὺς ἐν πίστει σε καὶ πόθῳ μακαρίζοντας.

253 Φφιλάνθρωπον

IN PROFESTUM EPIPHANIAE

Mess. gr. 52 = M, ff. 108-109v
Patm. 198 = Πd, ff. 32v-35v
Paris. gr. 1571 = Pg, ff. 151v-155
Barb. gr. 543 = Bb, ff. 53v-57

Ὁ κανών.

⟨Ἐν τοῖς θεοτοκίοις· Γεωργίου.⟩
Ἦχος α'.

ᾠδὴ α'. *Ὠιδὴν ἐπινίκιον*

Στολίζεται σήμερον
ἡ ἐκκλησία
καὶ κόσμον περίβλεπτον
νοητῶς ἐνδύεται
5 καὶ ὡραΐζεται
προεορτάζουσα Χριστοῦ
τὴν ἐπιφάνειαν.

Τὸν ἄδυτον ἥλιον
ὁ ἑωσφόρος
10 καὶ Πρόδρομος ἅπασιν
ἐμφανῶς νῦν σήμερον

M, alternatis odis, duos canones hoc ordine praebet: priorem, quem referimus, alterum (ff. 108-109v) sancto Silvestro dicatum (inc. Τῆς τρυφῆς χειμάρρους) ex parte editum in MR III, 65 (cfr. Commentarium); sequitur (in ff. 108v-109v) τὸ τριῴδιον: Ἡ ἀπόρρητος τοῦ κτίστου MR III, 28 tit. Κανὼν προεόρτιος Πd Εἰς τὸν ὄρθρον... κανὼν προεόρτιος Pg Ἑσπέρα... εἶτα οἱ κανόνες ὁ τῆς ἑορτῆς καὶ τοῦ ἁγίου Bb nomen auctoris, om. in rubrica, e litteris capitalibus θεοτ. deducitur

heirm. α' EE 11, n. 15, Andreae 10 ἅπασιν] σήμερον Πd 11 νῦν σήμερον] ἅπασι Πd

κηρύττει μέλλοντα
ἐπανατέλλειν τοῖς πιστοῖς
διὰ τοῦ βαπτίσματος.

15 Ὡς κρίνον ἡ ἔρημος
τοῦ Ἰορδάνου
ἀνθοῦσα φαιδρύνεται
καὶ εὐωδιάζεται
τὸν φυτουργὸν καὶ Θεὸν
20 μέλλουσα δέχεσθαι, σαρκὶ
παραγενόμενον.

θεοτ. Γεγόναμεν σύμμορφοι,
θεοκυῆτορ,
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν,
25 τοῦ δι' ἀγαθότητα
ἐνανθρωπήσαντος
ἐκ σοῦ καὶ σώσαντος ἡμᾶς
καὶ ἁγιάσαντος.

f. 108v ᾠδὴ γ'. *Στερεωθήτω ἡ καρδία μου*

Ἐν Ἰορδάνῃ παραγίνεται
30 Χριστός, τῶν χαρίτων ἡ ἄβυσσος,
ἵνα ἀφθόνους ποταμοὺς
ἁγιότητος ἅπασιν
ἀναβλύσῃ τοῖς ὑμνοῦσι τὴν αὐτοῦ ἐπιφάνειαν.

Εὐτρεπισθέντες θείαις πράξεσιν,
35 ἐν ταῖς διανοίαις δεξώμεθα

14 διὰ βαπτίσματος Πd Bb δι' ἀγαθότητα Pg 15-21 pro Ὡς κρίνον ἡ ἔρημος aliud troparium Bb tradit, quod in Pg post v. 21 invenitur: Τὸ φῶς τὸ ἀπρόσιτον / ἐν Ἰορδάνῃ / Χριστὸς παραγίνεται / τοῦ φωτίσαι ἅπαντας / τοὺς δεχομένους αὐτὸν / καὶ ἀνυμνοῦντας τὴν αὐτοῦ / ἔνσαρκον (ἐν σαρκὶ Bb) ἔλευσιν. 21 παραγινόμενον Πd 25 τοῦ ἀγαθότητα M

heirm. γ' EE 12, n. 16, Andreae; integrum heirm. praebet Pg 34-38 tropario caret Πd

15-17 cfr. Is. 35,1

παραγινόμενον Χριστὸν
ἁγιάσαι τὰ σύμπαντα
καὶ φωτίσαι τοὺς ὑμνοῦντας τὴν αὐτοῦ ἐπιφάνειαν.

Τὰς τοῦ φωτὸς ἀκτῖνας ἥπλωσε
40 τῆς δικαιοσύνης ὁ ἥλιος,
ἐν Ἰορδάνῃ βαπτισθείς,
εἰς τὰ πέρατα ἅπαντα
καὶ κατηύγασεν ἀνθρώπων τὰς ψυχὰς ὡς φιλάνθρωπος.

θεοτ. Ἐκ σοῦ τεχθεὶς ὁ συναΐδιος
45 τοῦ πατρός, παρθένε, καὶ σύνθρονος
υἱὸς καὶ Λόγος ὑπὲρ νοῦν
καὶ διάνοιαν ἅπασαν,
ἀνωτέραν σε ἀνέδειξεν ὡς κτίστης τῆς κτίσεως.

Κάθισμα.
Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*

Φορέσας τὴν ἐμήν,
Ἰησοῦ μου, πτωχείαν
....

ᾠδὴ δ'. *Ἐν πνεύματι προβλέπων*

Σκιρτάτω τῶν ὑδάτων
50 ἡ φύσις νοητῶς,
μέλλουσα εἰσδέχεσθαι
σαρκὶ τὸν ποιητὴν
ἐν Ἰορδάνῃ λουόμενον καὶ ἀνθρώπους
νεοποιοῦντα
55 καὶ τὴν κτίσιν καινουργοῦντα,
τοῦτον ὡς κύριον γεραίρουσα.

---

36 παραγενόμενον Pg Bb 39-43 troparium om. Bb 48 σε ἀνέδειξεν] δέ σε ἔδειξεν Pg ὡς] ὁ Bb τῆς κτίσεως] καὶ κύριος Πd κάθ. MR III,29; ipsum om. Πd Bb

heirm δ' EE 11, n. 15, Andreae; textum heirm. integrum in Pg invenitur 53 καὶ] τοὺς Πd ἀνθρώποις Bd 55 ἐν τοῖς ρείθροις ⟨Ἰ⟩ορδάνου in Πd et in margine scriptum 56 κύριον] δεσπότην Pg γεραίροντα M

Ἀνοίγονται ταμεῖα
φωτὸς τοῦ νοητοῦ
τοῖς ἀνθρώποις σήμερον,
60 φανέντος ἐπὶ γῆς
τοῦ φωτοδότου καὶ πάντας θείαις ἀκτῖσιν
υἱοθεσίας
καταυγάζοντος τοὺς πόθῳ
τοῦτον εὐεργέτην δοξάζοντας.

65 Εὐθείας Ἰωάννης
τὰς τρίβους τοῦ Θεοῦ
ἐκδιδάσκων χάριτι
ποιεῖ ἐν ταῖς ψυχαῖς
τῶν συνελθόντων λαῶν καὶ προευτρεπίζει
70 πάντας ἐνθέως
ὑποδέχεσθαι ἐν πίστει
τούτου τὴν θείαν ἐπιφάνειαν.

θεοτ. Ὡραῖος ὡς νυμφίος
προέρχεται σαρκὶ
75 ὁ σός, ὑπεράμωμε,
υἱὸς καὶ ποιητὴς
ἐν Ἰορδάνῃ τὴν φύσιν νεοποιῆσαι
τὴν τῶν ἀνθρώπων
τῷ βαπτίσματι τῷ θείῳ·
80 δόξα τῇ αὐτοῦ ἀγαθότητι.

ᾠδὴ ε'. *Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον*

Ὁ φαεινότατος πᾶσιν ἥλιος
σήμερον ἥπλωσε

---

63 καταυγάζοντος] καστάζοντος M καταυγάζοντα Πd Pg 64 δοξάζοντα M post v. 64 in Pg abrumpitur canon; folium enim cecidit qua re in ipso codice odae ε' et ς' desunt 65-72 troparium in Bb deest; Πd hoc dissimile profert: Τὸ φῶς σου ἐν καρδίαις / ἀξίωσον, Χριστέ, / καὶ ἡμᾶς εἰσδέξασθαι / ὡς μόνος ἀγαθὸς / ταῖς τῆς πανάγνου μητρός σου / θείαις πρεσβείαις / καὶ τοῦ Προδρόμου / εὐπροσδέκτοις ἱκεσίαις· / σὺ γὰρ φωτιεῖς τοὺς ὑμνοῦντάς σε.

heirm. ε' EE 13, n. 16, Andreae

65-68 cfr. Matth. 3,3; Marc. 1,3

τὰς τῆς οἰκείας ἐπιγνώσεως
θείας ἀκτῖνας, ἐπὶ τὸ σωτήριον
85 ἐρχόμενος βάπτισμα.

Ὄρη, σκιρτήσατε, ἐκμιμούμενα
τὰ ἰορδάνεια
ῥεῖθρα, ὁρῶντα βαπτιζόμενον
τὸν πάντων κτίστην καὶ ἀνακαινίζοντα
90 γένος τὸ ἀνθρώπινον.

Ὁ Βαπτιστὴς ἡμῖν εὐαγγέλια
σήμερον δίδωσιν
ἁμαρτημάτων κατακλύσεως
καὶ μηνύματα τῆς ἀναγεννήσεως
95 τῆς διὰ τοῦ πνεύματος.

θεοτ. Ῥείθροις τὰ πταίσματα τὰ τῆς φύσεως
καὶ ὀλισθήματα
ἐν Ἰορδάνῃ ὁ ἐκ σοῦ τεχθεὶς
Θεὸς τῶν ὅλων, ἄχραντε, συνέθαψε
100 καὶ ἡμᾶς ἐζώωσεν.

ᾠδὴ ϛʹ. *Τὸν προφήτην Ἰωνᾶν*

Ὑποθεῖσα τῷ Χριστῷ
γῆ τὰ νῶτα νοητῶς,
παραπέμπει σὺν χαρᾷ
πρὸς τὸ βάπτισμα αὐτόν,
105 δι᾽ οὗ αὐτὴ τῶν μολυσμάτων
ἐκκαθαρθήσεται.

Αἱ οὐράνιαι ἰδοὺ
εὐτρεπίζονται ὁδοὶ

86-90 troparium desideratur in Bb 89 τῶν M 90 τῶ γένος ... M
98 ἐν Ἰορδάνῃ] τοῦ ἰορδάνου Πd
heirm. ϛʹ EE 12, n. 15, Andreae 103 σὺν] ἐν Πd 105 αὐτὴν M

---

86 Ps. 113,4

καὶ ἀνοίγονται πύλαι
110 κεκλεισμέναι τοῖς βροτοῖς,
σαρκὶ Χριστοῦ βαπτιζομένου
δι᾽ ἀγαθότητα.

Ὁ ἐλθὼν ἐπὶ τῆς γῆς
διὰ πλῆθους οἰκτιρμῶν
115 ἁγιάσαι τῶν βροτῶν
φύσιν, μόνε ἀγαθέ,
καταύγασον ἡμᾶς τῇ αἴγλῃ
τῆς σῆς ἐλλάμψεως.

f. 109 θεοτ. ‖ Γεωθεῖσαν τῶν βροτῶν
120 φύσιν τῇ παρακοῇ,
ὁ ἐκ σοῦ ὑπερφυῶς
κατὰ σάρκα γεννηθεὶς
οὐράνωσε ταύτην, παρθένε,
τῷ θείῳ βαπτίσματι.

Κοντάκιον.

Ἦχος βʹ. *Τὰ ἄνω ζητῶν*

Ὁ πόλον καὶ γῆν
ἑδράσας ἐν χειρὶ αὐτοῦ
καὶ ἄβυσσον πρὶν
τῷ λόγῳ τεκταινόμενος,
5 σαρκωθεὶς ἐπεφάνη
καὶ τοῦ κόσμου λύτρωσις γέγονεν,
ὡς κραταιὸς καὶ μόνος Θεός,
δωρούμενος ἀνθρώποις τὴν ἀνάπλασιν.

Ὁ οἶκος.

Τοῦ Βαπτιστοῦ καὶ θείου προφήτου
10 τὰς ἐρήμους καρδίας
χερσωθείσας αὐχμῷ

---

111 βαπτιζόμενον M 113-118 troparium deest in Bb 114 πλῆθος Πd
115 τὴν Π 119 τὴν Πd 123 οὐράνωσε] οὐρανός σε Bb 124 τῷ om. Πd Bb
κοντάκ. et οἶκ. desunt in Πd Pg Bb heirm. κοντακ. HR 128 11 ἀχμῷ

τοῖς ὕδασιν ἀπαρδεύοντος,
ἧκεν ὁ πλάστης πρὸς Ἰορδάνην
ἐξαιτῶν τῷ Προδρόμῳ τοῦ βαπτισθῆναι·
15 ὃν καὶ ἰδὼν σαρκοφόρον ἐλθόντα,
ἐβόα· « ἰδοὺ
θεότης τῷ σαρκίῳ
ἐν κρυφῇ ἐπεφάνη σωτήριος·
συνέλθετε, γλῶσσαι βροτῶν καὶ φυλαί,
20 βαπτισθῆναι ἐν ῥείθροις
προέρχεται δωρούμενος ἀνθρώποις τὴν ἀνάπλασιν ».

ᾠδὴ ζ'. *Τοὺς ἐν καμίνῳ παῖδάς σου, σωτήρ,*

125 Τῆς ἁμαρτίας σβέννυται ἡ φλὸξ
ἐν ὕδασι τοῖς τοῦ Ἰορδάνου τοῦ πυρὸς
τοῦ νοητοῦ σωματικῶς εἰσδυομένου
καὶ πᾶσι προχέοντος
ἐν τῇ βαπτίσει αὐτοῦ δρόσον τοῦ πνεύματος.

130 Υἱοθεσίας σήμερον Χριστὸς
τὸ ἔνδυμα πᾶσιν εὐτρεπίζει τοῖς πιστῶς
τὴν ὑπὲρ νοῦν αὐτοῦ ἐν γῇ εἰσδεχομένοις
ξένην συγκατάβασιν
καὶ ἀνυμνοῦσιν αὐτοῦ τὴν ἐπιφάνειαν.

135 Ἡ ἐκκλησία σήμερον Χριστοῦ
τὴν βάπτισιν προανευφημοῦσα ἐν χαρᾷ,
εἰς μυστικὴν καὶ νοητὴν νῦν εὐωχίαν
συγκαλεῖται ἅπαντας
τοὺς ἐπιγνόντας αὐτοῦ τὴν συγκατάβασιν.

θεοτ. 140 Ἰδεῖν ἡμᾶς τὴν δόξαν τοῦ ἐκ σοῦ,
πανάχραντε, γεννηθέντος Λόγου τοῦ Θεοῦ

13 ἰορδάνη 19 συνέλθαται (sic)

heirm. ζ' EE 12, n. 15, Andreae; heirm. integrum praebet Pg heirm. 1 Τῶν ἐν καμίνῳ παίδων σου, σωτήρ, EE 126 ὕδατι M 127 ἐνδυομένου Pg 129 ἐν τῇ βαπτίσει] ἐν τῷ βαπτίσματι Bb τῇ καταδύσει Pg 130-134 troparium om. Bb 131 εὐτρεπίζων τοῖς πιστοῖς Pg 136 βάπτισιν] κάθαρσιν Πd 137 νῦν] τὴν Πd 140 τοῦ ἐκ] τὴν ἐκ Bb 141 πανάμωμε Pg τοῦ] καὶ Πd

καὶ τῆς αὐτοῦ ὑπερφυοῦς δόξης γενέσθαι
κοινωνοὺς δυσώπησον
τοὺς ἀνυμνοῦντάς σε θεοκυήτορα.

ᾠδὴ η'. *Ὃν φρίττουσιν ἄγγελοι καὶ πᾶσαι στρατιαὶ*

145 Ὠιδὴν προεόρτιον ἐξάρξωμεν, λαοί,
φαιδρῶς εἰσδεχόμενοι Χριστὸν τὸν λυτρωτὴν
σαρκὶ ἐνδημοῦντα ἐν τοῖς ὕδασι
τοῖς τοῦ Ἰορδάνου
φωτίσαι τοὺς ἐν σκότει.

150 Τὸ φῶς τὸ ἀπρόσιτον ἐπέφανεν ἡμῖν
καὶ πᾶσαν κατηύγασε τὴν κτίσιν νοητῶς
καὶ υἱοθεσίας τοὺς ἀνθρώπους στολῇ
ἐφαίδρυνε τοῦτον
ἀεὶ δοξολογοῦντας.

155 Ψυχαῖς ὑποδέξασθαι ἀξίωσον ἡμᾶς
ἁγνούς, ὑπεράγαθε, τὴν ἔλλαμψιν τῆς σῆς
φαιδρᾶς ἐνδημίας καὶ ἐπιφανείας
ἐν φωτί, Χριστέ, σὲ
ἀεὶ δοξολογοῦντας.

θεοτ. 160 Ὁ τόκος σου ἅπασιν ἐκαίνισεν, ἁγνή,
βροτοῖς ἀναγέννησιν καὶ θέωσιν τοῖς σὲ
κυρίως ὑμνοῦσι θεομήτορα
καὶ δοξολογοῦσι
τὸν ἐκ σοῦ σαρκωθέντα.

142 γενέσθαι] κοινωνοὺς M Bb νοητῶς Πd 143 γενέσθαι δυσώπησον M Bb ἀπολαῦσαι αἴτησαι Πd 144 ὑμνοῦντας Πd Bb θεοκυήτορα] θεογεννήτορ ἁγνὴ Pg θεοκυῆτορ Bb

heirm. η' EE 12, n. 15, Andreae 145 Ὠδῆς προεορτίου M 147 ἐνδημοῦντι Pg 149 τοῖς Bb 150 ἡμῖν] χριστὸς Πd 151 νοητῶς] νομηκῶς M 152 στολὴν Pg 155-159 tropario caret Bb 155 ἡμᾶς] ἁγναῖς Πd Pg 156 ἁγνούς] ἡμᾶς Πd Pg 160 ἅπασαν Bb 163-164 καὶ τὸν σαρκωθέντα / ἐκ σοῦ δοξολογοῦσιν Pg

f. 109v ᾠδὴ θ'. *Τὴν ζωοδόχον πηγὴν τὴν ἀέναον*

165 Ὁ ποταμὸς τῆς ζωῆς ὁ ἀέναος
ἐν Ἰορδάνῃ Χριστὸς παραγίνεται
βαπτισθῆναι σήμερον
καὶ πάντας τῆς χάριτος
τοὺς ἀνυμνοῦντας αὐτὸν θείαις ἀκτῖσι
170 καταφαιδρύναι ὡς μόνος φιλάνθρωπος.

Οἱ θησαυροὶ τῶν χαρίτων ἀνοίγονται·
ὁ χορηγὸς γὰρ αὐτῶν παραγίνεται
διὰ τοῦ βαπτίσματος
διανεῖμαι ἅπασι
175 τὰς δωρεὰς τοῖς πιστῶς δοξολογοῦσι
τὴν φωτοφόρον αὐτοῦ ἐπιφάνειαν.

Ὁ διὰ πλῆθους ἐλέους σου, κύριε,
ἐπιφανεὶς τοῖς ἐν γῇ ὡς ηὐδόκησας
καὶ τὸ φῶς τῆς χάριτος
180 ἐφαπλώσας ἅπασι
τοῖς ἐν τῷ σκότει, Χριστέ, τῇ σῇ ἐλλάμψει
καταύγασον καὶ ἡμᾶς ὡς φιλάνθρωπος.

θεοτ. Ὑπερφαεῖς αἱ ἀκτῖνες ἐξέλαμψαν
τοῦ σοῦ υἱοῦ, θεοτόκε πανύμνητε,
185 καὶ προκαταυγάζουσι
τοὺς προεορτάζοντας
τὴν φαεσφόρον αὐτοῦ βάπτισιν θείαν
καὶ σὲ μητέρα φωτὸς μεγαλύνοντας.

---

heirm. θ' EE 14, n. 18, Andreae 168 τῇ χάριτι Pg 168-170 pro καὶ... φιλάνθρωπος in Bb legitur: τοῦτον εἰσδεξώμεθα / ἐν καθαρᾷ τῇ ψυχῇ καὶ τῇ καρδίᾳ / δοξολογοῦντες αὐτὸν ὡς φιλάνθρωπος 173-174 βαπτισθῆναι σήμερον / καὶ πάντας τῆς χάριτος Bb (cfr. vv. 167-168) 175 τοῖς ἐν τῷ σκότει χριστὲ τῇ σῇ ἐλλάμψει M τοὺς ἀνυμνοῦντας αὐτὸν θείαις ἀκτῖσι Bb 176 καταύγασον καὶ ἡμᾶς ὡς φιλάνθρωπος M καταφαιδρῦναι ὡς μόνος φιλάνθρωπος Bb 177 πλῆθος Πd 178 εὐδόκησας Πd 180 ἐφαπλώσας] διανεῖμαι M ὑφαπλώσας Pg 181 τὰς δωρεᾶς τοῖς πιστῶς δοξολογούσιν M τῷ om. Pg 182 τὴν φωτοφόρον αὐτοῦ ἐπιφάνειαν M καὶ om. Πd 183 Ὑπερφυεῖς Bb αἱ om. M αἱ] ὡς Pg Bb ἀκτῖνας M ἐπέλαμψαν Bb 187 φαεωσφόρον Pg Bb φωτοφόρον Πd βάπτισιν] κάθαρσιν Πd 188 φωτὸς] θεοῦ Pg

IN PROFESTUM EPIPHANIAE

Crypt. Δ.α. XV = Cg, ff. 25-33
Crypt. Δ.α. V = Ch, ff. 10-11v
Crypt. Δ.α. XXIV = Cy, ff. 105v-107v

Ὁ κανών.

Ἦχος α'.

ᾠδὴ α'. *Τῷ βοηθήσαντι Θεῷ*

Τοῦ Ζαχαρίου ὁ υἱός,
Ἰωάννη Βαπτιστὰ
f. 25v Πρόδρο||με, κῆρυξ τοῦ φωτός,
ἐξ ἐρήμου προελθών,
5 δεῦρο καὶ βάπτισον φόβῳ
ἐν ῥείθροις τοῦ Ἰορδάνου Χριστόν.

Ὦ Ἰορδάνη ποταμέ,
ὑποδέχου τὸν Χριστὸν
ἐν εὐφροσύνῃ καὶ χαρᾷ
10 βαπτιζόμενον ἐν σοὶ
καὶ ἁγιάζοντά σε
καὶ πᾶσαν τὴν ἀνθρωπότητα.

Συμβαπτισθῶμεν, ἀδελφοί,
τῷ σωτῆρι καὶ Θεῷ

In Cg (ff. 25-34), alternatis odis, quattuor canones hoc ordine subsequuntur: primus hic quem referimus patet; secundus et tertius traduntur s. Silvestro dicati (tertium Υἱοθετήθης τῇ χάριτι invenies in MR III,30); quartus demum, in Profestum Epiphaniae et in sanctum Silvestrum, hanc seriem nostrae collectionis concludit; in ff. 27-33 τὸ τριῴδιον: Ἐν κενοῖς ἡ ἐπίνοια MR III,43

tit. Ὁ κανὼν προεόρτιος Cg Cy Κανὼν προεόρτιος ψαλλόμενος τῇ ἑσπέρᾳ Ch
heirm. EE 16, n. 22, Joannis; heirm. integrum praebe Cy

15 πολιτευσάμενοι καλῶς
τῶν κακῶν τὴν ἀποχὴν
πρὸς τὴν αὐτοῦ ἀρεσκίαν,
ἵνα τελείου φωτὸς τέκνα γενώμεθα.

θεοτ. Χαῖρε, παλάτιον τερπνόν,
20 χαῖρε, πύλη νοερά,
χαῖρε, καθέδρα μυστική,
χαῖρε, ἅγιον ὄρος,
χαῖρε, ἡ ἔμψυχος κλῖμαξ,
χαῖρε, πανάμωμε θεογεννῆτορ ἁγνή.

f. 26ᵛ ᾠδὴ γ'. *Στερέωμά μου γενοῦ,*
ὁ θεμελιώσας
τὴν γῆν ἐφ' ὑδάτων
καὶ οὐρανοὺς τῷ λόγῳ σου,
5 *ἵνα σε ὑμνῶ, ἀγαθέ.*

25 Ὑπάντησον ἐν χαρᾷ,
Πρόδρομε, τῷ κτίστῃ
ἐν τῷ Ἰορδάνῃ
καὶ βάπτισον ἥκοντα
τὸν μόνον ἀναμάρτητον.

30 Σκιρτήσατε, οἱ βουνοί,
τὰ ὄρη καὶ πᾶσα
ἡ τοῦ Ἰορδάνου
περίχωρος ᾄδουσα,
Χριστοῦ βαπτιζομένου σαρκί.

f. 27 35 ‖ Ἀξίωσον, ὁ Θεός,
τὴν τοῦ βαπτισμοῦ σου
ἰδεῖν ἡμᾶς πάντας

17 ἀρεσκίαν] θεῖαν τρίβον Ch 22 versus deest in Cy
heirm. γ' EE 17, n. 22, Joannis, ubi autem vv. 3-4. his verbis substituuntur: τὴν γῆν ἐπὶ τῶν ὑδάτων, / ὅτι οὐκ ἔστιν ἅγιος / πλήν σου, κύριε.

20 Ez. 44,2 23 Gen. 28,12 30-33 Ps. 113,4 31-33 Gen. 13,10

ἡμέραν καὶ φώτισον
ἐν ταύτῃ τὰς καρδίας ἡμῶν.

θεοτ. 40 * Παρθένε, χαῖρε, σεμνή,
ἡ ἀνερμηνεύτως
τεκοῦσα τὸν Λόγον,
Χριστὸν τὸν Θεὸν ἡμῶν,
τὸν μόνον πολυέλεον.

f. 27ᵛ Κάθισμα.
Ἦχος α'. *Χορὸς ἀγγελικὸς*

Φορέσας τὴν ἐμήν,
Ἰησοῦ μου, πτωχείαν
. . . .

f. 28 ᾠδὴ δ'. *Κατενόησα, παντοδύναμε,*

45 Ἰωάννη, προϋπάντησον
f. 28ᵛ τῷ δεσπότῃ σου φό‖βῳ
καὶ ἑτοιμάζου πρὸς τὸ βαπτίσαι αὐτόν.

Προκηρύττει νῦν ὁ Πρόδρομος
Χριστοῦ τὴν παρουσίαν
50 ἐν Ἰορδάνῃ, « μετανοεῖτε » βοῶν.

Ἰορδάνη, ἀναχαίτισον,
μὴ στραφῇς, ἀλλὰ τέρπου
βαπτιζομένου ἐν σοὶ τοῦ κτίστου σου.

39 ταύτῃ] αὐτῇ Cy 40-44 θεοτ. AHG I, 325
κάθ. MR III,29; ipsum κάθ., quod Cy ante canonem praebet, in Ch deest
heirm. δ' EE 17, n. 22, Joannis; heirm. integer in Cy invenitur
49 τὴν χριστοῦ παρουσίαν Ch

50 Matth. 3,2 51-52 Ps. 113,3

Τὴν ἁγίαν, Χριστέ, σοῦ βάπτισιν
55 ἰδεῖν καὶ προσκυνῆσαι,
σωτὴρ τοῦ κόσμου, ἡμᾶς ἀξίωσον.

θεοτ. Ἱλασμόν σε προβαλλόμεθα,
εὐκλεὲς θεοτόκε,
πρὸς τὸν υἱόν σου καὶ ποιητὴν τοῦ παντός.

ᾠδὴ ε'. *Ἐκ νυκτὸς ὀρθρίζοντες*
ἀνυμνοῦμέν σε, Χριστὲ ὁ Θεός,

60 Ὁ Χριστὸς προέρχεται
βαπτισθῆναι, Ἰωάννη, ἐκ σοῦ
ἐν Ἰορδάνῃ, θέλων μου
ἀποπλῦναι ἅπασαν
τὴν ἁμαρτίαν ἐν τῷ ὕδατι.

65 Ἰησοῦς βαπτίζεται,
Ἰωάννης τρέμει καὶ δειλιᾷ,
Ἰορδάνης στρέφεται
εἰς τὰ ὀπίσω, βλέποντες
τὸν πλαστουργὸν αὐτῶν βροτὸν καὶ γυμνόν.

70 Φῶς οἰκῶν ἀπρόσιτον,
τοῦ κόσμου φῶς, Χριστὲ ὁ Θεός,
τὰς διανοίας φώτισον
f. 29 τῶν τὴν θείαν βάπτι||σιν
πνευματικῶς ἑορταζόντων σου.

---

54 Τὴν ἁγίαν σου χριστέ ... Cy
57-59 θεοτ. deest in Cy; titulus vero apud anteriorem stropham exaratus est
heirm. ε' EE 17, n. 22, Joannis; textum heirm. integrum Ch praebet
66 ἰωάννη τρέμει δειλειᾶ Cy 69 αὐτὸν Ch Cy 73 τῶν om. Cg 74 σοι Cy

---

67-68 Ps. 113,3

θεοτ. 75 Θεοτόκε δέσποινα,
τοὺς ὑμνοῦντάς σε περίσωζε
ἀπὸ ὀργῆς καὶ θλίψεως·
σὲ γὰρ πάντες ἔχομεν
χριστιανοὶ θερμὴν ἀντίληψιν.

f. 29v ᾠδὴ ς'. *Τὸν προφήτην διέσωσας*

80 Ὁ σωτὴρ πρὸς τὸ βάπτισμα
ἀνθρωπικῶς παρεγένετο·
εὐφράνθητι πᾶσα ἡ κτίσις
χορεύουσα μέγιστα.

Ἰωάννη, ὑπηρέτησον,
85 Ἰορδάνη, ὑπόδεξαι,
σκιρτᾶτε, βουνοὶ καὶ τὰ ὄρη·
βαπτισθῆναι ἥκει Χριστός.

Ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν
βαπτισθῆναι προέρχεται
90 ὑπὸ Ἰωάννου τοῦ δούλου
ἐν τῷ Ἰορδάνῃ σαρκί.

θεοτ. Θεοτόκε ἀμίαντε,
τοὺς εἰς σὲ καταφεύγοντας
ῥῦσαι ἀπὸ πάσης ἀνάγκης
95 εὐχαῖς σου δεόμεθα.

Κάθισμα.
Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Ποταμὸς εὐσεβείας
....

---

heirm. ς' EE 17, n. 22, Joannis 86 σκιρτήσατε Cy 87 βαπτισθῆναι γὰρ ... Cy
κάθ. MR III, 32; Ch aliud κάθ. Ὁ συνάναρχος Λόγος ... refert MR III,46; Cy autem pro κάθ. hoc κοντάκ. sancti Silvestri tradit: ἦχος δ'.

---

86 Ps. 113,4

ᾠδὴ ζ'. *Ὁ ἐν τῇ βάτῳ ὀφθεὶς*

Ἐν Ἰορδάνῃ Χριστὸς
βαπτισθῆναι ἥκει, θέλων
τῶν ἀνθρώπων
ἐν αὐτῷ ἀποκαθᾶραι τὸ γένος·
f. 31 100 ἐν ἐπι||γνώσει ἅπαντες
ψαλμικῶς εὐφρανθῶμεν, πιστοί.

Τὰς τῶν δρακόντων κάρας
ἐν τοῖς ῥείθροις Ἰορδάνου
ὁ σωτήρ μου
105 βαπτιζόμενος συνθλάττει, ᾧ κράζω·
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Ὁ Βαπτιστὴς τὸν Χριστὸν
Ἰωάννης προσεκύνει
110 ἐν τοῖς ῥείθροις
Ἰορδάνου καὶ βαπτίζει κραυγάζων·
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Ἐπεφάνης σήμερον Ὡς φωστῆρα μέγαν σε / οἱ ἐν τῷ σκότει / ἐσχηκότες, Σίλβεστρε, / τῶν διδαγμάτων σου βολαῖς / καταυγαζόμενοι, μέλπομεν· / « χαίροις » βοῶντες, / « πατέρων ἀγλάϊσμα ». Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν* Ἱερωσύνης τῷ φωτὶ / φαιδρῶς ἠγλαϊσμένος, / θεόφρον ἱεράρχα, / τὴν Ῥώμην καταλάμπεις / ταῖς τῶν δογμάτων σου αὐγαῖς· / πρῶτος γάρ, τρισμάκαρ, / ἐν αὐτῇ καὶ πανταχοῦ / τὴν πίστιν κατετράνωσας, / τὸν ἄνακτα τῆς νόσου ῥυσάμενος / καὶ τῷ καθαρσίῳ τοῦ πατρὸς / βαπτίσματι ἀποπλύνας, / ἐντεύξεσι θείαις / ἰασάμενος αὐτὸν ἀληθεῖ / καὶ καταυγάσας / τὸ φῶς τοῖς πιστοῖς· / διό σε μακαρίζομεν.

heirm. ζ' EE 17, n. 22, Joannis; heirm. integrum Ch profert Cy in loco odes ζ' eadem troparia sextae odes repetit 106 post κύριε orat. detruncat Cg 109 Ἰωάννην Ch 112.118 post εὐλογητὸς orat. varie recidunt Cg Ch

θεοτ. Ὁ ἐν γαστρὶ τῆς ἁγνῆς
115 ἐνοικήσας ὑπὲρ λόγον
καὶ φυλάξας
μετὰ τόκον πάλιν ταύτην παρθένον,
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

f. 31v ᾠδὴ η'. *Ὕμνον σοι προσφέρομεν*

120 Χριστὸς ὁ Θεὸς ἡμῶν
ἐν Ἰορδάνῃ
τοῦ βαπτισθῆναι
παραγίνεται
ὑπὸ δούλου καὶ σῶσαι
125 τοὺς ἐν πίστει ἀναβοῶντας·
« ὑμνεῖτε τὸν κύριον ».

Ἐπέστη ὁ κύριος
τοῦ βαπτισθῆναι
ἐν Ἰορδάνῃ·
130 ἀγαλλιᾶσθε
οἱ λαοὶ ἐκβοῶντες·
« εὐλογεῖτε πάντα τὰ ἔργα
κυρίου τὸν κύριον ».

Ὁ λύχνος καὶ Πρόδρομος
135 τὴν παρουσίαν
τοῦ ἀπροσίτου
φωτὸς κηρύττει,
ἐκβοῶν καὶ διδάσκων·
« εὐλογεῖτε πάντα τὰ ἔργα
140 κυρίου τὸν κύριον ».

---

117 ταύτην πάλιν Ch

heirm. η' EE 17, n. 22, Joannis 125 ἀναβοῶντας] [illegible] Cy 126 ὑμνεῖτε] εὐλογεῖτε Cy, qui post εὐλογεῖτε orat. abrumpit 127 κύριος] χριστὸς Cy 132 post εὐλογεῖτε laudem varie excidunt Cg Cy 139. 146 post εὐλογεῖτε orat. varie detruncant cdd.

f. 32 θεοτ. || Ἐτέχθης, φιλάνθρωπε,
ὡς ἠβουλήθης
ἐκ τῆς παρθένου
Μαρίας σῶσαι
145 τοὺς ἐν πίστει βοῶντας·
« εὐλογεῖτε πάντα τὰ ἔργα
κυρίου τὸν κύριον ».

f. 32v ᾠδὴ θ'. *Τῆς ὑπερφυοῦς λοχείας σου ὁ τρόπος*

Σάρκα προσλαβόμενος ἐκ τῆς παρθένου
ὁ τοῦ Θεοῦ πατρὸς υἱὸς καὶ Λόγος,
150 ὑπὸ Ἰωάννου
f. 33 ἐν τοῖς ῥεί||θροις Ἰορδάνου παραγίνεται
βαπτισθῆναι νῦν ὁ ἄσαρκος.

Ἤγγικε τῶν Φώτων ἡ ἡμέρα·
ἀγαλλιᾶσθε οἱ ἀδαμιαῖοι,
155 σκιρτήσατε ὄρη
καὶ βουνοὶ καὶ τὰ περίχωρα τοῦ Ἰορδάνου,
τὸν Χριστὸν μεγαλύνοντες.

Σῶσον τὸν λαόν σου, σῶτερ, ὃν ἐκτήσω
τῇ ἐπιλάμψει σου, οἰκτῖρμον,
160 καὶ βλέψαι ἀξίως·
τὴν τῶν Φώτων ἑορτήν σου καταξίωσον
ἐν αὐτῇ τοῦ δοξάσαι σε.

θεοτ. Νέμειν σοι, ἁγνή, τὸ χρέος κατ' ἀξίαν
οὐκ εὐποροῦμεν ὡς προστάτῃ·
165 τῷ πόθῳ δὲ ὅμως
ὅση δύναμις ὑπάρχει νῦν κινούμενοι
ἐν ᾠδαῖς σε δοξάζομεν.

---

143 ἐκ τῆς] καὶ ἐκ Cy 144 σώσας Cy
heirm. θ' EE 13, n. 16, Andreae; heirm. integer in Ch Cy invenitur
heirm. τρόπος] τόκος Ch Cy 158 σῶτερ om. Ch 163 ἁγνὴ om. Cy
164 προστάτῃ pro προστάτιδι habeas 166 ὅση] ὡς ἡ Cg Cy

155-156 Ps. 113,4; Gen. 13,10

2 IAN. *CANON* V

IN SANCTUM SILVESTRUM PAPAM ROMAE

Synaxarium, 365-366: .....τοῦ ὁσίου πατρὸς ἡμῶν Σιλβέστρου πάπα Ῥώμης. Οὗτος ὁ μακάριος χειροτονεῖται διὰ τὴν εἰς ἄκρον τῆς ἀρετῆς ἀνάβασιν τῆς πρεσβυτέρας Ῥώμης ἐπίσκοπος..... καὶ πολλοὺς ζωγρήσας τῇ σαγήνῃ τῶν θεοπνεύστων αὐτοῦ λόγων, ὀψώνιον τῇ τοῦ Χριστοῦ τραπέζῃ προσήγαγεν..... καὶ Ἑβραίων θράσος διὰ τῆς δοθείσης αὐτῷ σοφίας ἐταπείνωσε.....

Crypt. Δ.α. XV = Cg, ff. 25v-33v
Crypt. Δ.α. V = Ch, ff. 12-15v
Patm. 198 = Πd, ff. 15-18v

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

* Τρυφήσας, μακάριε,
πνευματικῶς τὰ τοῦ πνεύματος,
ἠρεύξω θεόπνευστα
δογμάτων λόγια,
5 δι' ὧν γέγονας
ποιμὴν τῆς ἐκκλησίας
πρὸς μάνδραν οὐράνιον
διαβιβάζων αὐτήν.

* Πρὸς ὕψος ἀνέδραμες
10 τῶν τῆς γραφῆς ἀναβάσεων
καὶ ταύτης κατώπτευσας

---

tit. Ἕτερος κανὼν τοῦ ἁγίου σιλβέστρου Cg Ἕτερος κανὼν εἰς τὸν ἅγιον σίλβεστρον Πd
heirm. α' EE 99, n. 141, Joannis 1-24 troparia An. κς' 1 Πλουτήσας, θεόπνευστε, An. 2 τῶν τοῦ πνεύματος Πd τὰ μυστήρια An. 3 θεόπνευστα] μακάριε An. 9 ἀνέδραμες] οὐράνιον Πd 10 τὸ τῆς γραφῆς ἀναβέβηκας Πd

νοῦ καθαρότητι
τὸ ἀμήχανον
καὶ ἀπόθετον κάλλος,
15 δι᾽ οὗ ἐχρημάτισας
ἱεραρχίας λαμπτήρ.

* Τῆς θείας ἐλλάμψεως
τοῦ νοητοῦ, πάτερ, ἔτυχες
φωτὸς καὶ κατηύγασας
20 τὰς διανοίας ἡμῶν,
τὰς αἱρέσεις δὲ
ἀκτῖσιν ὀρθοτόμοις
σκεδάσας κατέφλεξας,
Σίλβεστρε ἔνδοξε.

25 Δογμάτων λαμπρότητι
τῆς ἐκκλησίας τὸν στέφανον
σαφῶς κατεποίκιλας,
πάτερ μακάριε·
ὡς τιμίους γὰρ
30 λίθους καὶ μαργαρίτας
τὰ κάλλη τῶν λόγων σου
φέρουσα στέφεται.

θεοτ. * Ὁ τόκος ἀπείρανδρος
ἐν σοὶ τελεῖται, πανάμωμε·
35 ἐκ σοῦ γὰρ ὑπέρθεος
f. 26 Λό||γος προέρχεται
καὶ τηρήσας σε
παρθένον μετὰ τόκον,
Θεός τε καὶ ἄνθρωπος
40 ὁρᾶται τέλειος.

---

14 καὶ ἀπόθετον] ἀπόρθητόν τε An. 22 ὀρθοτόμοις ἀκτῖσιν Πd An. 23 σκεδάσας] τεφρώσας An. κατέφλεξας] κατέβαλες Πd 24 διὰ τοῦ Πνεύματος An. 30 μαργαρίτας καὶ λίθους Πd 31 τῷ κάλλει Πd 33-40 θεοτ. An. κς′ 35 γὰρ] ὁ An.

f. 26ᵛ ᾠδὴ β′. *Δῶμεν μεγαλωσύνην*
τῷ Θεῷ τῷ λυτρωτῇ ἡμῶν

Ἀνοίξας σου τὸ στόμα
ἐπληρώθης τῶν τοῦ πνεύματος
θείων λογίων, θεόφρον πάτερ,
ἐξ ὧν πηγάζεις δογμάτων ποταμούς.

45 Τῶν θείων διδαχῶν σου,
θεοφάντορ, ἀπολαύοντες,
κατατρυφῶμεν τῆς ἄνω δόξης
καὶ ταῖς πρεσβείαις σωζόμεθα ταῖς σαῖς.

Τὸν πλοῦτον κεκτημένος
50 τῶν γραφῶν ἐν τῇ καρδίᾳ σου,
ὑπὲρ χρυσίον καὶ λίθους διαυγεῖς
τῆς ἐκκλησίας ἐδείχθης θησαυρός.

Θεόληπτος τὸν τρόπον
καὶ τὸν βίον ἀνεπίληπτος
55 ὑπάρχων, πάτερ, δι᾽ ἀμφοτέρων
ἱερωσύνης ἀνέτειλας κανών.

θεοτ. Ὁ κτίσας τοὺς αἰῶνας
καὶ πατρὸς ὁ συναΐδιος
ἐκ σοῦ, παρθένε, τεχθεὶς ἀφράστως,
60 κτιστὸς ἐφάνη δι᾽ ἄκραν ἀνοχήν.

f. 27 ᾠδὴ γ′. *Εὐφραίνεται ἐπὶ σοὶ*

* Ἀκήλιδόν σου τὸν νοῦν
τῇ ἀναλάμψει τῶν χρηστῶν πράξεων
ἔχων, ἐδείχθης ἔσοπτρον
θείων, ἱεράρχα, ἐμφάσεων.

---

ode β′ deest in Πd An. 52 τῇ ἐκκλησίᾳ Ch
heirm. β′ EE 94, n. 133, Joannis
heirm. γ′ EE 94, n. 133, Joannis 61-64 troparium in Πd deest
61-72 troparia An. κζ′ 61 Ἀκήλιδόν σου] Ἀμόλυντόν σου Ch Ἀκηλίδωτον An.
62 χρηστῶν] σεπτῶν An. 64 ἱεράρχα, θείας λαμπρότητος An.

---

51 Ps. 18,11

65 * Τῆς χάριτος ἀληθῶς
τὴν ἐπωμίδα στολισθείς, Σίλβεστρε,
ἱερουργὸς γέγονας
τοῦ εὐαγγελίου τῆς χάριτος.

* Τῶν λόγων σου τὸ τερπνὸν
70 ὑπὲρ κηρίου γλυκασμὸν φέρουσα
ἡ ἐκκλησία, ἔνδοξε,
ἐκπτύει πικρίαν αἱρέσεων.

Τῆς ἄνω καὶ νοητῆς
πατριαρχῶν ἀξιωθεὶς λήξεως,
75 τῶν σὲ τιμώντων μνήσθητι
ἱλασμὸν πταισμάτων αἰτούμενος.

θεοτ. * Ὡς πύλην σε καὶ ναὸν
καὶ θείας δόξης κιβωτὸν σέβοντες,
μήτηρ Θεοῦ πανάμωμε,
80 πάντων ἐκ κινδύνων λυτρούμεθα.

f. 28 ᾠδὴ δ'. *Εἰσακήκοα ὁ Θεὸς τὴν ἀκοήν σου καὶ ἐφοβήθην*

* Τῇ σαγήνῃ τῆς ἀληθοῦς
ὁμολογίας ζωγρήσας, πάτερ,
ὡς ἰχθύας τὸ τῆς ποίμνης σου
ἱερὸν κατάστημα,
85 Θεῷ θυσίαν ζῶσαν προσήγαγες.

* Σὺ διέκοψας κεφαλὰς
αἱρετιζόντων, ὡς ἐν ἐκστάσει
τὸ τῆς πίστεως κεφάλαιον,

---

66 τῇ ἐπ' ἐλπίδι τελεσθείς, ὅσιε, An. 72 πικρίαν διαπτύει αἱρέσεως IId 76 αἰτούμενος] δωρούμενος IId 77-80 θεοτ. An. κζ' 78 καὶ] τῆς An. κιβωτὸν] κοινωνὸν An. 79 Μῆτερ An. 80 πάντων ἐκ] πάντων τῶν IId πάντες τῶν An. Ch post oden γ' κάθ. Ποταμὸς εὐσεβείας ... refert, quod autem in MR III, 32 invenies

heirm. δ' EE 107, n. 150, Andreae 81-95 troparia An. κζ' 83 τὸ] σὺ An. 85 ζῶσαν om. An. 87 ὡς ἐν ἐκστάσει αἱρετιζόντων An.

Χριστόν, ὁπλισάμενος·
90 διὸ καὶ νίκης ἔστησας τρόπαιον.

* Ἱεράρχης καὶ λειτουργὸς
τῆς θείας ὤφθης οἰκονομίας
καὶ τῆς δόξης· τῶν τοῦ πνεύματος
χαρισμάτων γέγονας
95 μυσταγωγὸς καὶ μύστης τῆς χάριτος.

Τῆς ἐνθέου κατατρυφῶν
καὶ ἀκηράτου ἐπαπολαύων
εὐωχίας, παμμακάριστε,
ταῖς εὐχαῖς σου πρόστηθι
100 τῶν σὲ τιμώντων πίστει δεόμεθα.

θεοτ. * Σὲ καὶ τεῖχος ἐν πειρασμοῖς
καὶ θείαν σκέπην ἐν περιστάσει,
θεονύμφευτε, κεκτήμεθα
καὶ λιμένα εὔδιον
105 καὶ ἀσφαλὲς ψυχῶν ἱλαστήριον.

f. 29 ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*

* Φῶς ἔλαμψας ἡμῖν
τῇ τῶν λόγων λαμπρότητι,
σκεδάσας δὲ τὴν ὁμίχλην
τῶν ἀθέων δογμάτων,
110 φωστὴρ ὤφθης ἀνέσπερος.

---

90 διὸ] δι' ὃν IId ἔστησας τρόπαια IId στέφος ἀνεπλέχθη σοι An. 91-95 troparium in Ch deest 95 τῆς χάριτος] πανίερος An. 97 ἐναπολαύων IId 101-105 θεοτ. An. κζ' 101 καὶ om. An.

heirm. ε' EE 94, n. 133, Joannis Ch primum troparium Φῶς ἔλαμψας ἡμῖν alia stropha substituit: Σὺ θεῖος ποταμὸς ... ed. in An. κζ', IId utramque stropham ordine I Σὺ θεῖος ποταμὸς II Φῶς ἔλαμψας ἡμῖν tradit 106-110 troparium An. κζ' 106 Φῶς ἔλαμψας] Ἐξέλαμψας An. 107 τῇ τῶν] τῶν σῶν An. λαμπρότητα An. 108 δὲ] τε IId 110 φωστὴρ] ἀστὴρ An.

* Χεῖρα ταῖς πρὸς Θεὸν
ἱκεσίαις μοι ἔκτεινον
ἐν θλίψεσι βοηθείας,
ἐν δειναῖς δυσχερείαις,
115 ἐν πταίσμασι, θεράπον Χριστοῦ.

Σκηνῆς ἱερουργὸς
ἀνεδείχθης τῆς χάριτος
καὶ σύμβολα τῆς τοῦ νόμου
ἀνεδέξω λατρείας
120 ὑπέρτερα, μακάριε.

θεοτ. Δυνάμεις οὐρανῶν
καὶ πᾶσα φύσις τῶν γηγενῶν
κυρίως σε θεοτόκον
προσκυνοῦσι, παρθένε,
125 καὶ πιστῶς μακαρίζουσιν.

f. 29ᵛ ᾠδὴ ϛ'. *Ἐβόησε*
προτυπῶν τὴν ταφὴν τὴν τριήμερον

* Τὴν ἄβυσσον
τῶν τῆς γραφῆς νοημάτων ἠρεύνησας
καὶ τὸν πλοῦτον
τῶν ἐνθέων δογμάτων ἐξήνθησας
130 καὶ ἐξήρανας
ποταμούς, ἱεράρχα, αἱρέσεων.

111-115 troparium An. κζ'; idem troparium Ch om. 111 ταῖς] σαῖς An. 112 ἔκτεινον] δώρησαι Πd 113 βοηθεία Cg 114 ἐκ δεινῶν δυσχερείας An. 115 ἐν πταίσμασι] πανεύφημε An. 124 προσκυνεῖ σε Cg 125 μακαρίζομεν Cg

heirm. ϛ' EE 125, n. 172, anonimi 126-137 troparia An. κη' 127 τῶν τῆς γραφῆς] τῶν γραφῆς Ch τῆς γραφῆς Πd τῶν γραφῶν An. ἠρεύνησας] ἐξήντλησας An. 129 ἐξήνθησας] ἐξήντλησας Πd ἐπλούτησας An.

f. 30 * ‖ Τὴν μάχαιραν
τῷ τοῦ πνεύματος λόγῳ σπασάμενος,
τῶν ἀθέων
135 νοημάτων ἀνεῖλες τὰ ἔκφυλα
καὶ ἐζώωσας,
θεοφόρε, πιστῶν τὰ φρονήματα.

Καθάρας σου
τὴν καρδίαν τῇ αἴγλῃ τοῦ πνεύματος,
140 ἐνοπτρίζῃ
τὰς αὐγὰς τῆς ἀΰλου θεότητος,
ἱεράρχα μύστα,
καὶ νῦν μακαρίζῃ σὺν τοῖς ἄνω χοροῖς.

* Τῇ τραπέζῃ
145 τῇ ἀΰλῳ Χριστοῦ παριστάμενος
καὶ τῆς θείας
εὐωχίας αὐτοῦ ἀξιούμενος,
ἐκτενῶς μὴ παύσῃ
ἐξαιτῶν ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

θεοτ. 150 * Τῷ τόκῳ σου
τῆς ἀρχαίας ἀρᾶς ἀπηλλάγημεν·
τὴν χαρὰν γάρ,
θεομῆτορ, γαστρί σου συνείληφας
καὶ Θεὸν τεκοῦσα
155 γηγενῶν τὴν μορφὴν ἐθεούργησας.

---

133 τῶν ... λόγων Πd 135 ἀνεῖλε Ch καθεῖλες An. 136 ἐζώωσας] ἐρρίζωσας An. 137 φρονήματα] νοήματα Πd An. 140 ἐνοπτρίζου Ch 143 μακαρίζει] συναγάλλει Ch 144-149 troparium An. κη' 145 τῇ ἀΰλῳ] τοῦ Δεσπότου An. 148 μὴ παύσῃ] δυσώπει Πd 149 ἱλασμὸν ἐξαιτῶν An. 150-155 θεοτ. An. κη' 153 θεομῆτορ, γαστρί σου] ἐν γαστρί σου, Παρθένε, An. συνέλαβες Ch Πd An. 155 γηγενῶν] τῶν ἀνθρώπων An. μορφὴν] φύσιν Ch Πd An. ἐθεούργησας] ἐθέωσας An.

Ch post oden ϛ' profert κοντάκ. Τοῦ θεαρέστου βίου et οἶκ. Ὡράθης ἥλιος: Δρακόντων μύλας; Ἡ θεία δυὰς ed. in GIB 233

f. 31 ᾠδὴ ζ'. *Ὁ διασώσας ἐν πυρὶ*

* Ὡς τῆς σοφίας ἐραστὴς
ἔρωτι ἀσχέτῳ συνήφθης
τῇ ἀγαπήσει τοῦ Χριστοῦ,
ἱεράρχα· διὸ καὶ ἐκραύγαζες·
160 « ὑπερύμνητε κύριε,
ὁ Θεὸς ὁ τῶν πατέρων,
εὐλογητὸς εἶ ».

* Ἐν τῇ τῆς πίστεως στερρᾷ
ἔστησας τοὺς πόδας σου πέτρᾳ
165 καὶ τρικυμίαις πειρασμῶν
ἀκατάσειστος ὤφθης καὶ ἔκραζες·
« ὑπερύμνητε κύριε,
ὁ Θεὸς ὁ τῶν πατέρων,
εὐλογητὸς εἶ ».

170 * Ποίμνης κατάρχων λογικῆς
ἔθρεψας αὐτὴν ἐν τῇ χλόῃ
τῶν ἀθανάτων διδαχῶν
καὶ πιστῶς σὺν αὐτῇ ἀνεκραύγαζες·
« ὑπερύμνητε κύριε,
175 ὁ Θεὸς ὁ τῶν πατέρων,
εὐλογητὸς εἶ ».

θεοτ. * Ἐλπὶς καὶ σκέπη καὶ λιμὴν
καὶ ἀκαταμάχητον τεῖχος
καὶ προστασία ἀσφαλὴς
180 τοῖς κραυγάζουσιν ὤφθης, πανάμωμε·
« ὑπερύμνητε κύριε,
ὁ Θεὸς ὁ τῶν πατέρων,
εὐλογητὸς εἶ ».

heirm. ζ' ΕΕ 101, n. 142, Cosmae 156-183 ode ζ' An. κη' 157 συνήφθης] τῆς δόξης Πd 158 τῆς ἀγαπήσεως χριστοῦ Πd 159 ἱεράρχα γενόμενος ἔκραζες Πd 160-166 post κύριε orat. varie detruncant cdd. 161 τῶν om. An. 166 ἔκραζες] ἔψαλλες An. 173 αὐτοῖς Πd 174.181 post ὑπερύμνητε orat. varie excidunt cdd.

f. 32 ᾠδὴ η'. *Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε,*

* Τῷ ἐλαίῳ χρισθεὶς τῷ τοῦ πνεύματος,
185 ἱεράρχης Θεοῦ ἀναπέφηνας
ὡς Ἀαρών, πανεύφημε,
καὶ ἐδίδασκες ψάλλειν·
« πάντα τὰ ἔργα
εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον ».

190 * Τὴν ἱεράν σου στολὴν τῷ τοῦ λόγου τερπνῷ,
θεοφάντορ, πιστῶς κατεκόσμησας
καὶ δι' ἀμφοῖν ἐξέλαμψας,
ἐκδιδάσκων κραυγάζειν·
« πάντα τὰ ἔργα
195 εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον ».

* Ἀπροσίτῳ φωτὶ ἀστραπτόμενος,
τὴν τῆς πλάνης ἀχλὺν ἐξεμείωσας·
κἀμοῦ τὸν ζόφον σκέδασον
τῶν παθῶν σαῖς πρεσβείαις,
200 ὅπως κραυγάζω·
« εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον ».

f. 32ᵛ θεοτ. * ‖ Ὡς ἐκ ζάλης παθῶν κυματούμενοι,
τῷ λιμένι τῷ σῷ καταφεύγομεν,
θεοκυῆτορ ἄνασσα,
205 καὶ βοῶμεν ἀπαύστως·
« πάντα τὰ ἔργα
εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον ».

heirm. η' ΕΕ 96, n. 135, Joannis 184-208 ode η' An. κη' 185 ἀναπέφηνας] ἀναδέδειξαι An. 185 Θεοῦ] χριστοῦ Πd 186 πανεύφημε] μακάριε An. 187 ψάλλειν] κράζειν An. 188 post ἔργα orat. varie abrumpunt cdd. 194 post πάντα orat. varie detruncant cdd. 197 ἐξεμείωσας] ἐξεδίωξας Πd ἀπεμείωσας An. 199 σαῖς πρεσβείαις] θεομάκαρ Πd ἱεράρχα An. 200 ταῖς σαῖς πρεσβείαις Πd An. 201 ὅπως χαίρων τὴν μνήμην δοξάζω σου Πd ἵνα χαίρων δοξάζω τὴν μνήμην σου An. post εὐλογεῖτε laudem intermittunt Cg Ch 206 post πάντα orat. varie recidunt cdd.

f. 33 ᾠδὴ ϑ'. *Ὅτι ἐποίησέ μοι*

* Ἡ εὔσημός σου γλῶσσα,
ὥσπερ σάλπιγξ εὔηχος
210 φωνοῦσα τὰ τοῦ Λόγου μυστικῶς,
f. 33ᵛ διεγείρει || τοὺς πιστοὺς
καὶ καθοπλίζει, θεουργέ,
πρὸς ἀοράτους ἐχθρούς.

* Τὸ ἔνδυμα τὸ θεῖον
215 στολισάμενος μυστικῶς,
εἰσῆλθες εἰς τὴν ἄνω νυμφικῶς
εὐωχίαν καὶ χαρὰν
καὶ ἀνεκλίθης σὺν Χριστῷ,
Σίλβεστρε ἔνδοξε.

220 * Ἀγάλλεται συμφώνως
καὶ σκιρτᾷ πατέρων χορός,
εὐφραίνεται ὁμήγυρις πιστῶν
καὶ χορεύει σὺν αὐτοῖς
ἡ ἐκκλησία μυστικῶς
225 ἐπὶ τῇ μνήμῃ σου.

θεοτ. * Τὴν σὲ τιμῶσαν πόλιν
ἡ τεκοῦσα τὸν τοῦ Θεοῦ
ἀμνὸν καὶ ἀρχιποίμενα Χριστὸν
ἐκ κινδύνων καὶ φθορᾶς
230 καὶ ἁμαρτίας καὶ παθῶν
λύτρωσαι, δέσποινα.

---

heirm. ϑ' EE 106, n. 149, Andreae 208-231 ode ϑ' An. κϑ' 209 σάλπιξ Ch 210 τὰ] τὸ An. μυστικὰ Πd μυστικὸν An. 212 θεουργῶς An. 217 καὶ χαρὰν] καθαρὰν Πd 218 ἀνεκλήθης Cg Ch 219 πάτερ πανόλβιε An. 220 ante troparium Ἀγάλλεται ... hoc troparium inserunt Ch Πd: 1 Σεπτῶς ἡ ἐκκλησία / 2 ὡς ἑόρτιον καὶ κλητὴν / 3 τῆς μνήμης σου ἡμέραν ἐκτελεῖ / 4 καὶ δοξάζει σὺν ἡμῖν / 5 τὸν σὲ δοξάσαντα Θεόν, / 6 ἔνδοξε Σίλβεστρε. (2 κλητὴν] σεπτὴν Πd 3 τῇ μνήμῃ σου Πd 6 Σίλβεστρε ἔνδοξε Πd) 223 σὺν αὐτοῖς] μυστικῶς Πd An. 224 μυστικῶς] σὺν ἡμῖν Πd τοῦ Θεοῦ An. 226 Τὴν τιμῶσάν σε ... An. πόλιν] ποίμνην Πd 230 ἁμαρτίας καὶ] καὶ om. An. 231 ῥύσαι δεόμεθα Πd

IN PROFESTUM EPIPHANIAE ET IN SANCTUM SILVESTRUM PAPAM ROMAE

Sinait. gr. 598 = Σα, ff. 26ᵛ-27ᵛ
Crypt. Δ.α. XV = Cg, ff. 26-34

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τὸν σύνθρονον τιμῶ σε, Σίλβεστρε, Πέτρου· Γεωργίου.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

Τὸ φῶς τὸ ἐκλάμψαν ἐκ τοῦ πατρὸς
πρὸ πάντων αἰώνων,
ἐπ' ἐσχάτων δὲ ἐν σαρκὶ
φανὲν τοῖς ἀνθρώποις, ταῖς ἀκτῖσι,
5 Χριστέ, ἡμᾶς ταῖς σαῖς καταύγασον.

τοῦ ὁσίου Ὁ πυρίναις γλώσσαις τοὺς μαθητὰς
ταῖς τοῦ παρακλήτου

---

tit. Ἕτερος κανὼν προεόρτιος καὶ τοῦ ἱεράρχου φέρων ... Σα; in margine eiusdem cd. γεωργίου scriptum invenimus; in Σα ab initiis tropariorum, cum versus 28-33, 79-82, 225-228 desint, acrostichis mutila deducitur: τον σ<.>ν θρονο<.> τιμω σε σιλβεστρε πετρ<.>υ γεωργιου[υ]; Cg, turbato stropharum ordine, nullam acrostichidem profert, adiuvat tamen ad lacunas cd. Σα explendas (cfr. Commentarium); nomen auctoris, e theotokiis deductum, in Cg sic apparet: γ<.>ωργιου[ν]

heirm. α' EE 220, n. 315, Joannis 1-5 ante stropham Τὸ φῶς τὸ ἐκλάμψαν ... hoc troparium Cg praebet: Τὸν ἄφατον πλοῦτον ὁ λυτρωτὴς / τῆς αὐτοῦ σοφίας / ὑπέδειξε γὰρ ἐν σαρκὶ / τεχθεὶς ἐν σπηλαίῳ καὶ ἐν φάτνῃ / ἀνακλιθεὶς ὡς πολυέλεος. 6-10 troparium om. Cg

καθοπλίσας, σὲ τῷ αὐτοῦ,
Σίλβεστρε, φωτὶ καταλαμπρύνει
10 καὶ τοῖς ἐν γῇ φωστῆρα δείκνυσι.

Νέφη τῆς σαρκώδους διαδραμὼν
ζωῆς καὶ τῷ φέγγει
προσπελάσας τῷ νοητῷ,
τὴν τῶν ἀποκρύφων μυστηρίων
15 καθυπεδέξω γνῶσιν, Σίλβεστρε.

θεοτ. Γνόντες τὸν ὀφθέντα ἐπὶ τῆς γῆς
Θεὸν σαρκωθέντα,
θεωθέντες δὲ ὑπ' αὐτοῦ
χάριτι, ὑμνοῦμέν σε, παρθένε,
20 οἱ ἐντρυφήσαντες τῆς χάριτος.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι Θεός,
ὁ πάλαι τὸν Ἰσραὴλ

f. 27 || Σὺ τὸν φθαρέντα με,
Λόγε Θεοῦ, δίχα τροπῆς
φορέσας ὡς ἀγαθὸς
ἐκ τῆς παρθένου, πάλιν καινοποιεῖς
25 ἐν τῷ Ἰορδάνῃ
καὶ εὐπρεπείᾳ τῇ πρὶν
κατακοσμεῖς υἱοθετῶν.

<Υ —́ — — —́ — —
— — — —́ — — — —́
30 — —́ — — — — —́
— — — —́ — —́ — — — — —́
— —́ — — —́ —
— —́ — — — — —́
— — — —́ — — — —́>

11 σαρκώδους] σαρκός σου Cg 13 προσεπέλασας τῷ νοΐ Cg 18 καὶ θεωθέντες... Σα 20 τῆς δωρεᾶς οἱ ἐντρυφήσαντες Cg ode β' desideratur in Cg heirm. β' EE 230, n. 330, Andreae 28-34 troparium incipiens littera Υ om. Σα

τοῦ ὁσίου Νάματα, ὅσιε,
36 τὰ τῆς σοφίας ἀπαντλῶν
τοῦ πνεύματος, ποταμοὺς
τοὺς τῶν δογμάτων ἔβλυσας ἐπὶ γῆς,
δι' ὧν Ἰουδαίων
40 κατέκλυσας νοητῶς
τῶν δυσφημούντων τὰς φωνάς.

Θώρακα ἔνθεον
περιβαλλόμενος, σοφέ,
καὶ θείᾳ καθοπλισθεὶς
45 τοῦ παναγίου πνεύματος νοητῶς
μαχαίρᾳ, τῆς πλάνης
διέκοψας κραταιῶς
τὸν ἀσεβῆ συνασπισμόν.

θεοτ. Ἔλυσε, δέσποινα,
50 τῆς ἁμαρτίας ἐνοχὰς
ἡμῶν ὁ ἐκ σοῦ τεχθεὶς
καὶ ἐν αὐτῷ συνάψας πάντας πιστοὺς
καὶ προσοικειώσας,
κατήλλαξε τῷ πατρὶ
55 ὡς εὐδιάλλακτος Θεός.

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*
τῶν προστρεχόντων σοι, κύριε,

Ῥεῖθρα ἰορδάνεια
εἰς ποταμὸν πυρός, κύριε,
μεταποιῶν,
δι' αὐτῶν φλογίζεις
60 ἡμῶν τὰ ἁμαρτήματα.

τοῦ ὁσίου Ὅπλα πρὸς καθαίρεσιν
τῶν ἀσεβῶν λαβών, Σίλβεστρε,

heirm. γ' EE 224, n. 321, Joannis ante vv. 56-60 hoc troparium Cg profert: Ῥύσασθαι βουλόμενος / τὴν ἀνθρωπότητα, κύριε, / ἐκ τῆς φθορᾶς, / ἐν σαρκὶ ἐτέχθης / ἐν σπηλαίῳ ὡς ἄνθρωπος. 61-65 troparium deest in Cg

παρὰ Θεοῦ,
θείως ἀριστεύεις
65 κατὰ πάσης αἱρέσεως.

Νόμου τὴν παχύτητα
ὑπεισελθών, σοφὲ Σίλβεστρε,
τὸν ἐν αὐτῇ
εὗρες κεκρυμμένον
70 μαργαρίτην, τὸν κύριον.

θεοτ. Ὥσπερ ἐκ παστάδος σου
ὁ νοητὸς ἐν γῇ ἥλιος
διανασχών,
πάντας, θεοτόκε,
75 τοὺς πιστοὺς κατελάμπρυνεν.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Ὁ ἀπρόσιτος κύριος
προσιτὸς τοῖς δούλοις σαρκὶ ἐπέφανε
διὰ μόνην ἀγαθότητα,
ἵνα οἰκειώσῃ ἑαυτῷ τοὺς πιστούς.

τοῦ ὁσίου * Νομοθέτην σε κύριος
81 ἐν τῇ ἐκκλησίᾳ, Σίλβεστρε, θέμενος,
διὰ σοῦ δημιουργεῖ τοὺς πιστοὺς
πρὸς καινὴν καὶ θείαν τὴν κατάπαυσιν.

Τὰ σκιώδη τοῦ γράμματος,
85 Σίλβεστρε, διάρας παραπετάσματα,
καθαρὸν ἡμῖν ἀπέδειξας
τὸ τῆς ἀληθείας φῶς, τὸν κύριον.

---

72 ἐν γῇ] ἁγνή Cg
heirm. δ' EE 225, n. 322, Cosmae 76-79 ante troparium Ὁ ἀπρόσιτος ... hanc stropham Cg tradit: Ὁ τῆς χάριτος πλοῦτός σου / ἐν σπηλαίῳ, δέσποτα, δαψιλῶς ἐκχυθείς, / ἐμερίσθη εἰς τὰ πέρατα / καὶ ἀνθρώπων γένος κατεπλούτισεν. 80-83 troparium Bes I (1896-1897) 429; idem deest in Σα 84-91 troparia desiderantur in Cg

Ἱλαστήριον, ὅσιε,
νοητὸν πηξάμενος τὴν εὐσέβειαν,
90 δι' αὐτῆς δεκτὰς προσήγαγες
τὰς θυσίας Χριστῷ ὡς αὐτοῦ λειτουργός.

θεοτ. Ῥυπωθεῖσαν τὴν φύσιν μου
τῇ τῆς ἁμαρτίας ἰλύι, δέσποινα,
f. 27v ‖ ὁ ἐκ σοῦ τεχθεὶς ἐκάθηρε
95 τῆς υἱοθεσίας θείῳ ὕδατι.

ᾠδὴ ε'. *Φώτισον ἡμᾶς*
τοῖς προστάγμασί σου, κύριε,

Μέτοχον, Χριστέ,
θείας φύσεως εἰργάσω με
μετασχὼν αὐτὸς τῆς χείρονος
ἀναμαρτήτως
100 καὶ ζωῆς θείας ἠξίωσας.

τοῦ ὁσίου Ὤφθη τοῖς ἐν γῇ
εὐφροσύνη προεόρτιος
καὶ μεθέορτος ἡ μνήμη σου
ἡδυνομένη
105 διττοῖς, πάτερ, τοῖς χαρίσμασιν.

Σὺ ταῖς νοηταῖς
ἀστραπαῖς, πάτερ, τῶν λόγων σου
τὴν ἐκκλησίαν κατεφώτισας
καὶ Ἰουδαίων
110 τὰ φρονήματα ἠμαύρωσας.

Ἔδησας στερρῶς
δυσφημούντων γλώσσας, Σίλβεστρε,
τῷ τοῦ πνεύματος ἀλύτῳ δεσμῷ

---

heirm. ε' EE 224, n. 321, Joannis ante vv. 96-100 hoc troparium Cg profert: Μύρα νοητὰ / ἀναβλύσας ἐν σπηλαίῳ Χριστὸς / ἐν σαρκὶ ἐκ τῆς παρθένου τεχθείς, / τῇ εὐωδίᾳ / τῇ αὐτοῦ ἡμᾶς ⟨— — — — —⟩ (post ἡμᾶς scriba verbum praetermisit) 103 μεθέορτον Cg 106-115 troparia desunt in Cg

καὶ λάλον πάντων
115 τῶν πιστῶν τὸ στόμα ἔδειξας.

θεοτ. Γέγονε καινὰ
καὶ παράδοξα, πανάχραντε·
διὰ σοῦ ἐπὶ τῆς γῆς γὰρ Θεὸς
σαρκὶ ἐφάνη
120 καὶ βροτοὶ θεοὶ ἐδείχθησαν.

ᾠδὴ ς'. *Ἱλάσθητί μοι, σωτήρ·*
πολλαὶ γὰρ αἱ ἀνομίαι μου

Συνέτριψας κεφαλὰς
τὰς πολυμόρφους τοῦ δράκοντος
σωματικῶς ἐπιβὰς
τοῖς ὕδασι, κύριε,
125 καὶ ἰάσω ἅπαντας
τοὺς ἐν μετουσίᾳ
γεγονότας σου τῆς χάριτος.

τοῦ ὁσίου Ἰλύος τῆς ἐμπαθοῦς
ἀποκαθάρας τὸ σῶμά σου
130 καὶ νοὸς τῷ διαυγεῖ
ὁρῶν τὰ ἀπόρρητα,
λειτουργὸς ἐπάξιος
θείων μυστηρίων
ἀνεδείχθης, πάτερ Σίλβεστρε.

135 Λατρείαν τὴν νομικὴν
ἀποπαυθεῖσαν τῇ χάριτι
ἐκήρυττες ἐμφανῶς
τοῖς πέρασι, Σίλβεστρε·
διὸ καὶ διήλεγξας

---

117 πανάμωμε Cg 118-120 διὰ σοῦ γὰρ ὁ θεὸς ἐν σαρκὶ / ἐν γῇ ἐφάνη / καὶ βροτοὶ θεοῦ γεγόνασιν Cg
heirm. ς' EE 220, n. 315, Joannis heirm. 1 σῶτερ Cg 127 γεγονῶτα σου τῇ χάριτι Cg 130 τὸ διαυγὲς Cg 135-141 troparium desideratur in Cg 136 τὴν Σα

140 τοὺς προκαθημένους
τοῖς σκιώδεσιν αἰνίγμασιν.

Βέλεσι τοῖς νοητοῖς
τῶν σῶν δογμάτων κατέτρωσας
τῆς πλάνης παρεμβολὰς
145 καὶ ἔτρεψας, Σίλβεστρε,
ἐναντίων σύστημα,
ἀπομαχομένων
ἀποστόλων τῷ κηρύγματι.

θεοτ. Ἰδεῖν σου τὴν ἐπὶ γῆς
150 ὀφθεῖσαν δόξαν, θεόνυμφε,
ἠξιώθημεν ἡμεῖς
οἱ πόθῳ τιμῶντές σε·
ἀλλὰ καὶ τῆς κρείττονος
καὶ θείας ἐκείνης
155 ἐπιτύχοιμεν πρεσβείαις σου.

f. 28 || ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Ἐν τῷ σκότει τοῦ βίου
τὸ ἀπρόσιτον, Λόγε,
φῶς ἐξανέτειλας
καὶ τῆς φιλανθρωπίας
160 ἁπλώσας τὰς ἀκτῖνας
τοὺς πιστοὺς κατεφώτισας
ὑμνολογοῦντας, Χριστέ,
τὴν σὴν οἰκονομίαν.

τοῦ ὁσίου * Συνεχύθησαν γλῶσσαι
165 συμφωνοῦσαι τῇ πλάνῃ
ἐν τῇ δυνάμει, σοφέ,

---

144 παρεμβολὰς] παραβολὰς Cg 147-148 τὸ τῶν ἀποστόλων / μαχομένων τῷ κηρύγματι Cg 155 ἐπιτύχωμεν Cg
heirm. ζ' EE 224, n. 321, Joannis 162 ὑμνολογοῦντας] Ὁ τῶν πατέρων Cg post πατέρων orat. intermittitur in Cg 164-171 troparium Bes I (1896-1897) 431

τοῦ πνεύματος τοῦ θείου
τοῦ ἐν σοὶ ἐνεργοῦντος
καὶ εἰς μίαν συνήφθησαν
170 δοξολογίαν Θεοῦ
πιστῶν χοροστασίαι.

Τὸ γεῶδες σαρκίον
ἀποθέμενος, πάτερ,
δι' ἐγκρατείας παθῶν
175 ὡς ἄσαρκος τῷ κτίστῃ
ἀπαύστως ἐλειτούργεις
καὶ ἀνέμελπες, Σίλβεστρε·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

180 Ῥητορεύων τὰ θεῖα,
ἱεράρχα κυρίου,
πᾶσι μυστήρια,
ἐφίμωσας τοὺς πλάνους
καὶ ἔπεισας ἀνθρώπους
185 δοξολογεῖν τὸν κτίσαντα·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

θεοτ. Ὁ ἀόρατος Λόγος
κατ' οὐσίαν ὑπάρχων
190 ὡς ποιητὴς καὶ Θεὸς
σαρκὶ ἐφανερώθη
διὰ σοῦ, θεοτόκε,
ἡμῖν τοῖς ἀναμέλπουσιν·
« ὁ τῶν πατέρων ἡμῶν
195 Θεός, εὐλογητὸς εἶ ».

---

178 post ὁ laudem varie excidunt cdd. 180-187 tropario caret Cg 186 post ἡμῶν orat. detruncatur 194 post πατέρων laudem varie detruncant cdd.

ᾠδὴ η'. *Τὸν βασιλέα τῶν οὐρανῶν*

Ἐκ τῆς παρθένου ἀναλαβὼν
τῶν ἀνθρώπων
τὴν φθαρεῖσαν φύσιν ὁ δεσπότης,
ταύτην ἀναπλάττει
200 ἐν ῥείθροις Ἰορδάνου.

τοῦ ὁσίου Πρὸς θεῖον ἔρωτα τὴν ψυχήν,
ἱεράρχα,
ἀνατείνας θείᾳ ἀλλοιώσει,
τῆς τῶν ἐπιγείων
205 ἐξέστης προσπαθείας.

Ἐν τῷ πελάγει τῷ νοητῷ
τῶν δογμάτων
τοὺς τριστάτας, Σίλβεστρε, τῆς πλάνης
ἔπνιξας ἰθύνων
210 Χριστοῦ τὴν ἐκκλησίαν.

θεοτ. Ὑπερδοξάζομεν οἱ πιστοὶ
τὸν σὸν τόκον,
θεοτόκε ἄχραντε, οἱ θείας
διὰ σοῦ τυχόντες
215 δόξης εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Κυρίως θεοτόκον σὲ ὁμολογοῦμεν*

Τὸ πρὶν τῆς ἁμαρτίας
κάλυμμα ὁ κτίστης
ἐν Ἰορδάνῃ ἀπάρας, ἐνδύει με
υἱοθεσίας τὴν πρώτην
220 στολὴν ὡς εὔσπλαγχνος.

---

heirm. η' EE 224, n. 321, Joannis 201 τῆς ψυχῆς Cg 206 τῶν νοητῶν Cg 209 ἔπνιξας] ἔπληξας Cg 214 διὰ σοῦ] δι' αὐτοῦ Cg
heirm. θ' EE 224, n. 321, Joannis 220 ὡς] ὁ Cg

τοῦ ὁσίου

Ῥημάτων τὸ ἡδύ σου,
Σίλβεστρε, τῆς πλάνης
f. 28v — τὰ ἀτεκνοῦντα || ἐγλύκανεν ὕδατα
καὶ τοὺς πιστοὺς εὐσεβείᾳ
225 πάντας κατήρδευσεν.

Ὁ λόγος σου εἰς πᾶσαν,
Σίλβεστρε, τὴν κτίσιν
διαδραμὼν <— — ′ — — ′ — —
— — — ′ — — ′ —
230 ′ — — ′ — —.>

Ὑπάρχων ἐν ἀφάτῳ
δόξῃ σὺν τῷ Πέτρῳ
καὶ τὰ ἀμήχανα κάλλη ὁρῶν τοῦ Χριστοῦ,
ὑπὲρ ἡμῶν διὰ παντὸς
235 πρέσβευε, Σίλβεστρε.

θεοτ.

Ὑπάρχεις, θεοτόκε,
τοῖς σοῖς ὑμνολόγοις
καὶ παρρησία καὶ στόμα καὶ καύχημα
καὶ τῶν ἐμῶν πρὸς τὸν κτίστην
240 ἐλπίδων πλήρωμα.

---

221 τὸ] τε Cg ἡδύς σου Cg 223 ἐγλύκανας Cg 225 κατήρδευσας Cg 226-230 troparium desideratur in Σα 228-230 post διαδραμὼν scriba cetera praetermisit 231-235 troparium om. Cg 236-240 θεοτ. diversum in Cg: Νομὴν τὴν τοῦ θανάτου MR II, 459

IN SANCTUM SILVESTRUM PAPAM ROMAE

Crypt. Δ.α. XXXII = Ct, ff. 97v-99
Paris. Suppl. gr. 32 = Sa, ff. 153-154v
Mess. gr. 52 = M, ff. 108-109v
Paris. gr. 1571 = Pg, ff. 152-155
Barb. gr. 543 = Bb, ff. 53v-57v

Ὁ κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Ἐν βυθῷ κατέστρωσε ποτὲ*

* Τῆς τρυφῆς χειμάρρους ὁ Χριστὸς
νάμασι προέρχεται
δουλοπρεπῶς τοῦ Ἰορδάνου λούσασθαι·
τὰ ὄρη σκιρτήσατε,
5 ἀγαλλίασιν οἱ βουνοὶ περιζώσασθε,
οἱ ῥερυπωμένοι
κάθαρσιν πρὸς θείαν εὐτρεπίσθητε.

Μυσταρχίας θείας μετασχών,
Σίλβεστρε πανένδοξε,

Ct, alternatis odis, duos canones hoc ordine tradit: priorem (ff. 97v-98) n Profestum Epiphaniae (inc. Αἰσθανόμενος τὴν τοῦ κυρίου) MR III, 30, alterum (ff. 97v-99) quem referimus; in ff. 97v-98v τὸ τριῴδιον: Ἡ ἀπόρρητος τοῦ κτίστου MR III, 28 invenitur

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Ct M Bb Εἰς τὸν ὄρθρον... ἕτερος κανὼν τοῦ ἁγίου Pg

heirm. α' EE 34, n. 46, Joannis 1-7 troparium MR III, 65 1 χειμάρρους] ὑπάρχων M Pg Χριστὸς] θεὸς Bb 2 νάμασι] χείμαρρος M Pg 3 δουλοπρεπῶς] θεοπρεπῶς Pg τῷ ἰορδάνῃ M τοῦ om. Sa 5 περιζώσασθε] περιθεάσασθαι Bb 6 ἐρροιπομένοι M 8-14 troparium deest in Bb 8 Μυσταρχίας] Μοναρχίας Pg Εὐσταρχίας M

---

1 Ps. 35,9 4 Ps. 113,4-6 5 Ps. 64,13

10 τῆς τοῦ Θεοῦ ἱεραρχίας γέγονας
ποιμὴν ὑπερθαύμαστος
καὶ ὡδήγησας τοῦ κυρίου τὸ ποίμνιον
εἰς τὰς ἀκηράτους
πόας ψυχοτρόφους τε, πανόλβιε.

15 Τῷ ἀδύτῳ φέγγει τοῦ Χριστοῦ,
πάτερ, ἀστραπτόμενος
καὶ ταῖς αὐτοῦ ἐντολαῖς αὐγαζόμενος,
ἅπασιν ἐξήστραψας
ἀκτινοβόλον θεογνωσίας φέγγος τρανῶς,
20 Σίλβεστρε, τῷ ζόφῳ
εἰδωλομανίας τοῖς καθεύδουσιν.

θεοτ. * Τὴν ἁγνὴν ἁγνεύοντι νοΐ
δεῦτε μακαρίσωμεν,
τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησε,
25 Λόγος ἐκλεξάμενος
f. 98 ἣν κατῴκησεν, || ὡς σκηνὴν ἁγιάσματος,
ὡς τιμιωτέραν
πάντων τῶν κτισμάτων ἀνυμνήσωμεν.

ᾠδὴ γ΄. *Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας*

* Ἀβύσσους τῷ προστάγματι ὁ ποιήσας,
30 ὁ ὕδασι στεγάζων τὰ ὑπερῷα
ἐν ὕδατι προέρχεται βαπτισθῆναι·
ψυχή, γρηγόρησον,
παθῶν καθάρθητι
ἀρετῶν προφέρουσα
35 τὰ βλαστήματα.

19 ἀκτινόβολον Ct Sa Pg 20 τοῖς Pg ζόφῳ] πόθω M 21 τοῖς καθεύδουσιν] κινδυνεύουσιν Pg 22-28 θεοτ. MR III,65 25 Λόγος] Θεὸς Pg MR 26 ὡς κηνὴν M 27 τιμιωτέρα Sa M
heirm. γ΄ EE 38, n. 51, Cosmae 29-35 troparium MR III, 66 30 ὕδατι Ct 31 ὕδασιν Pg Bb 33 καθαρθήτι Sa 34 ἀρετοὺς Sa προσφέρουσα Sa Pg

24 Ps. 46,5 29 Pr. 8,24 30 Ps. 103,3

Ὑψούμενος ταῖς πτέρυξι τῆς ἀγάπης
τῆς θείας ταπεινώσεως ὑπερῷα
διέπτης, ἀταπείνωτόν σου τὴν πίστιν
φέρων ὡς δῶρημα
40 κυρίῳ τίμιον,
στίλβον ὑπὲρ ἥλιον,
ἔνδοξε Σίλβεστρε.

Τῶν λόγων ταῖς βολίσι σου σφενδονήσας,
τοῖς ῥείθροις τῶν δακρύων σου κατακλύσας
45 διώλεσας τὴν σπεῖραν τῶν Ἰουδαίων,
εὐχαῖς ποντίζων
αὐτῶν τὴν ματαιότητα,
δεικνὺς τὴν ἀλήθειαν,
ἔνδοξε Σίλβεστρε.

θεοτ. 50 * Πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους,
ἐν ὀδύνῃ ἐξέλιπεν ἡ ζωή μου,
κατέδυσα εἰς χάος πλημμελημάτων·
σῶσόν με, δέσποινα,
μὴ ὑπερίδῃς με·
55 προστασίαν ἄμαχον
σὲ γὰρ κέκτημαι.

⟨Κάθισμα.⟩

Ἦχος δ΄. *Ταχὺ προκατάλαβε*

Σφενδόνῃ, μακάριε,
τῇ τῶν δογμάτων σου
τὴν τύραννον ἔνστασιν τῆς ἀθεότητος

36-42 troparium deest in Bb 38 διέπτης] διέβης Pg 40 κυρίου M τίμιον] τέλειον Pg 43 Τῶν λόγων σου ταῖς βολίσην ἐκσφενδονήσας M Τῶν λόγων σου βολίσι ἐκσφενδονίσας Pg Τῶν λόγων ταῖς βολίσεις .... Bb 45 διέλυσας Pg σπεῖραν τῶν] πήραν τῶν M πόρρωσιν Pg 46 ποντίζων] ποτίζων M Bb ποντίζοντα Pg 47 αὐτῶν om. Pg 50-56 θεοτ. MR III,66 50 οἱ om. Pg
heirm. καθ. H R 63 2 τῇ] τὸ M 3 τυράννου M ἔκστασιν Sa

50 Ps. 55,3 51 Ps. 30,11

κατέβαλες, Σίλβεστρε·
5 ὅθεν καὶ ἀριστεύων
κατὰ τῆς ἀσεβείας,
ἄνωθεν ὑπεδέξω
τὰ βραβεῖα τῆς νίκης·
διὸ ὑπὲρ ἡμῶν τὸν Χριστόν,
10 πάτερ, ἱκέτευε.

ᾠδὴ δ'. *Ἐλήλυθας*
ἐκ παρθένου οὐ πρέσβυς, οὐκ ἄγγελος

Ἐπείγεται
δι' ἡμᾶς βαπτισθῆναι ὁ λύτρωσιν
ἡμῖν παρεχόμενος·
60 τούτῳ χαρᾷ ὑπαντήσωμεν,
πᾶσαν ἡδυπάθειαν
καὶ ψυχικὰς τὰς κηλῖδας
καθαιρόμενοι.

Τοῦ πνεύματος,
65 θεοφάντορ, ταῖς αὔραις πνεόμενος
ὅρμῳ προσεπέλασας
τῷ γαληνῷ, πλοῦτον ἄσυλον,
μέγιστον ἐμπόρευμα,
τὴν ἐκ δογμάτων σου φέρων
70 πίστιν, ὅσιε.

Ἐν τῇ πέτρᾳ
τῶν δογμάτων κυρίου πηξάμενος
τῆς λατρείας οἴκησιν,
ἀνεμοφθόροις προσκλύσεσι
75 ταύτην οὐ κατέρραξας
τῶν Ἰουδαίων ἐν λόγοις,
μάκαρ Σίλβεστρε.

---

6 ὑπὲρ τῆς εὐσεβείας Pg 9 τῶ χριστῶ Pg 10 πάτερ] μάκαρ Pg post καθ. in Pg abrumpitur oratio; folium enim cecidit, qua re in ipso codice odae δ', ε' et ς' desiderantur

heirm. δ' ΕΕ 34, n. 46, Joannis 57-63 troparium in M deest 64-70 troparium deest in Bb 74 προσκλήσεσιν M

θεοτ. * Κεκράξομαι
ἐν νυκτὶ καὶ ἡμέρᾳ, πανάμωμε,
80 πρὸς σὲ καὶ σωθήσομαι
καὶ ἡδονῶν ὑπερβήσομαι
τεῖχος καὶ ῥυσθήσομαι
πειρατηρίου δαιμόνων
ταῖς πρεσβείαις σου.

ᾠδὴ ε'. *Ὁ φωτισμὸς*
τῶν ἐν σκότει κειμένων

85 Ὁ φωτισμὸς
τῶν ἐν σκότει κειμένων
ἦλθεν, ἐφάνη,
ὕδασιν ἐπέστη τοῦ Ἰορδάνου·
ψυχή μου, σπεῦσον,
90 δάκρυσι καθαρθεῖσα,
ὑπαντῆσαι τούτῳ τὴν φύσιν ἡμῶν
θέλοντι καθᾶραι τῷ θείῳ βαπτίσματι.

Τὴν τῶν παθῶν
διατμήξας ἐν ῥάβδῳ
95 τῆς ἐγκρατείας
θάλασσαν, ἀβρόχως σαφῶς διῆλθες,
Σίλβεστρε μάκαρ,
ἀπεχθοῦς κακονοίας
Ἰουδαίων ὡς ὑποβρύχιον
100 φέρων τῇ ῥοῇ τῶν δογμάτων σου τάξεις αὐτῶν.

Τὴν τῶν παθῶν
ἐκκαθάρας ὑλώδη
ἄκανθαν, πάτερ,

78-84 θεοτ. MR III,68 79 πανάμω Ct 83 πειρατηρίων Bb MR

heirm. ε' ΕΕ 34, n. 46, Joannis 93-100 troparium deest in M 98 ἀπαχθοῦς Bb 101-108 troparium deest in Bb 103 ἄκανθα Ct Sa

---

78-80 Ps. 21,3-6 81-82 II Regn. 22,30 81-83 Ps. 17,30

δάκρυσιν ἀπέσβεσας ἀθείας
105 κάμινον, χαίρων
ὑποβὰς τοῖς κινδύνοις
τῶν καμάτων, Σίλβεστρε ἔνδοξε,
καὶ θεογνωσίας τὸ φῶς ἐξανέτειλας.

θεοτ. Ἡ πρὸς Θεὸν
110 μεσιτεία, ἡ σκέπη
τῶν δεομένων,
τῶν ἁμαρτανόντων ἡ σωτηρία
σῶσόν με, σῶσον
ἀπολλύμενον, κόρη·
115 τρικυμία παθῶν χειμάζει με,
μή με ὑπερίδῃς, ἁγνὴ ὑπεράγαθε.

ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Τὴν τοῦ δούλου μορφὴν ἐνδυσάμενος,
ἔρχεται πρὸς δοῦλον Χριστὸς αἰτῶν βάπτισμα
τοὺς δουλωθέντας πάθεσιν
120 ἐλευθέρους δεικνύων ἐν χάριτι.

Ἀσεβείας κατέκλυσας χείμαρρον
ῥείθρῳ τῶν δακρύων σου καὶ ἐν τῷ οἴκῳ Θεοῦ
ὡσεὶ ἐλαία ἤνθισας
τὸν καρπὸν τῶν δογμάτων σου, Σίλβεστρε.

125 Ἱερέων τῇ τάξει κοσμούμενος,
τὸν ἱερουργούμενον, μάκαρ, ἐκήρυξας
ἀδιαίρετον, σύνθρονον
τῷ πατρὶ καὶ τῷ πνεύματι, Σίλβεστρε.

---

110 μεσιτεία] προστασία M ἡ] καὶ M
heirm. ς' EE 34, n. 46, Joannis 118 δούλου Bb 121 κατέλυσας M
121-124 tropario caret Bb 122 ῥεῖθρα M

122-124 Ps. 51,10

θεοτ. Οὐρανὸν ὁ τανύσας τῷ νεύματι
130 ἄλλον οὐρανὸν ἐπὶ γῆς σε ἀνέδειξε,
θεογεννῆτορ πάναγνε,
καὶ ἐκ σοῦ τοῖς ἐν σκότει ἐπέφανε.

f. 98ᵛ ᾠδὴ ζ'. *Ἀντίθεον πρόσταγμα*

Τὰ ἔρημα σήμερον
τοῦ Ἰορδάνου
135 ἀνθήτωσαν· ἥκει γὰρ
Χριστὸς ἡ ἀπολύτρωσις
πυρὶ τῆς θεότητος
ἀναχωνεῦσαι ἡμᾶς
ὕδατι καὶ πνεύματι δεινῶς
140 τοὺς συντριβέντας τοῖς παραπτώμασιν.

Τοῦ νόμου τὴν σκότωσιν
χάριτος, πάτερ,
τῷ φέγγει ἠμαύρωσας,
Σίλβεστρε παναοίδιμε·
145 κηρύγματι, ὅσιε,
Χριστὸν Θεὸν ἐκφωνῶν,

---

131 πάναγνε] ἄμωμε M Bb post oden ς' Pg κοντάκ. proferebat, sed, cum ab eo folium ceciderit, primi versus κοντακ. nobis subtracti sunt; quae supersunt infra referimus: ....-ταυγαζόμενος μέλψωμεν, / « χαίροις » βοῶντες, / « πατέρων ἀγλάϊσμα ». Ὁ οἶκος. Ἱερωσύνης τῷ φωτὶ / φαιδρῶς ἠγλαϊσμένος, / θεόφρον ἱεράρχα, / τὴν Ῥώμην καταλάμπεις / ταῖς τῶν δογμάτων σου αὐγαῖς· / πρῶτος γάρ, τρισμάκαρ, / ἐν αὐτῇ καὶ πανταχοῦ / τὴν πίστιν κατετράνωσας, / τὸν ἄνακτα τῆς νόσου ῥυσάμενος / καὶ τῷ καθαρσίῳ τοῦ βαπτίσματος ἐκπλύνας, / ἐντεύξεσι θείαις ἰασάμενος αὐτὸν / καὶ δείξας ἐντεῦθεν τὴν ὁδὸν τὴν ἀληθῆ· / διό σε μακαριοῦμεν, / « χαίροις », βοῶντες, / « πατέρων ἀγλάϊσμα ». Bb post oden ς' κοντάκ. Τὸν μετὰ Πέτρου τοῦ σοφοῦ TRM ρλ', et hunc οἶκ. refert, quem cum Patmiaco 212, f. 141 contulimus: Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν* Τὴν ἀπαρχὴν τῶν ἀσκητῶν, / τῆς (τὴν Bb) πίστεως τὴν ἕδραν / καὶ βάσιν τῶν ποιμένων / καὶ ῥῶσιν τῶν ἐν νόσοις / καὶ τῶν βροτῶν φωταγωγὸν / δεῦτε, χριστοφόροι, / ἐν αὐλαῖς ταῖς τοῦ Θεοῦ / τερπνῶς ἐγκωμιάσωμεν· / οὗτος γὰρ ἁπλώσας τὰ δίκτυα / τῆς θεολογίας / σαγηνεύει τοὺς ἐν πλάνῃ / ζωγρευθέντας πρὸς θεογνωσίαν, / ἐν ᾧ καὶ εὐσεβεῖ / θεόθεν φωτίσας / σταυροφόρῳ βασιλεῖ, / βρεφῶν λυτροῦται / ἄδικον σφαγὴν / καὶ θρῆνον τῶν μητέρων, / δι' οὗ ἡ κτίσις ἀγάλλεται. (δι' ὧν εὐφράνθη ἡ κτίσις δοξάζουσα. Patm.)
heirm. ζ' EE 34, n. 46, Joannis, 146 χριστὸν τὸν ... M Pg ἐκφωνῶν] ἐμφανῶς Bb

---

129 Iob 9,8 132 Luc. 1,17 133-135 Is. 35,1-2

τούτῳ ἀνεκραύγαζες πιστῶς·
« εὐλογητὸς εἶ καὶ ὑπερένδοξος ».

Σκιᾶς τὴν ἀλήθειαν
150 ἀντανακλάσας,
διηύγασας ἅπασι
θεογνωσίας ἔλλαμψιν
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν,
τούτῳ προσάγων λαὸν
155 πίστει ἀνακράζοντα· « σωτήρ,
εὐλογητὸς εἶ καὶ ὑπερένδοξος ».

θεοτ. Χωρίον εὐρύχωρον
τῆς ἀχωρήτου
ὑπάρξασα φύσεως,
160 κατάρας ἠλευθέρωσας
τὴν φύσιν, πανάμωμε,
τῆς ἀνθρωπότητος·
ὅθεν μακαρίζει σε ἀεί,
εὐλογημένη καὶ ὑπερένδοξε.

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

165 Ὁ φωτισμὸς καὶ ἱλασμὸς
ἐπεφάνη τῶν ψυχῶν ἐν Ἰορδάνῃ,
ἡ πηγὴ τῆς σοφίας,
ὕδωρ τὸ ζῶν, τῆς τρυφῆς
χειμάρρουν ἡμῖν χαριζόμενος,
170 ὕδασιν ἐνθάπτων
ἡμῶν τὰς ἁμαρτίας.

Ῥώμης αἰπόλος γεγονὼς
ψυχοτρόφος ἱερός, Σίλβεστρε πάτερ,

147 τούτῳ] οὕτω M πιστῶς] βοῶν Pg 149-156 troparium om. Bb 151 ἅπασαν M Pg 152 ἔλλαψιν Pg 155 σωτὴρ] ὁ ὢν Pg 156 εὐλογητὸς εἶ] εὐλογημένος Pg post εὐλογημένος orat. abrumpit Pg 157 Χωρίαν Bb 158 τοῦ Ct Sa M Bb 163 ἀεὶ] ἁγνὴ Pg 164 καὶ ὑπερένδοξος Bb θεοχαρίτωτε Pg
heirm. η' EE 35, n. 47, Joannis 166 ἀνεφάνη Pg 170 ἐνθάπτει Pg

168 Zach. 14,8 168-169 Ps. 35,9

τοῦ πρωτάρχου σου Πέτρου
175 κατόπιν ἤλασας
βοήσας ὀρθοδόξως, ἅγιε·
« σὲ ὑπερυψοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας ».

Παύλου ταῖς θείαις διδαχαῖς
180 εὐπειθήσας, ὡς αὐτὸς ἄστεως θεῖος
ποιμενάρχης ἐγένου,
τίμιος, ἄκακος,
ὅσιος ἄνθρωπος, ἰσάγγελος,
κράζων σὺν ἀγγέλοις·
185 « Χριστέ, εὐλογητὸς εἶ
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Λυχνίαν, πύλην καὶ πηγὴν
καὶ παράδεισον καὶ ὄρος καὶ νεφέλην,
ξένην τράπεζαν, θρόνον,
190 τῶν προφητῶν ὁ χορὸς
σέ, κόρη, προβλέπων ἐκραύγαζεν·
« μήτηρ καὶ παρθένε,
ἁγνή, εὐλογημένη ».

ᾠδὴ θ'. *Ἀνάρχου γεννήτορος*

Ψυχῶν καθαρτήριον
195 ἐν Ἰορδάνῃ πάρεστιν,
Ἰησοῦς, ὁ τῆς δόξης

175 ἤλασας] ἤλω σοφὲ Pg 176 βοήσους ἐνδόξως . . . Sa ἅγιε] ὅσιε Pg 177 post ὑπερυψοῦμεν orat. intermittunt Ct Sa 178 Χριστέ, εἰς] εἰς πάντας Pg post πάντας orat. excidit Pg αἰῶνας om. M Bb 179-186 troparium deest in Bb 179 διδαχαῖς] προσευχαῖς M 180 ὡς αὐτὸς] τοῦ αὐτοῦ M Pg 184 κράζων] κραυγάζων M 185 post εἶ laudem varie recidunt cdd. 191 ἐκραύγαζες Ct Sa 192 μῆτερ καὶ παρθένος Bb μητέρα παρθένον Pg 193 ἁγνὴ] ἀεὶ Pg Bb εὐλογημένην Pg
heirm. θ' EE 35, n. 46, Joannis

187 λυχνίαν Zach. 4,2; πύλην Ez. 44,2; πηγὴν Il. 4,18 188 ὄρος Ps. 67,16; νεφέλην Is. 19,1

ἄδυτος ἥλιος,
λύων τῶν παθῶν τὴν ὁμίχλην
τὴν ζοφεράν,
200 δαιμόνων ἀπάτην
ἐξαίρων· φιλέορτοι,
τοῦτον πίστει προσκυνήσωμεν.

Ἡ Ῥώμη νῦν γήθεται
πλουτοῦσα ποιμενάρχην σε,
205 τὰ πρωτόλεια, μάκαρ,
ὡς χειρωσάμενον
τοῦ ψυχοβλαβοῦς, δυσαχθοῦς τε
ἐχθροῦ Σατάν·
σύστημα Ἑβραίων
210 τροπώσας, ἠγάγου γὰρ
εὐκλεῶς τὴν νίκην, Σίλβεστρε.

Ἀΰλων ταῖς τάξεσιν,
ὁσίων ταῖς χορείαις τε,
ἀθλοφόρων τῇ τάξει
215 καὶ ἱερέων σκηναῖς,
ἔνθα ἀγαλλίασις πᾶσα
καὶ ἡ χαρὰ
τῶν ἑορταζόντων
καὶ ἄσκιος ἔλλαμψις,
220 ἔστης χαίρων, μάκαρ Σίλβεστρε.

θεοτ. * Ζωὴν ἡ κυήσασα
βροτῶν εἰς ἀπολύτρωσιν,
f. 99 ‖ νεκρωθεῖσαν, παρθένε,
τοῖς παραπτώμασι
225 ζώωσον, ἁγνή, τὴν ψυχήν μου,
ὡς συμπαθής,
ὡς μόνη προστάτις
τῶν καταφευγόντων σου
ἐν τῇ σκέπῃ, παναμώμητε.

---

202 προσκυνήσωμεν] μακαρίσωμεν M 203 Ἡ om. Bb Ῥώμην Bb 206 χειρωσάμενος Sa M εὐμοιρήσασα Pg 210 ἠγάγου] ἠγάσω Pg 215 πατριαρχῶν τε σκηνῇ Pg 216 πᾶσαι Bb πάτερ Pg 219 ἄσκιος] ἄσκησις Sa ἄστιος Pg 221-229 θεοτ. MR III,75 229 παμμακάριστε Bb

IN PROFESTUM EPIPHANIAE

Crypt. Δ.α. XXXII = Ct, ff. 99-100
Paris. Suppl. gr. 32 = Sa, ff. 155-156
Barb. gr. 543 = Bb, ff. 63ᵛ-67

Ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς κατ' ἀλφάβητον.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Ἀναφανεὶς ἐν τοῖς ῥείθροις
τοῦ ποταμοῦ
Ἰησοῦς ἡ κάθαρσις
τῷ Προδρόμῳ ἐκβοᾷ·
5 « δεῦρο, φίλε, βάπτισον κἀμὲ
εἰς ἀνάπλασιν βροτῶν
παραγενόμενον ».

« Βλέπω σε σάρκα φοροῦντα,
ἀλλ' οὐδαμῶς
10 ὃ ὑπάρχεις, δέσποτα,
ἀγνοῶ· μὴ οὖν τὸν σὸν
δοῦλον ἐπιτάγμασι φρικτοῖς
νῦν βαρύνῃς », τῷ Χριστῷ
βοᾷ ὁ Πρόδρομος.

Quem referimus canon, alternatis odis altero, sancto Malachiae dicato (inc. Μετὰ τῆς ἄνω χορείας MR III,46) in Ct nectitur; in ff. 99ᵛ-100 invenies τὸ τριῴδιον: Ἐν κενοῖς ἡ ἐπίνοια... MR III,43 tit. Κανὼν προεόρτιος... Ct Ἑσπέρα... εἶτα ὁ κανὼν ὁ προεόρτιος... ποίημα ἰωσὴφ Bb

heirm. α' EE 159, n. 224, Joannis 10 ὃ] ὁ Ct Bb 12 ἐπιτάσμασι Bb

15 « Γνῶθί με οἰκονομίαν
διὰ βροτῶν
σωτηρίαν σήμερον
ἐκτελοῦντα ἐπὶ γῆς
καὶ τὴν σήν μοι δάνεισον νυνὶ
20 δεξιάν, ὡς τὴν νηδύν
ἡ ἀπειρόγαμος ».

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*

« Δεσπότης πάντων πεφυκώς,
πῶς τὴν δούλου εἰκόνα
ἐνεδύσω καὶ δούλῳ
25 ὑποκλίνεις κορυφήν; »
ἐβόα ὁ Βαπτιστής,
« καθορῶ σε,
Λόγε, καὶ ἐξίσταμαι ».

« Εὑρεῖν τὸ πάλαι πλανηθὲν
30 πρόβατον ἀφικόμην
ἐν τοῖς ὕδασι τούτοις
καὶ τὴν κάραν ἐν αὐτοῖς
συντρῖψαι τοῦ δυσμενοῦς·
δεῦρο οὖν με
35 τάχος, φίλε, βάπτισον ».

« Ζωῆς ὑπάρχων ἀρχηγός,
πρὸς ἐμὲ τὸν θανάτῳ
ὑποκείμενον, Λόγε,
παραβάσει πονηρᾷ
40 πῶς παρεγένου ζητῶν
βαπτισθῆναι;
βλέπω καὶ ἐξίσταμαι ».

---

19 μοι] μὴ Bb
heirm. γ' EE 159, n. 224, Joannis 23 τοῦ Bb

Κάθισμα.

Ἦχος γ'. *Τὴν ὡραιότητα τῆς παρθενίας σου*

Ὁ ἀπερίγραπτος ὢν τῇ θεότητι
....

ᾠδὴ δ'. *Χριστός μου δύναμις*

« Ἡ κτίσις ἅπασα
φθορᾷ ὑπόκειται·
45 ἀλλ' ἐμοῦ γυμνουμένου
καὶ οἷς ὁρᾷς
λουομένου ὕδασι,
περιβολὴν θεοπρεπῶς
ἀφθαρσίας ἐπενδύεται ».

50 « Θεὸν γνωρίζω σε »,
φησὶν ὁ Πρόδρομος,
« μεταπλάττοντα πάντας
οἷς ἐκτελεῖς,
σῶτερ· ἀλλὰ δέδοικα,
55 χόρτος ὑπάρχων, τῷ πυρὶ
ἐπιψαῦσαι, μήπως φλέξῃ με ».

« Ἰδὼν χωρήσασαν
νηδύν με ἄφλεκτον
διαμείνασαν ἤδη,
60 θάρσει λοιπὸν
καὶ προθύμως πρόσελθε·
πῦρ γὰρ δροσίζον ἐπὶ γῆς
τοὺς ἀνθρώπους παραγέγονα ».

κάθ. MR III,45; Bb vero hoc aliud *κάθ.* tradit: ἦχος πλ. δ'. *Αὐλῶν ποιμενικῶν* Πανήγυριν φαιδρὰν / προτελοῦντες / τῶν Φώτων τοῦ Χριστοῦ, / ἀρεταῖς ἀστραφθῶμεν· / ἥκει ὁ ὢν ἐν πᾶσιν / ἐκ Γαλιλαίας πρὸς τὸν Ἰορδάνην / βάπτισμα ἀναβλύσαι / τῆς σωτηρίας / πυρὶ καὶ πνεύματι / ἐν Ἰορδάνου ῥείθροις, ὡς Θεός, / τῷ γένει τῶν ἀνθρώπων.

heirm. δ' EE 159, n. 224, Joannis 45 γυμνωμένου Ct Sa 49 ἐπενδύσεται Bb 57 χωρήσασα Bb 62 δροσίζων Ct Sa δροσίζουσα Bb

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

« Κατηγορήσει μου προφανῶς
65 ὄρος καπνιζόμενον ποτὲ
καὶ φόβῳ φεύγουσα θάλασσα,
εἴπερ προσεγγίσω
σοί, παντοδύναμε·
συστέλλομαι οὖν ὅλως
70 καὶ καταπλήττομαι ».

« Λελογισμένως, ὦ Βαπτιστά,
ἔφης· ἃ λέγω, ἅπερ τελῶ
ἔγνως οὐδόλως μυστήρια·
γνώσῃ δὲ ἡνίκα
75 ὁ ἐπουράνιος
δακτύλῳ με κηρύξῃ
πατήρ, παρόντος σου ».

« Μικρὰ σταγὼν πέφυκα, σωτήρ,
σὺ δὲ σωτηρίας καὶ ζωῆς
80 μέγιστον, δέσποτα, πέλαγος·
πῶς οὖν ποταμίοις
ῥείθροις προστάσσεις μοι
βαπτίσαι σε τὸν ῥύπον
ὅλως μὴ ἔχοντα ;»

ᾠδὴ ς'. *Τοῦ βίου τὴν θάλασσαν*

85 « Νομίμων γεγέννημαι
τῆς σαρκὸς δίχα καὶ νῦν
νόμον πληρῶ σωτήριον·

heirm. ε' ΕΕ 159, n. 224, Joannis 71-73 Λαμβάνεις μόνος ὦ βαπτιστὰ / ἔφης ἃ ἐγὼ ὑπερτελῶ / ἔγνως ὡς δοῦλος μυστήρια Bb 80 μεγίστον Bb δέσποτα om. Bb 82 ῥεῖθρα Sa μου Ct Sa
heirm. ς' ΕΕ 159, n. 224, Joannis

65 Ex. 19,18 66 Ps. 113,3

τὰς ἀνομίας γὰρ πάσας τῶν βροτῶν
βυθίσαι τοῖς ὕδασι
90 βαπτιζόμενος ἄρτι παραγέγονα ».

« Ξενίζεται ἅπασα
ἀκοὴ οἷς ἐκτελεῖς,
ἀγαθοδότα κύριε·
χορὸς ἀγγέλων ἄνωθεν καθορῶν
95 σαρκί σε γυμνούμενον,
καταπλήττεται ὅλως καὶ ἐξίσταται ».

« Ὁ κόσμος τὴν ἄκοσμον
ἁμαρτίαν τοῦ λοιποῦ
τελείως ἀποδύεται,
100 ἐμοῦ γυμνοῦ ἑστῶτος, ὦ Βαπτιστά,
οἷς βλέπεις με ὕδασι·
προσελθὼν οὖν ἀφόβως σύ με βάπτισον ».

f. 100 ‖ ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

« Πῶς πενέστατος ὑπάρχων τὸν πλουτίζοντα
χρηστότητι τὰ σύμπαντα
105 χεῖρα πτύσσω οὖν;
ἀπορῶ καὶ δέδοικα, Χριστέ »,
ἐβόα ὁ θεῖος Βαπτιστής,
« ὑμνολογῶ τὴν ὑπὲρ νοῦν
οἰκονομίαν σου ».

110 « Ῥεῖθρον ζῶν ὑπάρχοντα τοῖς ῥείθροις με
τοῦ ποταμοῦ κατάδυσον,

88 τὰς ἀνομίας μου γὰρ πάσας... Ct τὰς ἀνομίας πάσας γὰρ... Bb 90 βαπτιζόμενον Ct Sa
post oden ς' hoc κοντάκ. Bb praebet: ἦχος β'. *Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους κήρυκας* Ὁ τοῦ πατρὸς κατ' οὐσίαν σύμμορφος / τὸ καθ' ἡμᾶς / προσδεδεμένος φύραμα, / δουλομόρφως / πρὸς τὸ βάπτισμα νῦν προσγίνεται / ὡς φιλάνθρωπος / εἰς ἔκπλυσιν Ἀδάμ τε καὶ πταίσματος, / τὸ πνεῦμα πᾶσι νέμων / τοῖς πιστεύουσιν, / ὁ ῥύπον μὴ ἔχων μόνος κύριος. Ὁ οἶκος. Βάθος ἀπείρου σοφίας λόγῳ (cfr. Βάθος ἀπείρου σοφίας, Λόγε,) MR III,89
heirm. ζ' ΕΕ 159, n. 224, Joannis 103 πενέστατος] παρέστατος Bb 105 πτήσω Ct Bb πτήσαι Sa 110 ὑπάρχων τὰ Bb 111 ποταμοῦ] πονηροῦ Ct

ὅπως πηγάσω
ἀφθαρσίας νάματα βροτοῖς
καὶ τὰς ἀναβλύσεις τῶν κακῶν
115 ἀποξηράνω », ὁ Χριστὸς
τῷ Βαπτιστῇ ἐκβοᾷ.

« Σὺ τελεῖς ὡς συμπαθής, ἅπερ ἠγνόησαν
καὶ ἄγγελοι ἀσώματοι,
εἰς ἀνάπλασιν
120 τῆς φθαρείσης φύσεως ἡμῶν,
ἐγὼ δὲ συστέλλομαι τελεῖν,
ἅπερ προστάσσεις με, Χριστέ, »
ὁ Ἰωάννης βοᾷ.

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

« Τί τὴν κάθαρσιν ..
125 οὐ λούεις ὕδασιν; »
ὁ Χριστὸς τῷ Προδρόμῳ
ποτὲ ἐφθέγγετο,
« τούτοις γὰρ ἐγὼ
τὰ βροτῶν ἁμαρτήματα
130 πλῦναι ἀφικόμην,
ὁ μόνος εὐεργέτης ».

« Ὑπουργῶ τῇ φρικώδει,
Χριστέ, κελεύσει σου
καὶ ὑπότρομος χεῖρα
135 ἰδοὺ δανείζω σοι,
ἣν ὡς ποιητὴς
καὶ Θεὸς κατεσκεύασας »,
ἔφη Ἰωάννης
βαπτίζων τὸν σωτῆρα.

140 Φωτισμὸν ἐπιπέμπων
τοῖς ἁμαρτήμασιν
ὁ τῆς δικαιοσύνης

115 ἀποξηράνας Ct 122 μοι Sa
heirm. η' EE 159, n. 224, Joannis 124 Τί om. Bb

ἄδυτος ἥλιος,
ῥείθροις ποταμοῦ
145 ἐπιβαίνει γυμνούμενος·
πᾶσα οἰκουμένη,
ἀγάλλου εἰς αἰῶνας.

ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Χειρὶ ὁ πλάσας, Χριστέ, τὸν ἄνθρωπον,
δοῦλον αὐτὸν
150 ὑπέκλινας παλάμῃ γυμνούμενος,
ἐκ χειρὸς ἀφαρπάσαι βουλόμενος
δράκοντος ψυχοφθόρου
πάντας ὡς εὔσπλαγχνος·
δόξα τῇ φρικώδει καὶ σεπτῇ
155 οἰκονομίᾳ σου.

Ψυχῶν καθάρσιον ἀπετέλεσας
τὸν ποταμὸν
ἐν τούτῳ γυμνωθεὶς καὶ λουσάμενος
καὶ στολὴν ἀφθαρσίας ἐνέδυσας
160 πάλαι τοὺς ἐκδυθέντας
φθόνῳ τοῦ ὄφεως
τὸν τῆς ἀφθαρσίας στολισμόν·
δόξα τῷ κράτει σου.

Ὡς ὢν χειμάρρους τρυφῆς ἀδάπανος
165 ἐν ποταμῷ
ποτίζων ἀφθαρσίας τὰ νάματα,
Ἰησοῦ, ἐβαπτίσθης, φιλάνθρωπε·
δόξα τῇ ἀπορρήτῳ
ἐπιφανείᾳ σου,
170 δι' ἧς ἀπολλύμενον φθορᾷ
κόσμον ἐκαίνισας.

144 ποταμὸν Bb
heirm. θ' EE 159, n. 224, Joannis 149 δοῦλον Bb αὐτὸν Ct Sa αὐτοῦ Bb 151 ἀφαρπάσας Bb 161 φθόνου Bb 166 τὰ] με Bb

164 Ps. 35,9

3 IAN. *CANON IX*

IN PROFESTUM EPIPHANIAE

Crypt. Δ.α. XV = ff Cg, 35v-40v
Crypt. Δ.α. XXIV = ff Cy, 108v-110

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*
τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ

Ὢ φιλέορτοι, δεῦτε,
τὰ ἐν Ἰορδάνῃ νῦν τελούμενα
κατοπτεύσαντες πάντες,
ἀενάως Χριστὸν ἀνυμνήσωμεν.

5 Χαῖρε, τέρπου, ὦ γαῖα
Βηθλεέμ, καὶ χόρευε προβλέπουσα·
ὁ Χριστὸς γὰρ ἐγγίζει
τὴν σκοτόμαιναν λύων τῷ φέγγει αὐτοῦ.

Ὢ τῶν ξένων πραγμάτων!
10 ὢ ἀνεκλαλήτου διηγήματος!
ὅτι μέλλει τὸ ῥεῖθρον
Ἰορδάνου Χριστὸς ἐπενδύεσθαι.

In Cg, alternatis odis, tres canones hoc ordine proferuntur: primus (ff. 35-40v) in Profestum Epiphaniae (inc. Ἡ πανταιτία καὶ παρεκτική) MR III,60, secundus (ff. 35v-40v) hic quem referimus canon, tertius (ff. 35-41) in profetam Malachiam (inc. Μετὰ τῆς ἄνω χορείας) MR III,46 tit. Ἕτερος κανὼν προεόρτιος Cg Ὁ κανὼν προεόρτιος Cy
heirm. α' EE 224, n. 321, Joannis 8 σκοτόμηναν cdd. 10 διηγήματι Cy 12 ἐπενδύεται Cy

θεοτ. Χαῖρε, ὄχημα θεῖον,
χαῖρε, βάτε ἄφλεκτε καὶ τράπεζα,
15 χαῖρε, πύλη καὶ θρόνε,
χαῖρε, μήτηρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

f. 36 ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Φαιδρύνθητε,
προκαθάρθητε πάντες·
ἰδοὺ γὰρ φθάνει Χριστὸς
20 τοῦ βαπτισθῆναι καὶ σῶσαι
ὃν γεῦσις Ἀδὰμ κατέκρινεν.

Εὐτρέπισον,
Ἰορδάνη, τὰ ῥεῖθρα
Χριστῷ μολοῦντι σαρκὶ
25 τοῦ βαπτισθῆναι καὶ σῶσαι
ὃν γεῦσις Ἀδὰμ κατέκρινεν.

Ἡ θάλασσα
ἐπευφράνθητι λίαν,
ὅτι ὁ κτίστης μολεῖ
30 τοῦ βαπτισθῆναι καὶ σῶσαι
ὃν γεῦσις Ἀδὰμ κατέκρινεν.

θεοτ. * Ἄχραντε
θεοτόκε παρθένε,
μόνη πανύμνητε,
35 τὸν υἱόν σου δυσώπει
σωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

---

oden β' om. Cy heirm. β' AHG I, 74; cfr. EE 227, n. 325, Joannis 32-36 θεοτ. Anth. I υξζ'

---

14 βάτε Ex. 3,2 15 πύλη Ez. 44,2

f. 36v ᾠδὴ γ΄. *Στερέωμά μου, σωτήρ, ὑπάρχεις*

Νῦν, ἀπὸ θέας γυναῖκες, δεῦτε,
ὦ πιστοί, καὶ βλέποντες βλέψατε
τὴν ἀνέκφραστον Θεοῦ συγκατάβασιν,
40 πῶς ὁ ὢν καὶ προὼν
ἐν Ἰορδάνου ῥείθροις βαπτισθῆναι μολεῖ.

Υἱὲ καὶ Λόγε Θεοῦ καὶ κτίστα,
ὦ Χριστέ, σοφία καὶ δύναμις,
τίς ὁ τρόπος τῆς φρικτῆς σου ἐλεύσεως;
45 ὅτι δούλου μορφὴν
ἀναλαβεῖν, οἰκτῖρμον, καταδέδεξαι.

Φοιτᾷ ὁ κτίστης ἐν Ἰορδάνῃ,
ἵνα τῶν βροτῶν τὰ πρὶν πταίσματα
ἐν τῷ ὕδατι εἰσδύσας στερρότατα
50 διολέσῃ τανῦν
καὶ τοῦ Βελίαρ πᾶσαν τὴν ἰσχὺν καθελεῖ.

θεοτ. Χαῖρε, χωρίον τοῦ ἀχωρήτου,
χαῖρε, κλῖμαξ ἔμψυχε, χαῖρε, σκηνή,
χαῖρε, μόνη τῶν βροτῶν τὸ προσφύγιον,
55 θεοτόκε ἁγνή,
χαῖρε, ἀρᾶς ἡ λύσις καὶ χαρᾶς ἡ πηγή.

Κάθισμα.

Ἦχος δ΄. *Ταχὺ προκατάλαβε*

Πτωχεύσας ὁ πλούσιος
δι' εὐσπλαγχνίαν πολλὴν
....

heirm. γ΄ EE 231, n. 331, Andreae. 40 ὁ om. Cy καὶ προὼν om. Cy
41 Ἰορδάνῃ Cy 42-46 troparium deest in Cy
κάθ. Πτωχεύσας ὁ πλούσιος MR III, 29; idem om. Cy

37 Is. 27,11 38 Is. 6,9 53 κλῖμαξ Gen. 28,12

f. 37 Ἄλλο.

Ἦχος πλ. δ΄. *Αὐλῶν ποιμενικῶν*

Ἀόρατε Θεέ,
ἀκατάληπτε Λόγε,
....

ᾠδὴ δ΄. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Εὐτρεπίσθητι, σκίρτησον
καὶ ἐπευφραίνου, ὦ Ἰορδάνη,
f. 37v καὶ φαιδρῶς τὸν σὸν δεσπότην ὑπό||δεξαι·
60 ἰδοὺ γὰρ φθάνει, ὡς οἶδε,
βαπτισθῆναι εὐσπλαγχνίᾳ πολλῇ.

Χορευέτω ἡ σύμπασα
προεορτάζουσα καὶ σκιρτάτω,
ὅτι ἔρχεται ὁ κτίστης βουλήματι
65 ἐν ῥείθροις τοῦ Ἰορδάνου
βαπτισθῆναι καὶ σῶσαι τοὺς ἀνυμνοῦντας αὐτόν.

Τί ὡς ἄρνες ἐφεύγετε
τὰ ὄρη, ὥσπερ κριοὶ τῷ φόβῳ;
παραγίνεται ὁ κύριος ἅπαντας
70 ἀποπλῦναι θέλων ῥείθροις
Ἰορδάνου ἀνθρώπους ὡς πολυέλεος.

θεοτ. Ἡ ἀσπόρως κυήσασα
Θεὸν τῶν ὅλων καὶ τοῖς μαστοῖς σου
τοῦτον θρέψασα, πανάμωμε δέσποινα,
75 τοὺς σοὺς οἰκέτας ἐκ ζάλης
τοῦ ἐχθροῦ καὶ κινδύνων περίσωζε.

κάθ. Ἀόρατε Θεέ, MR III, 32; ipsum deest in Cy
heirm. δ΄ deest in EE et in Heirm. Crypt. E. γ. II 62-66 troparium deest in Cy 69 ὁ om. Cy 71 ἀνθρώπου Cy

67-68 Ps. 113,4-6

f. 38 ᾠδὴ ε΄. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

«Νῦν, Ἰορδάνη, ὅλως
μὴ δειλιάσῃς, μὴ πτήξῃς», φησὶν ὁ Δαβίδ,
«στῆθι, δέξαι προθύμως
80 Χριστὸν τοῦ βαπτισθῆναι ἐρχόμενον».

«Πῶς μὴ τρομάσσω μέγα»,
ὁ Ἰορδάνης βοᾷ, «καὶ μὴ δύνω ἄρα
βλέπων τὸν κύριόν μου
βαπτισθῆναι θέλοντα νῦν ἐν ἐμοί;»

85 Ἀγαλλιάσθω πάντα
τοῦ Ἰορδάνου τὰ ὄρη καὶ ἡ Νεφθαλείμ·
ὁ Χριστὸς γὰρ ἔρχεται
σῶσαι τοὺς βροτοὺς διὰ βαπτίσματος.

θεοτ. Ἄνευ σπορᾶς τεκοῦσα
90 τὸν ἀδιάφθορον Λόγον, μητρόθεε,
μένεις πάλιν παρθένος,
μόνη ἀπειρόγαμε δέσποινα.

f. 38v ᾠδὴ ϛ΄. *Ὡς τὸν προφήτην ἐρρύσω*

Ὁ ἐκ προφήτου προφήτης,
τῆς ἐρήμου τὸ θρέμμα καὶ βλάστημα,
95 ἡ σάλπιγξ ἡ εὔηχος,
τρανῶς ἀναβόησον
ὅτι ἤγγικε
νῦν ὁ φωτοδότης Χριστός.

---

heirm. ε΄ EE 226, n. 323, Germani 80 ἐρχόμενον] σαρκὶ Cy 82 Ἰορδάνης] οιδάνης Cy
heirm. ϛ΄ EE 226, n. 323, Germani. 95 σάλπηξ Cy

85-86 Is. 35,2

Οὗτος ὑπάρχεις ὁ τείνας
100 οὐρανοὺς καὶ στεγάσας ἐν ὕδασι,
τὴν γῆν ὁ πηξάμενος
ἐπὶ ἀσφαλείᾳ αὐτῆς·
οὗτος πέλει γόνος
τοῦ πατρὸς ἀΐδιος.

105 Ὥσπερ ταμεῖον τὰ ῥεῖθρα,
Ἰορδάνη, εὐτρέπισον χαίροντα νῦν
καὶ μάλα ὑπόδεξαι
τὸν ἄνακτα κύριον,
τὸν ἐν δούλου μορφῇ
110 βάπτισμα μολοῦντα λαβεῖν.

θεοτ. Διὰ παντός σοι τὸ «χαῖρε»
ὡς ὁ ἄγγελος κράζομεν, πάνσεμνε
Μαρία μητρόθεε,
αἰτοῦντές σε ᾄσμασι
115 τοῦ ῥυσθῆναι δεινῶν
κινδύνων πρεσβείαις σου.

f. 39 ᾠδὴ ζ΄. *Παῖδες θεοσεβεῖς ἐν Βαβυλῶνι*

Ἔρχεται ὁ ἀχώρητος τῶν ἄνω,
τοῖς κάτω φανεὶς δι᾽ εὐσπλαγχνίαν βροτός,
Ἰορδάνου τὰ ῥεῖθρα
120 πυρῶσαι τῷ πνεύματι
καὶ παλαιωθέντα τοῖς πταίσμασιν
ἀνακαινίσαι Ἀδάμ,
Χριστὸς ὁ κύριος.

Δεῦτε καὶ τὸν ἐρχόμενον ἐν πίστει
125 ὀψόμενοι κύριον ἐν δούλου μορφῇ
προσκυνήσωμεν πάντες

---

110 μολοῦντι cdd.
heirm. ζ΄ EE 227, n. 325, Joannis
118 βροτοῖς Cy 125 μοφρὴν Cy

99-100 Ps. 103,2-3 101-102 Ps. 103,5 111-112 Luc. 1,28

f. 39v || βοῶντες καὶ λέγοντες·
« δόξα τῇ ἐλεύσει σου, κύριε·
ἦλθες γὰρ σῶσαι ἡμᾶς
130 ὡς ὑπεράγαθος ».

« Ἅπαντες προκαθάρθητε ἐν φόβῳ »,
βοᾷ Ἰωάννης, ἡ τοῦ Λόγου φωνή,
« καὶ εὐθείας τὰς τρίβους
ποιήσατε, ἄνθρωποι,
135 ὅτι ὁ ἐρχόμενος κύριος
Θεός ἐστι φοβερὸς
καὶ ἐκδικήσεων ».

θεοτ. Χαῖρε, δι' ἧς ἡ χάρις ἐπεφάνη
καὶ πάντα πεπλήρωται χαρᾶς θεϊκῆς·
140 διὰ σοῦ γάρ, παρθένε
μητρόθεε, ἔλαμψεν
ἑορτὴ ἡμῖν καὶ πανήγυρις
καὶ σὺν ἀγγέλοις βροτοὶ
ἀνευφημοῦμεν Θεόν.

f. 40 ᾠδὴ η'. *Οἱ θεορρήμονες παῖδες ἐν καμίνῳ*

145 Ἐν τῇ εὐσήμῳ ἡμέρᾳ εὐφρανθῶμεν,
νῦν κολπωσάμενοι τέρψιν
φωτοφανῶς ὑπαντήσωμεν
τῷ μολοῦντι δεσπότῃ
Χριστῷ βαπτισθῆναι σαρκί.

150 Τὰ πολυόμματα ᾆσμα μελῳδοῦσι
τὰ Χερουβὶμ καὶ αἱ τάξεις
αἱ τῶν ἀγγέλων φαιδρύνονται
τῷ μολοῦντι δεσπότῃ
Χριστῷ βαπτισθῆναι σαρκί.

133 εὐθέως Cy 138 χάρις] χαρὰ Cy 142 ἑορταὶ cdd.
heirm. η' EE 227, n. 325, Joannis 150-154 troparium in Cy deest

133-134 Is. 40,3; Matth. 3,3; Marc. 1,3

155 Μελῳδικῶς ἀνυμνεῖτε, πῦρ καὶ καῦμα,
φῶς τε καὶ σκότος καὶ πάχναι,
ψῦχος καὶ δρόσος καὶ χάλαζα,
τὸν μολοῦντα δεσπότην
Χριστὸν βαπτισθῆναι σαρκί.

θεοτ. 160 Χαῖρε, τῆς Εὔας ἡ λύσις τῶν ὠδίνων,
χαῖρε, ἐξ ἧς τοῖς ἀνθρώποις
φῶς τὸ ἀπρόσιτον ἔλαμψε,
χαῖρε, κόρη παρθένε,
Μαρία μητρόθεε.

f. 40v ᾠδὴ θ'. *Μεγαλύνομέν σε*
τὴν πανάμωμον μητέρα Χριστοῦ τοῦ Θεοῦ

165 Ἰωάννη, φράζε·
« τὰς ὁδοὺς ὑμῶν εὐθείας ἐργάζεσθε
Χριστῷ ἐρχομένῳ νῦν
βάπτισμα λαβεῖν ὡς θνητός ».

Τίς χωνεύειν μέλλει
170 τῶν βροτῶν τὰ ἁμαρτήματα ὕδατι;
Χριστὸς ὁ ἐρχόμενος
βάπτισμα λαβεῖν ὡς θνητός.

Ὦ Χριστὲ καὶ Λόγε,
τῇ πηγῇ με τῶν δακρύων καθάρισον,
175 τὸν πίστει γεραίροντα
τὸ σὸν θεῖον βάπτισμα.

θεοτ. Ἡ Θεὸν ἀσπόρως
καὶ ἀφράστως συλλαβοῦσα Χριστὸν ἐν σαρκί,
τὴν ποίμνην σου φύλαττε
180 ἀλώβητον, δέσποινα.

156 φῶσε Cy 157 καὶ δρόσος om. Cy
heirm. θ' EE 226, n. 323, Germani 170 τῶν] τῷ Cy

155-157 Dan. 3,64-72 166 cfr. Is. 40,3; Matth. 3,3; Marc. 1,3

4 IAN. *CANON X*

IN SANCTUM PHOSTERIUM

Synaxarium (Selecta) 372, 39: Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Φωστή-
ριος ἐξ ἀνατολῶν ἐκλάμψας ὥσπερ ἥλιος τὰ ἑσπέρια κατελάμπρυνε.....
καὶ τῷ Θεῷ ἀΰλως προσευχόμενος, νηστείᾳ καὶ ἀγρυπνίᾳ..... γέγονεν
ἀληθῶς φωστήρ, καταλλήλως τοῦ ὀνόματος αὐτοῦ λάμπων τῇ οἰκουμένῃ.
Τὴν σάρκα δὲ καθαρίσας καὶ τὴν ψυχὴν ἁγιάσας καὶ τὸ κατ' εἰκόνα, ὡς
ἦν χωρητόν, φυλάξας, γέγονε καὶ τοῦ ἁγίου πνεύματος καταγώγιον. Τοῖς
θαύμασι γὰρ καταπλουτίσας αὐτὸν ὁ Θεός, πᾶσαν νόσον καὶ πᾶσαν
μαλακίαν ἀπεδίωκεν ἀπὸ παντὸς ἀνθρώπου προσερχομένου αὐτῷ. Καὶ
ἄρτους οὐρανόθεν ἐδέχετο ὁ μακάριος, ὥσπερ πάλαι Ἠλιοὺ ὁ προφήτης.....
Ὅτε δὲ θείαν μάνδραν Θεοῦ χάριτι συνεστήσατο καὶ πλείστους μοναχοὺς
ἐν αὐτῇ ἀφιέρωσεν..... ἐκ τοῦ ἐργοχείρου παρεῖχε πᾶσι τὰ πρὸς τὴν
χρείαν..... οὐδὲ γὰρ ἔλαβέ ποτε παρά τινός τι· ὡς ἐκ τούτου μὴ λόγῳ
μόνῳ διδάσκειν τοὺς ἰδίους μαθητὰς προσέχειν τῷ ἐργοχείρῳ καὶ τῇ εὐχῇ
καὶ τῇ ἀναγνώσει, ἀλλὰ καὶ ἔργῳ ὑποδεικνύειν αὐτοῖς ταῦτα. Αἱρέσεως
δὲ τότε ἀναφανείσης εἰς τὴν τοῦ Θεοῦ ἐκκλησίαν..... προσκληθεὶς καὶ
οὗτος ὁ μακάριος οὐ παρῃτήσατο· ἀλλὰ καὶ συνῆλθε καὶ ἠνδραγάθησε
καὶ ἐθαυματώθη· καὶ πολλοὶ τῷ λόγῳ αὐτοῦ ἐκ διαφόρων αἱρέσεων μετε-
στράφησαν..... καὶ πολλαὶ θαυματουργίαι δι' αὐτοῦ ἐγένοντο.....

Crypt. Δ.α. XV = Cg, ff. 43v-51v
Crypt. Δ.α. V = Ch, ff. 23-25

Ὁ κανών.
Ἐν τοῖς θεοτοκίοις· Ἀρσενίου⟨ο⟩

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

f. 44 Θαλάσσης βιοτικῆς τὸν τάραχον
διαφευξά||μενος,

Cg, alternatis odis, tres canones hoc ordine profert: primum (ff. 43-51)
in Profestum Epiphaniae (inc. Χριστὸς μολεῖ MR III,83), secundum (ff. 43v-
51) in sanctum Theoctistum (inc. Τῆς τρυφῆς χειμάρους) MR III,65, tertium
(ff. 43v-51v) huc relatum canonem; in ff. 47v-52 τὸ τριῴδιον: Ῥυφθέντες φρένας
MR III,43 legitur.
tit. Ἕτερος κανὼν τοῦ ὁσίου πατρὸς ἡμῶν φωστηρίου ἐν τοῖς θεοτοκίοις ἀρσέ-
νιοι Cg Τῇ ἑσπέρα κανὼν τοῦ ὁσίου πατρὸς ἡμῶν φωστηρίου Ch
heirm. α' EE 94, n. 133, Joannis

ἐν ἀταράχῳ ὅρμῳ τὴν ψυχήν,
θεοφόρε, προσώρμησας,
5 τῷ πηδαλίῳ ἄριστα
τῆς ἐγκρατείας κυβερνώμενος.

Νεάζων ἐν γηραιῷ φρονήματι
ὤφθης βιῶν εὐσεβῶς,
ἐξ οὗ σαυτὸν ἀνέθου τῷ Θεῷ
10 καὶ καλῶς εὐηρέστησας,
Φωστήριε φωτώνυμε,
ἐν ἀρετῶν τοῖς κατορθώμασιν.

Φωστήριος φερωνύμως κέκληται,
ὡς τοῦ ἀδύτου φωτὸς
15 ἀειφανὴς φωστὴρ ἀναδειχθεὶς
τῇ τοῦ βίου φαιδρότητι
ὁ ἱερὸς πατὴρ ἡμῶν,
δι' οὗ ψυχὰς φωταγωγούμεθα.

Ἐν κόρακι Ἠλιοὺ τρεφόμενος
20 τὸ πρὶν θαυμάζεται·
ἀδυνατεῖ οὐδὲν γὰρ τῷ Θεῷ·
καὶ ὁ μέγας Φωστήριος
θεόθεν ἄρτους εὕρατο,
αὐτῷ σταλέντας ἐν ἐρήμῳ ποτέ.

θεοτ. 25 Ἀδούλωτον τῆς σαρκὸς τὸ φρόνημα
πρὸς πρᾶξιν ἔνθεον
ὁ ἀμελὴς ἐγὼ νῦν συντηρῶν,
ἁμαρτίαις δεδούλωμαι,
ἐξ ὧν με ἐλευθέρωσον,
30 ἁγία δέσποινα, καὶ σῶσόν με.

11 φερόνυμε Ch 12 ἐν ἀρετῶν] εὐαρεστῶν Cg 25 σαρκὸς] ψυχῆς Ch

19-20 III Regn. 17,6

ᾠδὴ β′. *Ἴδετε, ἴδετε πάντες*
ὅτι Θεὸς ἐγώ εἰμι,
ὁ ἐκ δουλείας Φαραὼ
τὸν Ἰσραὴλ λυτρωσάμενος
5 *καὶ ἐν Σιναίῳ γραψάμενος*
πλάκας τε
τὰς νομικὰς καὶ τὸν γραπτὸν
νόμον ἐκθέμενος.

Τῇ τῶν θαυμάτων δυνάμει
παρὰ Θεοῦ, πατὴρ ἡμῶν,
ἐκ νεαρᾶς ἡλικίας
χαριτωθείς, ἀναδέδειξαι
35 παντὶ τῷ κόσμῳ σεβάσμιος·
ὅθεν
τὴν μακαρίαν σου μνήμην
ἀεὶ γεραίρομεν.

⟨Ἐ⟩ν εὐσεβείας τοῖς τρόποις
40 ἀνατραφεὶς τῷ γάλακτι,
κατεκοσμήθης δαψιλῶς
ὡς θεοφόρος πατὴρ ἡμῶν
τὸ τῆς ἀσκήσεως σύντονον,
ὃ καὶ τοῖς
45 ἀσκητικοῖς καταλιπών,
χειραγωγεῖς πρὸς Θεόν.

⟨Π⟩ροφητικῇ πολιτείᾳ
πολιτευθεὶς καὶ μέλλοντα,
σύ, θεοφόρε ἀσκητά,
50 τοῦ Δανιὴλ τὸ τεράστιον
παραπλησίως ἀπέδειξας·

---

oden β′ om. Ch heirm. β′ ineditus, sed Cg animadvertit metrum et cantum eosdem esse ac Τῷ ὁδηγήσαντι . . . EE 106, n. 149, qui autem odae α′ pertinet 39.46.54 grandiorum litterarum librarius oblitus est 45 ἀσκητικαῖς Cg

---

50-54 Dan. 6,16-22

κύνας γὰρ
ἀτιθάσους ὥσπερ ἄλλους
ἡμεροῖς λέοντας.

θεοτ. 55 ⟨Ῥ⟩ευματουμένην κακίαν
τῶν πονηρῶν ἔργων μου
καθάπερ θάλασσαν δεινήν,
θεοκυῆτορ, κατεύνασον
καὶ πρὸς γαλήνην ὁδήγησον
60 πᾶσάν μου
τὴν πολυτάραχον ζωὴν
ταῖς μεσιτείαις σου.

f. 45ᵛ ᾠδὴ γ′. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ἐπ᾽ ὤμων τὸν τοῦ Χριστοῦ
ἀναλαβόμενος σταυρόν, ὅσιε,
65 ἀσκητικῶς ἔδραμες
ὁδὸν πολιτείας θεάρεστον.

Οὐ ψάμμον, ἀλλὰ Χριστὸν
σοῦ τὸν θεμέλιον, σοφέ, θέμενος,
οἰκοδομεῖς ἐν Θεῷ
70 ἀρετήν, χρυσίου ὑπέρτιμον.

Καθεῖρξας συμβολικῶς
τὴν σάρκα, πάτερ, πρὸς Χριστοῦ ἔρωτα
καὶ τὴν ψυχὴν ἀνύψωσας
τοῖς οὐρανοφάντοις σκηνώμασιν.

75 Ἐν κόποις ἀσκητικοῖς
καλλιεργήσας σου θερμῶς, πάνσοφε,
τὸν τῆς ψυχῆς παράδεισον,
νῦν Θεοῦ τρυφᾷς τὸν παράδεισον.

---

53 ἀντιθάνους Cg
heirm. γ′ EE 94, n. 133, Joannis 74 οὐρανοφύτοις Ch

67-68 cfr. I Cor. 3,11

θεοτ. Σὺ μόνη πρὸς τὸν Θεὸν
80 ἐγγυητὴς ἁμαρτωλῶν πέφυκας·
σὺ οὖν με νῦν, δέσποινα,
τῶν ἁμαρτιῶν ἐλευθέρωσον.

Κάθισμα.

Ἦχος ⟨α'.⟩ *Χορὸς ἀγγελικὸς*

Φωστῆρά σε λαμπρὸν
ἐξ ἑῴας τῇ δύσει
ἀδύτως, ἱερέ,
ἀναλάμψαντα κόσμῳ
5 τιμῶμεν ὡς φερώνυμον,
ἀξιόφρον Φωστήριε,
καὶ γεραίροντες
τὴν σὴν πανέορτον μνήμην
ἑορτάζομεν,
10 μεγαλοφρόνως τιμῶντες
Χριστὸν τὸν σὲ δοξάσαντα.

f. 46ᵛ ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Συσκευάσας ἐν τοῖς χρώμασιν εὐσεβείας,
τοῦ ταπεινοῦ σου ἤθους
85 ὤφθης ζωγραφήσας
πολιτείαν ἔνθεον,
δι' ἧς νῦν ἐμόρφωσας
ποίμνην πρὸς Θεόν, πάτερ ὅσιε.

Τῇ τῶν τρόπων σου ἁπλότητι προσετέθη
90 τὸ ἱερὸν καὶ κόσμιον
καὶ εὔψυχον, πάτερ,
ὄντως καὶ μειλίχιον,

---

heirm. καθ. MR III,481; idem κάθ. post oden ς' in Ch invenitur
7 γεραίρομεν Ch 10-11 μεγαλοφώνως βοῶντες / πρεσβείαις σου σῶσον ἡμᾶς Ch
heirm. δ' EE 94, n. 133, Joannis 91 ἔμψυχον Cg

ἐφ' οἷς πᾶσι γέγονας
ποθητὸς λαοῖς καὶ ἐπέραστος.

95 Οὐ πρὸς αἷμα, οὐ πρὸς σάρκα τὴν πάλην ἔσχες,
ἀλλὰ δυνάμει πνεύματος
ἀντιπαρετάξω
πονηρίας πνεύμασι,
θεόφρον Φωστήριε,
100 ὧν καὶ θριαμβεύεις τὸ ἄτονον.

Τῶν ἀγγέλων ἁμιλλώμενος ἀσαρκίαν,
τὴν τῆς σαρκὸς φροντίδα
οὐδόλως ἡγήσω,
πάτερ θεοδίδακτε·
105 διὸ κατηξίωσαι
τούτων συγχορεύειν τοῖς τάγμασιν.

θεοτ. Ἐκ πωρώσεως ἀμέτρων ἁμαρτημάτων
ἐν ἀπογνώσει γίνομαι·
διό σοι προσπίπτω,
110 δέσποινα, δεόμενος·
σὺ δός μοι κατάνυξιν
καὶ τὸν ἱλασμὸν ταῖς πρεσβείαις σου.

f. 47 ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*
εἰς τὸν κόσμον ἐλήλυθας

f. 47ᵛ ‖ Φῶς κλήσει προσλαβών,
φῶς καὶ πράξεως εἴληφας·
115 διόπερ, θεόφρον πάτερ,
ἑκατέρωθεν ὤφθης
δᾳδουχῶν σου τὸ ποίμνιον.

Συντόνῳ διδαχῇ
τοῖς τὸ πέλαγος πλέουσι

---

97 ἀντεπαρετάξω Ch 98 πνεύματα Ch
heirm. ε' EE 94, n. 133, Joannis

120 τοῦ βίου λιμὴν ἐδείχθης
σωτηρίας ἐνθέου,
θαυμάσιε Φωστήριε.

Σκηνώσασα ἐν σοὶ
θεία χάρις τοῦ πνεύματος
125 ἐπλούτησε παραδόξως,
τοῦ κυρίου θεράπον,
διαφόροις χαρίσμασιν.

Σύ, πάτερ, ἐμμελῶς
κατανύξεως νάμασιν
130 ἀρδεύων ψυχὰς ἀκάρπους,
ἐν καρποῖς μετανοίας
εὐθηνούσας ἀπέδειξας.

θεοτ. Νοσοῦντά με ψυχῇ
τοῖς πολλοῖς παραπτώμασι,
135 θεράπευσον, θεοτόκε,
καὶ τὴν ἄφεσιν δίδου
ταῖς θείαις μεσιτείαις σου.

f. 48 ᾠδὴ ϛʹ. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Δι' οἶκτον
συμπαθείας ἀεὶ τοὺς ἀγνώμονας
140 εὐεργετῶν οὐκ ἐπαύσω,
ἐκ παθῶν ποικίλων λυτρούμενος,
τοῦ δεσπότου
τὸ συμπαθὲς μιμούμενος, ὅσιε.

f. 48v || Τῷ νόμῳ
145 μελετήσας νυκτὸς καὶ ἡμέρας Θεοῦ,

heirm. ϛʹ EE 94, n. 133, Joannis

144-149 Ps. 1,2-3

ταῖς τῶν γραφῶν διεξόδοις
ξύλον ὤφθης, πάτερ, πεφυτευμένον,
τοῦ πνεύματος
τοὺς καρποὺς εἰς καιροὺς προβαλλόμενος.

150 Τὸν βίον
τῇ τοῦ λόγου ῥυθμίσας στερρότητι,
ἀλλὰ καὶ λόγον λαμπρύνας
τῇ τοῦ βίου, πάτερ, σεμνότητι,
ἀνυψώθης
155 θεωρίᾳ καὶ πράξει τιμώμενος.

Φάρμακα
τῆς διδαχῆς τοῦ λόγου τιθέμενος,
τῶν ἁμαρτίαις νοσούντων
θεραπεύεις, πάτερ, τὰς συνειδήσεις,
160 ἰατρεῖον
τὴν μετάνοιαν τούτοις δεικνύμενος.

θεοτ. Ἰόν μοι
δι' ἀπάτης ὁ ὄφις ἐκέρασε
καὶ τῷ θανάτῳ δουλοῖ με·
165 ἀλλὰ σύ, παρθένε, ἐλευθεροῖς με,
ὡς τεκοῦσα
τῆς ζωῆς τὸν δοτῆρα καὶ κύριον.

f. 49 ᾠδὴ ζʹ. *Ἐν τῇ καμίνῳ*
Ἀβραμιαῖοι παῖδες τῇ περσικῇ

Τὴν τῶν θαυμάτων
ἐδαψιλεύσω χάριν θεοπρεπῶς,
170 πάτερ
ἱερὲ καὶ ὄντως θαυματουργέ,
πᾶσαν νόσον ἐξιώμενος
καὶ πᾶσαν κάκωσιν
ἐξ ἀνθρώπων διώκων δυνάμει Θεοῦ.

heirm. ζʹ EE 94, n. 133, Joannis 174 Θεοῦ] χριστοῦ Ch

f. 49v 175 || Οἵαπερ λοίμης
ἐπεισαχθείσης ὄντως ψυχοβλαβοῦς
πάλαι
αἱρεσιαρχίας δαιμονικῆς,
ὁ θαυμάσιος πατὴρ ἡμῶν
180 ταύτης κατέσπασε
τὴν ἀκέφαλον δόξαν δυνάμει Χριστοῦ.

Βαβαὶ τὸ ξένον
τοῦ παραδόξου ἔργου καὶ θαυμαστοῦ!
πῶς μὲν
185 παρὰ φύσιν πέπωκεν ὁ τυχὼν
μὴ γνοὺς γέννημα βατράχιον;
πῶς δὲ τῇ χάριτι
τοῦ τιμίου πατρὸς θεραπεύεται;

θεοτ. Οἱ τῶν κακῶν μου
190 συσσαπέντες προσώζεσαν μώλωπες·
ὅθεν
ὡς κυήσασάν σε τὸν ἰατρὸν
τῶν ψυχῶν, παρθένε, δέομαι
ταῖς ἱκεσίαις σου
195 θεραπεύσασα σῶσόν με, δέσποινα.

f. 50 ᾠδὴ η΄. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Χεῖρας οὐκ ἐξέτεινας λαβεῖν
πλὴν τοῦ ἐργάζεσθαι,
ἐν αἷς διέθρεψας
τὰ θεοσύλλεκτα ποίμνια,
200 οἷσπερ, πάτερ, καὶ ὑπέδειξας
ἐργοχειρεῖν καὶ μελῳδεῖν
ἀκαταπαύστως Θεῷ·

---

180 κατέσπασε] κατέπαυσε Ch
heirm. η΄ ΕΕ 94, n. 133, Joannis   200 ἅπερ Ch

189-190 Ps. 37,6

« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

205 Οὐδέν σε τῆς κάτω καὶ ῥευστῆς
τέρψεως ἔθελξε,
μάκαρ Φωστήριε·
τῆς ἄνω δόξης γὰρ ἔσπευσας
ἀπολαῦσαι καὶ λαμπρότητος,
210 ἧς νῦν τρυφῶν τὸν γλυκασμόν,
ψάλλεις γηθόμενος·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Σκληρῶς τὸ σαρκίον, ἀθλητά,
215 ὑπεξερχόμενος,
τοῖς κακουχήμασιν
ὅλον ἐτρύχωσας· ὅθεν σε
ἡ τοῦ μάρτυρος προτρέπεται
ἐπιστασία τῆς νυκτὸς
220 μετριοφρόνως ἀσκεῖν
καὶ κραυγάζειν·
« πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

θεοτ. Ἰσχὺν προνομεύομαι ψυχῆς
ταῖς ἡδοναῖς τῆς σαρκὸς
225 πολιορκούμενος
καὶ ἀπογνώσεσι βάλλομαι·
διὰ τοῦτο, θεοτόκε, βοῶ
f. 50v οἰκτει||ρηθῆναι διὰ σοῦ
καὶ μεσιτείαις σου
230 ἀνακράζειν·
« πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

203.212 post εὐλογεῖτε laudem varie detruncant cdd.   222 post πάντα orat. intermittunt cdd.   231 post ἔργα orat. abrumpunt cdd.

f. 51 ᾠδὴ θ΄. *Λίθος ἀχειρότμητος ὄρους*

Ὅλον σεαυτὸν ἐκκαθάρας
σκεῦος τοῦ πνεύματος ἐδείχθης,
τῶν προφητικῶν χαρισμάτων
f. 51ᵛ 235 ταῖς ‖ ἐνεργείαις παραπλησίως πλουτῶν,
ἐν αἷς μεγαλυνόμενος
τερατουργεῖς, πάτερ Φωστήριε.

Ἄνθραξιν ἀσκήσεως, πάτερ,
τῆς προσευχῆς στομώσας ὅπλα,
240 πᾶσαν προσβολὴν ἐναντίαν
ἐξ ὁρωμένων καὶ ἀοράτων ἐχθρῶν
νεανικῶς κατέβαλες
καὶ νίκης στέφος θεῖον εἴληφας.

Οὐδεὶς τὴν πληθὺν τῶν τεράτων
245 ἐξικανοῦται ἀριθμῆσαι·
ἄρτους ἐπομβρίζων δαψιλῶς,
πτωχοὺς ἐκτρέφων, ὥσπερ ποτὲ Ἠλιού,
μεθ᾽ οὗ νῦν ἀγαλλόμενος
μέμνησο, πάτερ, τῶν τιμώντων σε.

250 Φώτισον καὶ σόφισον, πάτερ,
τοὺς ἀθροισθέντας σου τῇ μνήμῃ
ταῖς θεοπειθέσι σου εὐχαῖς
καὶ ἀνυμνοῦντας ταύτην ἐν ᾄσμασι
καὶ ζηλωτὰς ἀνάδειξον
255 τῆς ἐναρέτου πολιτείας σου.

θεοτ. Ὀψώνιον κάκιστον, οἴμοι,
τὴν ἁμαρτίαν ἐκτησάμην
καὶ τοῦ φοβεροῦ κριτηρίου
τὴν δίκην τρέμω τὴν ἀπαραίτητον,
260 ἐξ οὗ με ῥῦσαι, δέσποινα,
ταῖς ἱκεσίαις σου καὶ σῶσόν με.

---

heirm. θ΄ EE 94, n. 133, Joannis 244 τεράτων] θαυμάτων Ch

246-247 III Regn. 18,13

IN PROFESTUM EPIPHANIAE
ET IN SS. THEONAM ET SYNCLETICAM

Sinaxarium, 368-369: ..... ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος ..... Θεωνᾶ. Ὁ ... Θεωνᾶς, ὀρύγματος γενομένου, ἐν αὐτῷ βληθεὶς καὶ χώμασι πολλοῖς καταχωσθεὶς πρὸς Κύριον ἐξεδήμησεν.

Sinaxarium, 370: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Συγκλητικῆς. Αὕτη γένους ὑπάρχουσα περιφανοῦς, πλούτου καὶ εὐσεβείας τὸ ἐπίσημον ἔχοντος, διὰ τὴν ἐπανθοῦσαν ὥραν αὐτῇ καὶ τὴν τῶν χρημάτων περιουσίαν πολλῶν ἀγαγέσθαι πρὸς γάμον αὐτὴν βουλομένων, τῷ πρὸς Κύριον πόθῳ μᾶλλον ἔτεινεν ἑαυτήν. Ὅθεν τελείως τῶν φροντίδων τοῦ βίου μεθίσταται καὶ τὴν σπουδὴν ὅλην πρὸς ἄσκησιν καὶ ἀρετῆς ἐπίδοσιν τρέπει.....

Sinait. gr. 598 = Σα, ff. 39ᵛ-41ᵛ
Paris. gr. 1615 = Pn, ff. 70-83ᵛ
Barb. gr. 408 = Bc, ff. 59-68
Paris. gr. 1571 = Pg, ff. 162ᵛ-169
Mess. gr. 52 = M, ff. 112-112ᵛ

Ὁ κανών· ποίημα Γεωργίου.

Ἦχος πλ. δ΄.

ᾠδὴ α΄. *Ἄισωμεν τῷ κυρίῳ*
τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ

Σήμερον εὐτρεπίζει
τῷ ἐκ τῆς παρθένου ἀνατείλαντι
Ἰωάννης πορείας,
f. 40 ἐρχομένῳ Χριστῷ πρὸς τὸ βά‖πτισμα.

---

tit. Ἕτερος κανὼν προεόρτιος καὶ τῶν ἁγίων ποίημα γεωργίου Σα Ἕτερος κανὼν τῶν ἁγίων ποίημα γεωργίου ῥήτορος Pn Ἕτερος κανὼν τῶν ἁγίων Bc Pg Ἕτερος κανὼν τοῦ ἁγίου M 1-4 troparium om. Bc
heirm. α΄ EE 224, n. 321, Joannis

[τ]οῦ μάρτυρος

"Υδατι, ἀθλοφόρε,
6 ἀναγεννηθεὶς καὶ θείῳ πνεύματι,
ἐν τοῖς ῥείθροις τὸ δῶρον
τῶν αἱμάτων εἰργάσω φαιδρότερον.

Αἴγλη ἐπιφανείας,
10 Θεωνᾶ, σὲ θείας περιήστραψε
καὶ τῆς πλάνης τοῦ σκότους
ῥυσαμένη πρὸς Χριστὸν ὡδήγησεν.

⟨τῆς ὁσίας⟩

"Ολην ἀποθεμένη
τῆς σαρκός, ὁσία, τὴν προσπάθειαν,
15 ἀπαθῶς τῷ δεσπότῃ
συνεδέθης ἐν πόνοις ἀσκήσεως.

[θ]εοτ.

Γῆθεν ἡ τῶν ἀνθρώπων
φύσις ἐπαρθεῖσα πρὸς οὐράνιον
ὕψος, θεοκυῆτορ,
20 διὰ σοῦ, ἐπαξίως δοξάζει σε.

ᾠδὴ γʹ. *Σὺ εἶ τὸ στερέωμα*
τῶν προστρεχόντων σοι, κύριε,

Σὺ εἶ φῶς ἀπρόσιτον
ἐπὶ τῆς γῆς ὀφθείς, κύριε,
καὶ τῶν βροτῶν φύσιν καταυγάσας
θείᾳ ἐπιφανείᾳ σου.

⟨τοῦ μάρτυρος⟩

Σὺ Χριστὸν θεώμενος
26 τοῖς νοητοῖς, σοφέ, ὄμμασιν,
ἐν ἀλγεινοῖς θεῖαν, ἀθλοφόρε,
ὑπέμεινας ἀλλοίωσιν.

---

10 θεωνᾶς σε M, θεία Bc 12 πρὸς χριστὸν ρυσαμένη ὡδήγησε Bc Pg 13-16 troparium desideratur in Pg M 17-20 θεοτ. diversum in M: "Αχραντε Θεοτόκε, ἡ σεσαρκωμένον... MR I, 181 20 δοξάζει σε] δοξάζεται Pg heirm. γʹ EE 224, n. 321, Joannis 21-24 troparium om. Pn Bc 22 ὤφθης Pg 23 τὴν Pg 27 ἀλγιναῖς Pg 28 ὑπέμεινες Σα M ὑπομένεις Bc ὑπηνέγκω Pg

Τρόπαια στησάμενος
30 κατὰ παθῶν, σοφέ, πρότερον,
νικητικά, Θεωνᾶ, βραβεῖα
τῆς ἀθλήσεως ἔλαβες.

⟨τῆς ὁσίας⟩

Χάριν τὴν τοῦ πνεύματος
ἐν τῇ ψυχῇ, σεμνή, ἔχουσα,
35 λόγοις σοφοῖς καὶ ἔργοις, ὁσία,
ἐν ἀσκήσει διέλαμψας.

θεοτ.

"Εχουσα τὴν ἔφεσιν
ἐν σοί, ἁγνή, ἅπασαν
πόλις ἡ σή, ἐκ τῶν ἀνυποίστων
40 ἐκλυτροῦται κακώσεων.

ᾠδὴ δʹ. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Εὐτρεπίζει ἡ ἔρημος
τρίβους ἐπιβαίνοντι, τῷ ἐρήμους ψυχὰς
καρποφόρους ἐπιφαίνοντι
ἀρετῶν ἐνθέων τῷ βαπτίσματι.

---

30 πρότερον] τρόπαια Pg 33-36 troparium om. Pg 34 τῇ] σοὶ Pn 37-40 θεοτ. diversum in Pg M: "Εσβεσε τὴν κάμινον / ὁ γεννηθεὶς ἐκ σοῦ, ἄχραντε, / τὴν τῶν παθῶν ῥείθροις Ἰορδάνου / καὶ ἀνθρώπους ἐδρόσισεν. (διέσωσεν M) 39 ἀνυποίστων] ἀνελπίστων Σα Pn post oden γʹ κάθ. refert M: Ὁ μέγας Βαπτιστὴς... MR III,64; Pn Bc Pg vero post oden γʹ et M post oden ϛʹ hoc κάθ. τοῦ ἁγίου tradunt: ἦχος πλ. αʹ. *Τὸ ξένον τῆς παρθένου μυστήριον* 1 Τὰ ῥεῖθρα τῶν ἐνθέων αἱμάτων σου / 2 καὶ μύρα τὰ τῶν θείων λειψάνων σου, / 3 χριστομάρτυς κυρίου, πάντας πιστοὺς / 4 ἁγιάζει καὶ νέμει ῥῶσιν ἀεί· / 5 διό σε θερμῶς πάντες γεραίρομεν. (1 Τοῖς ρεῖθροις Pg αἱμάτων] δογμάτων Pn 2 καὶ τὰ μύρα τῶν... Pn Be 3 πάντας πιστοὺς om. Pg πιστῶς Bc 5 γεραίρομεν] δοξάζομεν Pg); tantum in Pn sequitur κάθ. τῆς ὁσίας, ἦχος δʹ. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως* Τοὺς τῶν δακρύων ποταμούς, πανοσία, / ἐξ ὀφθαλμῶν σου ἱερῶν ἀναβλύσασα, / τὰς τῶν παθῶν ἀπέπλυνας κηλῖδάς σου· / ὅθεν τῶν θαυμάτων σου / ἐφαπλοῦσα τὰ ῥεῖθρα, / νόσων καὶ κακώσεων / ἐκκαθαίρεις τὸν ῥύπον / καὶ ταῖς εὐχαῖς σου σώζεις ἐκ φθορᾶς / πάντας τοὺς πίστει / καὶ πόθῳ τιμῶντάς σε.
heirm. δʹ EE 225, n. 322, Cosmae 41-44 troparium desideratur in Pn Bc 41 Εὐτρεπίζου Pg 42 ἐπιβαίνοντι] ἐπιμένοντι M τῷ] τὰς Pg 43 ἀποφαίνοντα Pg ἐπιβαίνοντι M

45 Ὁ ἀπρόσιτος κύριος
προσιτὸς ἀνθρώποις σαρκὶ γεγένηται,
ἵνα τούτῳ τοὺς ἐγγίζοντας
ἀρεταῖς θεώσῃ θείᾳ χάριτι.

ρτυρος> Τοῦ δεσπότου τοῖς πάθεσι
50 σύμμορφος γενόμενος δι' ἀθλήσεως,
κοινωνὸς καὶ τῆς ἐγέρσεως,
Θεωνᾶ, τῆς τούτου ἀναδέδειξαι.

ίας> Τὸ ἀξίωμα, πάνσεμνε,
τὸ τῆς ἐπικήρου δόξης κατέλιπες
55 καὶ ἀξίας δι' ἀσκήσεως
τῆς ἀδιαδόχου κατηξίωσαι.

θεοτ. ‖ Ὡραιότατος ἥλιος
ἐν τῷ Ἰορδάνῃ ἐξανατείλας, ἁγνή,
ὁ υἱός σου, κατεφαίδρυνε
60 τῇ αὐτοῦ ἐλλάμψει τὸ ἀνθρώπινον.

ᾠδὴ ε'. *Φώτισον ἡμᾶς*

Φώτισον ἡμᾶς
τῇ ἐλλάμψει τῆς σῆς χάριτος
ὁ ἐλθὼν τοῦ καταυγάσαι, Χριστέ,
τοὺς ἐν τῷ σκότει
65 καθημένους ὡς φιλάνθρωπος.

ρτυρος Φῶς τὸ τοῦ Χριστοῦ,
Θεωνᾶ, ποθήσας, ἔνδοξε,
τὸ πατρῷον σκότος ἔφυγες
καὶ ἐλαμπρύνθης
70 ταῖς ἀκτῖσι τῆς ἀθλήσεως.

45-48 troparium om. M 51 versus desideratur in Pn 53-56 tropario caret Pg 57 Ὁ ἀπρόσιτος κύριος Pg (cfr. v. 45), Ὡραιότητος ... Pn Bc M 59 ὁ] ὡς Pg 60 ἐλλάψει Pg
heirm. ε' EE 224, n. 321, Joannis 61-65 troparium deest in Pn 66 Χριστοῦ] θεοῦ Pg 70 ταῖς] τῇ Σα ἀθλήσεως] ἀσκήσεως Bc θεότητος M

τῆς ὁσίας Ἥλιον νοὸς
καθαρότητι τὸν ἄδυτον
θεωροῦσα νοητῶς, ταῖς αὐτοῦ
ἀκτῖσι θείαις
75 ἐν ἀσκήσει κατελάμφθης, σεμνή.

θεοτ. Ῥεῖθρα νοητὰ
τῶν χαρίτων, θεονύμφευτε,
ἀναβλύζων διὰ σοῦ ὁ Χριστός,
τοὺς σὲ ὑμνοῦντας
80 ἀρδεύει, θεοχαρίτωτε.

ᾠδὴ ς'. *Ἱλάσθητί μοι, σωτήρ,*

Τὸ φῶς τὸ ἐκ τοῦ φωτὸς
πρὸ αἰώνων ἀνατεῖλαν, Χριστός,
ἐπ' ἐσχάτων τὰς αὐτοῦ
ἀκτῖνας ἐφήπλωσεν
85 εἰς τὴν κτίσιν ἅπασαν
τῇ συγκαταβάσει
τῆς αὐτοῦ ἐνανθρωπήσεως.

τοῦ μάρτυρος Ἀνέδυς ἐκ τοῦ βυθοῦ
τῆς ἀσεβείας, ἀοίδιμε,
90 καὶ πρὸς ὕψος τῆς Χριστοῦ
θείας ἐπιγνώσεως
ἀτενίσας, ἔσπευσας
πρὸς αὐτὸν ἀγῶσιν
ἀναπτῆναι τῆς ἀθλήσεως.

τῆς ὁσίας 95 Τὴν ἔρημον ὡς τερπνὸν
παλάτιον ἀγαπήσασα
οἰκητήριον αὐτὴν

71 Ἥλιος M νὸς Pn νοῶν Bc 72 καθαρότατον τὸν Pg καθαρότητος τὸ M 74 ἀκτῖσι] ἀσκήσει Σα Bc 75 ἀσκήσει] ἀκτίσι Σα Pn Bc, κατελάμφθης] κατελήφθης Pg 78 ἀναβλύζει Bc 80 ἀρδέβου Pg
heirm. ς' EE 220, n. 315, Joannis 82 αἰώνων νῦν ... Bc ἀνατείλας Σα Pn Bc Pg 83 τὰς] τῆς Bc 90 τῆς τοῦ χριστοῦ Pn post v. 90 ἐκκλησίας ἔνδοξε inseruit Bc 92 ἀτενίσαι Pg 94 ἀναπτῆναι] ἀναβῆναι Pn ἀναστῆναι M 97 σαυτὴν Bc

οἰκεῖον ἐποίησας,
ὁσία, τῶν πόνων σου,
100 ἐν αὐτῷ τὸν πλοῦτον
θησαυρίσασα τὸν ἔνθεον.

θεοτ. Γνωρίσασα τὸν ἐκ σοῦ
σαρκὶ τεχθέντα, πανάχραντε,
δεσπότην καὶ ποιητὴν
105 ἡ κτίσις ἐχόρευσε
καὶ σὲ μακαρίζουσα
καὶ ἀγαλλομένη
Ἰορδάνη συνεσκίρτησεν.

ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Ἐν τῷ σκότει τοῦ βίου
110 ὁ φανεὶς δι' ἄφατον
φιλανθρωπίαν, Χριστέ,
ἐφώτισας τὸν κόσμον
τῇ σῇ ἐπιφανείᾳ
καὶ ἔσωσας τοὺς κράζοντας·
115 « ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

f. 41 ‖ Εὐτρεπίζει τὰ ῥεῖθρα
Ἰορδάνης τῷ κτίστῃ
καὶ ἑτοιμάζει αὐτῷ
120 ὁδοὺς ὁ Ἰωάννης
βαπτισθῆναι μολοῦντι

---

100 ἐν αὐτῇ Σα Pg σεαυτῇ Bc 101 τῶν ἐνθέων θησαυρίσασα Σα M τὸν ἔνθεον θησαυρίσασα Pn τὸν ἔνθεον ἀγαπήσασα Pg 103 πανάμωμε Bc Pg M 105 ἐχόρευσε] ἐχώρησε Bc 106 σὲ om. Pn post oden ς' Bc tradit κοντάκ. προεόρτιον: Ἐν τοῖς ῥείθροις σήμερον... MR III, 35 et οἶκ. ineditum: Πρὸς Ἰορδάνην ποταμόν...; Pg autem aliud κοντάκ. Ὁ πάντων, Χριστέ,... TRM III, σλδ' et οἶκ. ineditum: Τὸν ἐν ἐρήμῳ βλύσαντα ὕδωρ... servat heirm. ζ' EE 224, n. 321, Joannis 109-116 troparium deest in Pn Bc M 110 δι' ἀφάτω Pg 111 φιλανθρωπία Pg 114 καὶ τοὺς κράζοντας ἔσωσας Pg 119 καὶ ἑτοιμάζει αὐτῷ] ἑτοιμαζόμενο Pg 121 βαπτισθῆναι θέλοντι Σα Pn M θέλοντι βαπτισθῆναι Bc

τοῦ φωτίσαι τοὺς κράζοντας·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

⟨τοῦ μάρτυρος⟩ Ἀθεΐας τὴν φλόγα
126 τῶν αἱμάτων σου ὄμβροις,
μάρτυς, κατέσβεσας
καὶ δρόσον ἰαμάτων
ἐπώμβρισας ἀνθρώποις
130 τοῖς τῷ κτίστῃ κραυγάζουσιν·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

⟨τῆς ὁσίας⟩ Τῶν δακρύων τοῖς ῥείθροις
καὶ ἱδρώτων ἀγῶσιν,
135 ὁσία, ἔσβεσας
τὸ πῦρ τῶν ἀκαθέκτων
ἡδονῶν καὶ ἀπαύστως
ἐν ἀπαθείᾳ ἔκραζες·
« ὁ τῶν πατέρων ἡμῶν
140 Θεός, εὐλογητὸς εἶ ».

θεοτ. Ἰλυώδους, παρθένε,
ἁμαρτίας ἡ φύσις
κεκαθαρμένη βροτῶν
τῷ τόκῳ σου τῷ θείῳ
145 στολήν τε ἀφθαρσίας
ἠμφιάσατο κράζουσα·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

---

122 κραυγάζοντας Σα Pn Bc M 123.131.147 post τῶν laudem varie detruncant cdd. 127 μάρτυς] μάκαρ M 129 ἐπομβρίσας Pg M 133-140 tropario caret Pg 138 ἐκραύγαζες Bc M 141 Ὑλώδους Bc παρθένε om. Bc 144 post θείῳ addidit θεοτόκε Bc 145 τε] δὲ Bc 146 ἠμφιάσω Pn ἠμφιάσθη Bc κραυγάζουσα Bc post oden ζ' canon abrumpitur in M

ᾠδὴ η΄. *Τὸν βασιλέα τῶν οὐρανῶν*

Τὰ τοῦ φωτὸς ταμεῖα Χριστὸς
150 διανοίξας
τοῦ οἰκείου, ἔρχεται ἐν ῥείθροις
τοῖς τοῦ Ἰορδάνου
ἑκὼν τοῦ βαπτισθῆναι.

ιάρτυρος⟩ Τὸν τοῦ Χριστοῦ πόθον ἐν ψυχῇ
155 ἐνοικίσας,
Θεωνᾶ, τὴν σχέσιν τῶν προσκαίρων
ἐκ τῆς διανοίας
ἐξώρισας ἐνθέως.

σίας⟩ Κατακοσμήσασα τῆς ψυχῆς
160 τὴν λαμπάδα,
Συγκλητική, ἐλαίῳ τῆς ἁγνείας,
ταύτην διανῆψας
πυρὶ τῶν σῶν ἀγώνων.

Ὁ συναΐδιος τῷ πατρί,
165 θεοτόκε,
σύγχρονος ἐγένετο ἀνθρώποις
υἱὸς καὶ Θεός σου
εἰς ἀνάπλασιν πάντων.

ᾠδὴ θ΄. *Κυρίως θεοτόκον σὲ ὁμολογοῦμεν*

Ἡ ἔρημος ἀνθήτω,
170 ἐθνῶν ,ἐκκλησία·

heirm. η΄ EE 224, n. 321, Joannis 149 ὁ χριστὸς Pn 150 διανοῖξαι Pn Bc 151 τοῦ οἰκείου om. Pg 153 ἑκόντα βαπτισθῆναι Bc φωτίσαι τοὺς ἐν σκότει Pg 156 προσκαίρων] παρόντων Pg 161 Συγκλητική] ὁσία Pg 162 διανῆψαι Pg 163 πυρὶ] περὶ Pg 164 Ὁ om. Pn 166 σύγχρονος] σύμμορφος Pg

heirm. θ΄ EE 224, n. 321, Joannis 170 ἐθνῶν ἡ... Pn

169 Is. 35,1

ὁ φυτουργὸς γὰρ τῶν ὅλων Χριστὸς ὁ Θεὸς
ἔρχεται ταύτην ἀρδεῦσαι
ἐνθέοις νάμασιν.

Χαρίτων σου τοῖς ῥείθροις
175 ἄρδευσον, οἰκτῖρμον,
ὡς Ἰορδάνου νάμασι, τοὺς πόθῳ σου
ὑμνοῦντας καὶ προσκυνοῦντας
τὴν ἐπιφάνειαν.

⟨τοῦ μάρτυρος⟩ Στεφάνῳ σε χαρίτων,
180 Θεωνᾶ, ὁ κτίστης
f. 41v ὡς νικητὴν ‖ ἀθείας ἐκόσμησε
καὶ ἐν σκηναῖς αἰωνίαις
ἐγκατεσκήνωσεν.

⟨τῆς ὁσίας⟩ Πτεροῖς τῆς ἐγκρατείας
185 καὶ τῆς σωφροσύνης
ἀνυψουμένη, ὁσία, κατήντησας
εἰς οὐρανίας σκηνώσεις,
ἃς ἐπεπόθησας.

θεοτ. Υἱοὺς φωτός, παρθένε,
190 ποίησον πρεσβείαις
τοὺς φωτοφόρον νεφέλην γεραίροντας
καὶ θεοτόκον κυρίως
σὲ μεγαλύνοντας.

171 φυτουργὸς] καινουργὸς Pg 172 ἀρδεῦσαι ταύτην ἔρχεται Σα ἀρδεῦσαι ἔρχεται ταύτην Pg 173 νάμασιν ἐνθέοις ποτῆσαι ἡμᾶς Σα νεύμασιν ἐνθέοις ποτίσας ἡμᾶς Pn 174-178 troparium deest in Pn Bc M 174 σοι Σα 176 ὡς ἰορδάνια ῥεῖθρα τοὺς πόθω σου Pg 177 ὑμνοῦσι καὶ προσκυνοῦσι Σα 180-181 μάρτυς ὁ δεσπότης / ὡς νοητὴν θεωνᾶ κατεκόσμησεν Pg 182 αἰωνίοις Pn Bc M αἰνίοις Pg 184-188 troparium om. Pg 184 Πτεροῖς] Στεροῖς Bc 187 οὐρανίους Pn Bc M

IN PROFESTUM EPIPHANIAE

Crypt. Δ.α. XXXII = Ct, ff. 102v-103v
Paris. Suppl. gr. 32 = Sa, ff. 159-161

Ὁ κανών.
Ἦχος β'.

ᾠδὴ α'. *Τὴν Μωσέως ᾠδὴν*

Εὐφραινέσθω ἡ γῆ
σὺν τοῖς ἀνθρώποις πᾶσα μυστικῶς
καὶ σκιρτάτω οὐρανὸς
σὺν τοῖς ἀγγέλοις, ὅτι τὰ πάντα
5 γέγονε καινὰ
τῇ γεννήσει Χριστοῦ.

Τὸ ἀπρόσιτον φῶς,
ὁ ἁμαρτίαν ὅλως μὴ εἰδώς,
ἀπορρύψασθαι ἡμῶν
10 τὰς ἁμαρτίας ἐν Ἰορδάνῃ
σήμερον, Χριστός,
κατεπείγεται.

Ἰορδάνη, ἀγάλλου,
ποταμέ· ἰδοὺ γὰρ ἐπὶ σοὶ
15 παραγίνεται Χριστὸς
τοῦ ἐκτελέσαι δικαιοσύνην,
ἥνπερ ἀπ' αἰῶνος
προώρισεν.

Ct (ff. 102v-103v) duos canones, usitato more idest odis alternatis, hoc ordine refert: priorem in Profestum Epiphaniae, alterum in sanctum Gregorium Acritensem tit. Ὁ κανὼν προεόρτιος Ct Ἕτερος κανὼν προεόρτιος et in margine θεοφάνους in Sa
heirm, α'. EE 42, n. 57, Andreae 16-18 ἐνθάψαι πάντων τὰς ἁμαρτίας / νῦν τοῦ ἰορδάνου / τοῖς νάμασιν Sa

---

14-16 cfr. Matth. 3.15

τριαδ. * Παναγία τριάς,
20 μία θεότης, ἄναρχε μονάς,
ὁ πατὴρ καὶ ὁ υἱὸς
καὶ θεῖον πνεῦμα, σῶζε τὸν κόσμον·
σὺ γὰρ εἶ Θεὸς
καὶ δοξάζομέν σε.

θεοτ. 25 * Τὴν ἀρχαίαν ἀρὰν
ἐν τῇ γαστρί σου λύσασα, σεμνή,
ἀνεβλάστησας ἡμῖν
τὴν εὐλογίαν βρέφος τεκοῦσα·
οὗτός μου Θεός,
30 εἰ καὶ σάρκα φορεῖ.

ᾠδὴ γ'. *Στειρωθέντα μου τὸν νοῦν*

Ἰορδάνη ποταμέ,
ὑποδέχου τὸν Χριστόν·
ἰδοὺ γὰρ ἦλθε
καθαρθῆναι δι' ἐμὲ
35 ὁ μὴ χρῄζων καθαρμοῦ
ὡς ἀναμάρτητος.

Δεῦτε ὕδωρ καθαρὸν
σωτηρίου ἐκ πηγῶν
μετ' εὐφροσύνης
40 ἀπαντλήσωμεν, πιστοί·
ἔρχεται γὰρ ὁ Χριστὸς
ἐπὶ τὸ βάπτισμα.

Τὸν τῆς στείρας σε βλαστὸν
ὁ παρθένου τοκετός,
45 ὦ Ἰωάννη,

19-24 τριαδ. PeR 95; idem om. Sa 23 σὺ ἡμῶν Θεὸς PeR 25-30 θεοτ. PeR 95 26 τῇ om. PeR 29 μου] γὰρ PeR.
heirm. γ' EE 43, n. 57, Andreae 43-48 aliud troparium in Sa: Χορευέτωσαν λαοὶ / ἑορτὴν ἐξ ἑορτῶν / ἐπιτελοῦντες / καὶ ἔρχεται χριστὸς / ἐκ παρθένου σαρκωθεὶς / ἐπὶ τὸ βάπτισμα.

37-40 Is. 12,3

εὐτρεπίζειν αὐτοῦ
ἀποστέλλει τὰς ὁδούς·
ἰδοὺ γὰρ ἔρχεται.

τριαδ. * Σὺν πατρὶ καὶ τὸν υἱὸν
50 καὶ τὸ πνεῦμα τὸ εὐθές,
τὴν μίαν φύσιν,
προσκυνῶ καὶ ἀνυμνῶ
τοῖς προσώποις διαιρῶν
καὶ τῇ οὐσίᾳ ἑνῶν.

θεοτ. 55 Χαῖρε, πάντων ἡ χαρά,
χαῖρε, δόξα καὶ ἐλπίς,
χαῖρε, τὸ τεῖχος
τὸ ἀσάλευτον, σεμνή,
χαῖρε, σκέπη καὶ λιμὴν
60 τῶν προστρεχόντων σοι.

f. 103 Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ὁ φῶς ὡς ἱμάτιον
περιβαλλόμενος
....

ᾠδὴ δ'. *Τὴν ἐκ παρθένου σου γέννησιν*

Λουτρὸν τὸ θεῖον ηὐτρέπισται,
Ἰωάννης ἐγγίζει
καὶ προέρχεται Χριστὸς
μαρτυρηθῆναι ἐν πνεύματι τῷ παναγίῳ,
65 ὅπερ ἀποστείλας
ὁ πατὴρ οὐρανόθεν,
τῆς τριάδος
τὸ μυστήριον τρανοῖ.

49-54 τριαδ. PeR 97; idem om. Sa
κάθ. MR III,226
heirm. δ' EE 43, n. 57, Andreae 64 ἐν] τῶ Sa

Ἀγαλλιάσθω τὰ σύμπαντα
70 καὶ ἡ γῆ χορευέτω
σωτηρίαν τὴν ἐμήν·
ἁγιαζέτω τὰ ὕδατα, ὅτι ἐγγίζει
πάντων ὁ δεσπότης
καθαρθῆναι δι' οἶκτον
75 καὶ καθᾶραι
ἣν ἐφόρεσε μορφήν.

« Μὴ ἀναβάλλῃς βαπτίσαι με·
τί βραδύνεις καθᾶραι
τὸν τὴν φύσιν καθαρόν;
80 τί με κωλύεις τελέσαι σου τὴν σωτηρίαν;
πλῦνόν με τοῖς ῥείθροις
Ἰορδάνου τὸν πλῦναι
βουλόμενον
ἁμαρτίας τῶν βροτῶν ».

τριαδ. 85 * Ὑπερουσίου θεότητος
τὴν ἀμέριστον δόξαν
τίς ἰσχύσει ἐξειπεῖν;
ἐν γὰρ τῇ φύσει ὑπάρχουσα, τριὰς ὑμνεῖται
ἄναρχος, συμφυής,
90 ὡς μονὰς ἐν τριάδι
ὑμνουμένη
ὑποστάσεσιν ἁπλῇ.

θεοτ. Τὰ μεγαλεῖά σου, ἄχραντε,
τίς ὑμνεῖν ἐξισχύσει;
95 τίς ἐξείποι γηγενῶν;
ὅτι τὸν κτίστην ἐκύησας, φθορὰν μὴ γνοῦσα·
λῦσόν μου τὰ δεσμὰ
τῶν πολλῶν ἐγκλημάτων·
δύνασαι γὰρ
100 ὅσα θέλεις καὶ ποιεῖς.

77-84 dissimile tropariuın Sa tradit: Πῶς οὐκ ἐφλέχθης <— ⏑́ — —> / τοῦ πυρὸς σὺ ὁ χόρτος; / πῶς δὲ στέξεις, βαπτιστά, / ἀπροσίτου θεότητος ἐπιστασίαν; / φρίξον, Ἰορδάνη, / καὶ τὰ ῥεύματα τρόμῳ / ἀνάστρεφε (ἀνάτρεφε cd.) / ἐκ προσώπου τοῦ Θεοῦ. 77 ἀναβάλλη Ct
85-92 τριαδ. PeR 99; idem om. Sa 91 νοουμένη PeR 92 ἁπλαῖς PeR
98 post ἐγκλημάτων cetera om. Sa

ᾠδὴ ε'. *Τὴν ἀχλὺν τῆς ψυχῆς μου*

Νῦν ἀνθήτω ὡς κρίνον
τὰ ἔρημα Ἰορδάνου·
ὁ γὰρ λόγῳ πᾶσαν κτίσιν
δημιουργήσας ἐγγίζει
105 ἐν ὑμῖν σωματικῶς.

Κυρίῳ προέρχου,
τὴν ἔρημον καταλείψας,
πρὸς τὰ ῥεῖθρα Ἰορδάνου·
ἰδοὺ γὰρ ἦλθεν ὁ κτίστης
110 βαπτισθῆναι ὑπὸ σοῦ.

Τίς λόγος ἐξειπεῖν σου
ἰσχύσει τὰ μεγαλεῖα,
Ἰησοῦ Θεὲ τῶν ὅλων;
ὅτι ἐκπλύνεις, καθαίρεις
115 ἁμαρτίας τὰς ἐμάς.

τριαδ. * Σὲ τὸν Θεὸν καὶ πατέρα
καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα
προσκυνῶ τρισυποστάτως
καὶ ἓν τὰ τρία πιστεύω
120 οὐσιότητι μιᾷ.

θεοτ. * Σὺ εἶ τὸ ἄρρηκτον τεῖχος,
λιμὴν καὶ φύλαξ καὶ σκέπη
τῶν πιστῶς προσερχομένων
τῇ σκέπῃ σου, θεοτόκε·
125 βρύεις γὰρ τὸ συμπαθές.

---

heirm. ε' EE 43, n. 57, Andreae heirm. μου] σου EE 103 πᾶσα Sa 106 Κυρίω] ἰωάννου Sa 109 γὰρ ἦλθεν] ἀνῆλθεν Sa 116-120 τριαδ. PeR 101; ipsum om. Sa 118 τρισυποστάτως] τρεῖς ὑποστάσεις PeR 121-125 θεοτ. MG I,341 122 σκέπη] πύργος MG 123 προστρεχόντων Sa 124 τὴν σκέπην MG

101-102 Is. 35,1-2

ᾠδὴ ς'. *Ἄβυσσος ἁμαρτημάτων*

Ἔρχεται
πρὸς Ἰορδάνην
ὁ ποιητὴς Ἰορδάνου,
ἵνα τὰς ἡμῶν ἁμαρτίας
130 καθάρῃ τοῖς ὕδασιν
ὡς εὔσπλαγχνος
καὶ Θεὸς τῶν ὅλων.

Ῥανάτωσαν,
ὥσπερ νεφέλαι,
135 τὰ ὄρη ἐν εὐφροσύνῃ
καί, βουνοί, ἐν ἀγαλλιάσει
Χριστοῦ προσκιρτήσατε
ἐρχομένου
ἐπὶ τὸν Ἰορδάνην.

τριαδ. 140 Ὕδατι
τῆς μετανοίας
καρδίας ἀποπλυθέντες,
δεῦτε Ἰορδάνου τοῖς ῥείθροις
τριάδος τὴν ἔλλαμψιν
145 δεξώμεθα
μυστικαῖς θεωρίαις.

θεοτ. Διάρρηξον,
ἁγνὴ παρθένε,
βουλὰς ἐχθρῶν παρανόμων
150 διὰ τοῦ τεχθέντος ἐκ σοῦ
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν,
ὡς ἔχουσα
μητρικὴν παρρησίαν.

---

heirm. ς' EE 44, n. 59, Germani 133 Θανάτωσαν Ct 138 ἐρχόμενον cdd. metri causa 149 ἐχθρῶν] ἐθνῶν Sa 153 μητρικῇ Sa

---

133-137 Is. 45,8; Is. 49,13; Ps. 113,4.

ᾠδὴ ζ'. *Τὰ Χερουβὶμ μιμούμενοι*

Ὁ οὐρανὸς εὐφραίνεται
155 καὶ ἡ γῆ συγχορεύει
καὶ προσκιρτᾷ τοῖς ῥείθροις
ὁ Ἰορδάνης ποταμός,
ὅτι ὁ ἐν ὑψίστοις
Θεὸς καταβέβηκας
160 καὶ φορεῖς ὡς οἶδας,
Χριστέ, τὸν ἄνθρωπον,
διὰ βαπτίσματος, σωτήρ, ἐκκαθᾶραι
σπεύδων ἡμῶν τὸν ῥύπον.

Ὁ τὸν ἱμάντα λῦσαί σου
165 μὴ ἰσχύων ἐβόα·
« πῶς σε χειροθετήσω
ἢ πῶς βαπτίσω σε, σωτήρ;
ἐγὼ γὰρ χρείαν ἔχω
τοῦ σοῦ νῦν βαπτίσματος,
170 σὺ δὲ ἔρχῃ πρός με,
τὸν δοῦλον ὁ δεσπότης;
ἁγίασόν με σὺ ὁ δεδοξασμένος
εἰς πάντας τοὺς αἰῶνας ».

Σὺ παρ' ἐμοῦ καθάρσιον
175 ὁ καθαίρων τὸν κόσμον
αἰτῆσαι παρεγένου,
ἐγὼ δὲ δέδοικα, Χριστέ·
ὁ Ἰορδάνης τρόμῳ
ἰδών σε στραφήσεται
180 καὶ κωλύσει ὄντως
τῇ ἐγχειρήσει τῇ ἐμῇ·

heirm. ζ' EE 43, n. 57, Andreae 164 Ὁ] Ἡ Ct 168 γὰρ om. Sa 173 post πάντας orat. detruncantur

174-181 aliud troparium in Sa legitur: « Ἰδοὺ πληρῶσαι πρέπον μοι / πᾶσαν δικαιοσύνην » / ὁ λυτρωτὴς ἐβόα, / « ἄφες οὖν ἄρτι, Βαπτιστά, / δεῦρο λειτούργει πίστει / ἐμοῦ τῷ κελεύσματι· / δάνεισόν μοι / τὴν / δεξιάν σου, Πρόδρομε, / διόπερ τῇ ἐμῇ καθορῶ βαπτίσει / δι' οὗ παρεγενόμην ».

164-165 cfr. Luc. 3,16 168-170 Matth. 3,14 178-179 Ps. 113,3

σὺ οὖν με βάπτισον σὺν παντὶ τῷ ὄχλῳ,
τὸν δοῦλον ὁ δεσπότης.

τριαδ. * Σὺν τῷ πατρὶ δοξάσωμεν
185 τὸν υἱὸν καὶ τὸ πνεῦμα
τὸ ἅγιον, βοῶντες
ἀκαταπαύστῳ τῇ φωνῇ·
« τριάς, ἡ ἐν μονάδι
οὐσία, ἐλέησον,
190 σῶσον πάντας ἡμᾶς·
ἡ ἐν προσώποις μονάς,
ἐλέησον ἡμᾶς, ὁ δεδοξασμένος
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. * Ἐν τῇ γαστρί σου, ἄχραντε,
195 πῶς ἐχώρησας βρέφος,
ὃν τρέμουσι δυνάμεις
αἱ τῶν ἀγγέλων ὡς Θεόν,
εἰ μή, ὡς ἠβουλήθη,
ὡς οἶδεν, ἐσκήνωσε
200 πάντας σῶσαι θέλων
τοὺς ἐξ Ἀδὰμ γηγενεῖς
ὁ λύσας τὸν Ἀδὰμ τῆς ἀρᾶς ἐκείνης
τῆς διὰ βρώσεως πικρᾶς;

ᾠδὴ η'. *Τὸν ἐν τῇ βάτῳ Μωσῇ*

Ἀνακαινίζου ἡ γῆ
205 καὶ εὐφραίνου ἡ κτίσις,
ὅτι ἦλθεν ὁ κτίστης
ἐκ παρθένου σαρκωθεὶς
καὶ ὕδασι καθᾶραι
τὰς ἁμαρτίας ἡμῶν,
210 ἐν ῥείθροις Ἰορδάνου.

184-193 τριαδ. PeR 104; idem om. Sa 184 δοξάζομεν PeR 188 ἡ ἐν μονάδι] μοναδικὴ PeR 190 ἡμᾶς om. PeR 191 ἡ ἐν τρισὶ PeR 192 ἐλέησον] οἰκτείρησον PeR 193 εἰς πάντας] Θεὸς εἰς PeR 194-203 θεοτ PeR 104 198 ἠβουλήθην Sa 200 πάντας θέλων σῶσαι PeR

heirm. η' EE 43, n. 57, Andreae

Αἱ πατριαὶ τῶν ἐθνῶν
νῦν χορεύσατε πίστει,
τὴν ὑμῶν προσδοκίαν
ὑποδέξασθε, Χριστόν,
215 ἐπὶ τὸν Ἰορδάνην
εἰς τὸ καθᾶραι ἡμᾶς
παραγενόμενον σαρκί.

Πῶς σε τὸ ἄστεκτον πῦρ
ὑποστήσεται χόρτος;
220 πῶς ἐνδύσῃ τὰ ῥεῖθρα
Ἰορδάνου, Ἰησοῦ,
ὁ κύκλῳ ταῖς νεφέλαις
τὸν οὐρανὸν στεφανῶν
ἐν ἐξουσίᾳ θεϊκῇ;

τριαδ. 225 * Σὺν τῷ πατρὶ τὸν υἱὸν
καὶ τὸ ἅγιον πνεῦμα,
τὴν ἁγίαν τριάδα,
ἐν θεότητι μιᾷ
δοξάσωμεν βοῶντες·
230 « ἅγιος, ἅγιος εἶ,
ἅγιος εἰς αἰῶνας ».

θεοτ. * Ἐν τῇ γαστρί σου, ἁγνή,
τὸν οὐράνιον ἄρτον
φυραθέντα ἀφύρτως
235 τῷ φυράματι ἡμῶν
ἐγέννησας ἀτρέπτως,
ἕνα Χριστὸν τὸν Θεὸν
ἐν δυσὶ ταῖς οὐσίαις.

ᾠδὴ θ'. *Τὴν ὑπερφυῶς σαρκὶ*

Ὑποδέχου, ποταμὲ
240 Ἰορδάνη, τὸν Χριστόν·

225-231 τριαδ. PeR 106; idem om. Sa 229 δοξάζομεν PeR 230-231 Ἅγιος, ἅγιος, ἅγιος εἶ, / εἰς πάντας τοὺς αἰῶνας PeR 232-238 θεοτ. PeR 106 233 οὐράνιον] ἀείζωον PeR 235 τῷ] ἐν PeR 238 δύο Sa
heirm. θ' EE 42, n. 55, Joannis

ἰδοὺ γὰρ ἦλθε, φέρων
ἐπὶ ὤμων τὸν Ἀδάμ,
τοῦ πταίσματος καθᾶραι
εὐσπλαγχνίᾳ θεϊκῇ.

245 Ἰωάννη, τὰς ὁδοὺς
εὐτρεπίζων τοῦ Χριστοῦ,
φωνὴ βοῶντος, δεῦρο
τὸν ἐλθόντα κήρυξον
καὶ σκίρτησον ὡς πάλαι
250 ἐν κοιλίᾳ τῆς μητρός.

Εὐλογεῖτε τὸν Θεὸν
αἱ φυλαὶ τοῦ Ἰσραὴλ
καὶ ἅπαντα τὰ ἔθνη
τὰς χεῖρας κροτήσατε·
255 Χριστὸς γὰρ βαπτισθῆναι
παραγίνεται σαρκί.

τριαδ. * Ἄναρχος εἶ, ὁ πατήρ,
ἄκτιστος εἶ, ὁ υἱός,
σύνθρονον καὶ τὸ πνεῦμα,
260 ἓν τὰ τρία τῇ φύσει
καὶ τρία τοῖς προσώποις·
εἷς Θεὸς ἀληθινός.

θεοτ. Χαῖρε, πύλη τοῦ Θεοῦ,
χαῖρε, κλῖμαξ νοητή,
265 χαῖρε, νεφέλη κούφη,
χαῖρε, ὄρος ἅγιον,
χαῖρε, θεοτόκε,
ἡ ἐλπὶς χριστιανῶν.

245 Ἰώαννου Ct 257-262 τριαδ. PeR 108; idem om. Sa

245-247 cfr. Is. 40,3; Matth. 3,3; Marc. 1,3; Luc 3,4; Joh. 1,23
249-250 Luc. 1,41 263 Ez. 44,2 264 Gen. 28,12 265 Is. 19,1
266 Ps. 67,16

5 IAN. *CANON* XIII

IN SANCTUM GREGORIUM ACRITENSEM

Synaxarium, 372-374: ..... Οὗτος ὁ ἅγιος εἷλκε τὸ γένος ἐκ τῆς περιβοήτου τῶν νήσων Κρήτης..... Καί ποτε θείῳ ζήλῳ πυρωθείς, τῆς ἐνεγκαμένης ἀπάρας ἐπὶ τὴν Σελεύκειαν ἔρχεται κἀκεῖ χρόνον οὐκ ὀλίγον ἐνδιατρίψας, ἄρτῳ βραχυτάτῳ καὶ ὕδατι ἔζη. Τῷ δὲ εἰκοστῷ ἕκτῳ χρόνῳ τῆς ἡλικίας αὐτοῦ..... τὰ Ἱεροσόλυμα καταλαμβάνει, πάντα τόπον ἅγιον προσκυνῆσαι γλιχόμενος..... Εἶτα τῶν ἐκεῖθεν ἀπάρας, τὴν Ῥώμην καταλαμβάνει καὶ τυχὼν ἐκεῖσε τοῦ ἀγγελικοῦ σχήματος, ἣν δαμάζων τὸ ἑαυτοῦ σαρκίον τῇ ἐγκρατείᾳ. Ἐπεὶ δὲ τὴν βασιλείαν..... Μιχαὴλ ὑπεζώσατο..... ἀπεστάλη Μιχαὴλ ὁ ὁμολογητής, ἐπίσκοπος Συνάδων, πρὸς τὸν ἁγιώτατον πάπαν καὶ τῷ μακαρίτῃ Γρηγορίῳ ἐνέτυχεν· ἐν Κωνσταντινουπόλει ὑποστρέφων, μεθ' ἑαυτοῦ συνήγαγε καὶ τῇ εὐαγεστάτῃ μονῇ τῇ ἐν τῷ Ἀκρίτᾳ φέρων δίδωσι, τοῖς ἐκεῖσε μοναχοῖς συναριθμήσας. Ὅς καὶ μονοχίτων καὶ ἀνυπόδετος ὑπάρχων ἐπὶ ψαθίου ἀνεκλίνατο, ἄρτου βραχυτάτου καὶ ὕδατος διὰ δύο ἢ καὶ τριῶν ἡμερῶν μεταλαμβάνων..... Καὶ οὕτως ἐποίει πάσας τὰς ἡμέρας, μέχρις ὅτε τὸ πνεῦμα αὐτοῦ εἰς χεῖρας Θεοῦ ἐπαφῆκε, καλῶς τὸν ἀγῶνα ἀγωνισάμενος.

Paris. gr. 928 = T, pp. 362-368
Crypt. Δ.α. XXXII = Ct, ff. 102ᵛ-103ᵛ
Barb. gr. 543 = Bb, ff. 69-73ᵛ
Paris. Suppl. gr. 32 = Sa, ff. 159-161
Constantinopol. Chalcensis Mon. 94 = X, ad diem

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Τοὺς σοὺς ἐπαινῶ, παμμάκαρ πάτερ, τρόπους· Ἰωσήφ.

Ἦχος β'.
ᾠδὴ α'. *Δεῦτε, λαοί,*

Τῷ φωτισμῷ
τῆς τρισηλίου θεότητος
καταυγασθείς, Γρηγόριε,
φῶς ἐχρημάτισας
5 καὶ φωτίζεις τοὺς πίστει

---

tit. Ἕτερος κανὼν τοῦ ἁγίου φέρων ἀκροστιχίδα τήνδε, Τοὺς σοὺς ἐπαινῶ παμμάκαρ τρόπους T, sed cum ode β' desit, ita acrostichis superes t:τουςσ ⟨....⟩ παινω παμμακαρ πατερ τροπους ιωσηφ Ἕτερος κανὼν τοῦ ἁγίου Ct Bb Sa (ὁσίου) Ἰωσὴφ in margine scriptum invenies in Sa
heirm. α' EE 37, n. 51, Cosmae

ταύτην σου τὴν φωσφόρον
μνήμην γεραίροντας.

Ὅλον σαυτὸν
τῷ ποιητῇ ἀνατέθεικας,
10 ὅλον ψυχῆς τὸν ἔρωτα,
πάτερ, ἐκένωσας
εἰς αὐτόν· διὰ τοῦτο
τοῦ πνεύματος τὴν χάριν
ὅλην εἰσδέδεξαι.

15 Ὕπνον τοῖς σοῖς,
πάτερ, βλεφάροις οὐκ ἔδωκας,
οὐ νυσταγμὸν τοῖς ὄμμασιν
ἕως ἐκοίμησας
τῆς σαρκὸς τὰς ὀρέξεις·
20 διό σε πάντες πρέσβυν
πλουτοῦμεν ἄγρυπνον.

Σὲ τοῦ φωτός,
πάτερ, υἱὸν χρηματίσαντα,
ὁ φωτοδότης κύριος
25 νῦν προσελάβετο
ἐν ἡμέρᾳ τῶν Φώτων,
ἀνέσπερον πρὸς φέγγος
κατασκηνώσας σε.

θεοτ. * Σωματικῶς
30 ἀποτεκοῦσα τὸν ἄσαρκον,
θεογεννῆτορ πάναγνε,
τῶν σαρκικῶν ἡμᾶς,
ψυχικῶν τε κηλίδων
ἀπόπλυνον ῥανίσι
35 θείας πρεσβείας σου.

8-14 troparium in Bb desideratur 15-21 tropario Ct caret 21 ἄγρυπνον] ἄμαχον Bb Sa 22-28 troparium om. Sa X 28 κατασκηνώσα σε Bb 29-35 θεοτ. An. με' 32 ἡμῶν X

15-17 Ps. 131,4

p. 363 ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*
ἐν σοί, κύριε,

Παλάτιον τὴν σὴν
ψυχὴν ἐτέλεσας,
παμμάκαρ,
ἀρεταῖς κεκοσμημένον,
40 ἐν ᾧ ὅλως κατεσκήνωσεν
ὁ πατήρ, ὁ υἱὸς καὶ πνεῦμα ἅγιον.

Ἀρδεύσας τὴν ψυχὴν
δακρύων ῥεύμασιν,
εἰργάσω,
45 Γρηγόριε, καρποφόρον,
ἀρετὰς παντοίας φέρουσαν
καὶ θαυμάτων ἐπίδειξιν, πανόλβιε.

Ἰάσεις ἐκτελῶν
ὁ θεῖος τάφος σου,
50 ἐνθάπτει
νοσήματα τῶν ἀνθρώπων
καὶ ῥωννύει τὰ φρονήματα
εὐφημεῖν σου τοὺς πόνους, πάτερ ὅσιε.

θεοτ. Νηδύος ἐκ τῆς σῆς
55 ὁ μέγας ἥλιος,
παρθένε,
ἀνέτειλε παραδόξως
καὶ φωτίσας τὰ ἐπίγεια
τῶν ὁσίων τοὺς δήμους ἐπεσπάσατο.

---

heirm. γ' EE 39, n. 53, Cosmae 36 τὴν σὴν] τερπνὸν X 39 κεκοσμημένος T 40 ὅλος T Bb Sa λόγος X 41 ὁ πατὴρ καὶ... T 46 ἀρεταῖς παντοίαις Bb φέρουσα Sa 48-53 troparium desideratur in Bb

Κάθισμα.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Τὴν τοῦ βίου θάλασσαν
δι' ἐγκρατείας
ἀκυμάντως ἔπλευσας
καὶ εἰς λιμένα νοητὸν
5 τῆς ἀπαθείας κατήντησας,
πάτερ θεόφρον, Γρηγόριε ὅσιε.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας

60 Ὡς Χριστοῦ τὴν ταπείνωσιν
ἠγαπηκώς, ὑψώθης ἀπαθείᾳ
ταπεινώσας πᾶσαν
p. 364 δαι||μόνων ἔπαρσιν.

Πιανθεὶς τῶν δακρύων σου
65 ἐπιρροαῖς ὡς γῆ, θεόφρον, πίων,
ἀρετῶν βλαστάνεις
πολύχουν ἄσταχυν.

Ἀνατείλας ὡς ἥλιος
ἀπὸ δυσμῶν θαυμάτων δᾳδουχίαις,
70 καταυγάζεις πᾶσαν,
πάτερ, ὑφήλιον.

θεοτ. Μακαρίζει σε, πάναγνε,
πᾶσα ψυχή· μακάριον γὰρ Λόγον
ὑπὲρ νοῦν καὶ λόγον
75 ἐκυοφόρησας.

κάθ., quod post oden ς' praebet Ct, deest in Bb
heirm. καθ. HR 169 1 βίου] θείου Ct
heirm. δ' deest in EE, sed eundem conferre possumus cum MR I,96
68-71 troparium desideratur in Bb 69 δαδουχία X 70 post πᾶσαν et supra lineam σοφὲ manus posterior addidit in Sa 71 πάτερ om. Sa

---

65 Gen. 49,15

ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς χορηγός*

Μόνῳ τῷ πόθῳ Χριστοῦ
σοῦ προσηλώσας τὴν ψυχήν, ἔσπευσας
ἐκπληρωτὴς
θείων προσταγμάτων
80 γενέσθαι καὶ πολλῶν
θαυμάτων ἐδέξω
τὴν χάριν, Γρηγόριε.

Ἄκακος, πάτερ, ὀφθείς,
πᾶσαν κακίαν τοῦ ἐχθροῦ ὤλεσας
85 καὶ συμπαθὴς
ἄγαν δεδειγμένος,
τοῦ μόνου συμπαθοῦς
χάριν εἰσεδέξω
τὴν ὄντως σωτήριον.

90 Κόσμου τὴν σχέσιν λιπών,
κόσμος ἐγένου μοναστῶν ἔντιμος
καὶ ἀπὸ γῆς
πρὸς ὑπερκοσμίους
κατέπαυσας σκηνάς,
95 πάτερ θεοφόρε,
ἀγγέλων ὁμότιμε.

θεοτ. Ἄισατε πᾶσα ἡ γῆ,
ψάλατε δὴ τῷ ἐκ γαστρὸς λάμψαντι
θεοπρεπῶς
100 τῆς ἀπειρογάμου
καὶ ταύτην τῶν πιστῶν
δείξαντι βεβαίαν
ἐλπίδα καὶ καύχημα.

---

heirm. ε΄ EE 38, n. 51, Cosmae   76 χριστῷ Bb   83 πάτερ] πρᾶος T   90-96 troparium om. Bb X   102 δείξαντι] δόξαντι Sa

---

97 Ps. 95,1

p. 365 ᾠδὴ ϛ΄. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ῥαπισμῷ τῶν μεγίστων ἀγώνων σου,
105 πάτερ, ἀπερράπισας δαιμόνων πρόσωπα
τὸν ῥαπισθέντα κύριον
διὰ σὲ θεραπεύων, Γρηγόριε.

Παρθενίᾳ λαμπρύνας τὸν βίον σου,
μετὰ τῶν φρονίμων παρθένων, Γρηγόριε,
110 λαμπαδηφόρος, ὅσιε,
εἰς νυμφῶνα εἰσῆλθες οὐράνιον.

Ἀγαθούς, πάτερ, τρόπους κτησάμενος,
τοῦ ἀγαθοδότου Θεοῦ χάριν εἴληφας,
ἀγαθοδότως ταύτην δὲ
115 διανέμεις τοῖς χρῄζουσι πάντοτε.

θεοτ. Τῆς ψυχῆς μου τὰ πάθη θεράπευσον
ἡ τῆς ἀπαθείας πηγὴ χρηματίσασα
καὶ τοὺς χοροὺς λαμπρύνασα
τῶν ὁσίων, παρθένε, τῷ τόκῳ σου.

Κοντάκιον.

Ἦχος γ΄. *Ἡ παρθένος σήμερον*

Τῶν λαμπρῶν ἀγώνων σου
ἡ φωτοφόρος ἡμέρα
προκηρύττει ἅπασιν
ἐν Ἰορδάνῃ μολοῦντα
5 κύριον τὴν ἁμαρτίαν
τοῦ πρωτοπλάστου
αἴροντα καὶ τὴν τοῦ κόσμου·

---

heirm. ϛ΄ EE 34, n. 46, Joannis   107 θεράπων Bb   112-115 troparium om. Bb X   114 δὲ om. T   115 διανέμοις T   118 λαμπρύνουσα Ct Bb   119 τὸν τόκον Sa
κοντάκ. et οἶκ. desunt in Ct Bb Sa X
heirm. κονταк. HR 164

ὅθεν ἐκ πόθου,
Γρηγόριε, σὲ τιμῶμεν,
10 ὡς τῆς ἐρήμου οἰκήτορα πρώτιστον.

Ὁ οἶκος.

Προσευχῇ ἐκτενεῖ
καὶ ἀγρυπνίᾳ, δεήσει τε
τὴν ψυχὴν λαμπρυνθείς,
ἐν ταῖς ἐρήμοις διέδραμες
15 κἀκεῖ διατρίψας
ὡς ἄγγελος, πάτερ,
νηστείαν, νῆψιν,
στένωσιν σώματος,
μελέτην ἀέναον,
20 τοὺς τοῦ Δαβὶδ λόγους ὑπέψαλλες
καὶ τὰς μυστικὰς βίβλους διέτριβες,
δαιμόνων στῖφος ἀποδιώκων
καὶ τὰς ἐκ τούτων προσβολὰς
ἀποτρεπόμενος· στερρῶς
25 ὁπλομάχῳ ὡς βέλει
τῇ συντόνῳ σου δεήσει,
ὡς τῆς ἐρήμου οἰκήτωρ πρώτιστος.

366 ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

120 Ἐν ὅλῃ τῇ σῇ
τῆς ἀσκήσεως ζωῇ,
πάτερ, οὐδόλως
ἐν τῷ καθεύδειν ἀνεκέκλισο
μιᾷ πλευρᾷ τοῦ σοῦ σώματος,
125 πόνοις ὁμιλῶν ἀνενδότοις
καὶ κραυγάζων, Γρηγόριε·

οἰκ. 27 post ἐρήμου cetera om. cd.
heirm. ζ' EE 39, n. 53, Cosmae 120 τῆς σῆς Ct Bb Sa X 121 ζωῆς Sa X 123 ἀνακέκλισο Ct Bb X ἀνακέκλησον Sa 124 μία πλευρὰ Ct Bb τοῦ σοῦ] τῇ τοῦ T τῷ τοῦ X ὁμιλῶν] ἀνελὼν X 126 post Γρηγόριε orat. varie detruncant cdd.

« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Ῥομφαίᾳ τῶν σῶν
130 προσευχῶν τοὺς δυσμενεῖς
ἔτρωσας δαίμονας
καὶ οὐρανόθεν χάριν εἴληφας
τοῦ θεραπεύειν νοσήματα
καὶ ἀποδιώκειν κραυγάζων
135 πονηρότατα πνεύματα·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Τὴν σάρκα τῷ σῷ
ὑποτάττων ἀνδρικῶς
140 πνεύματι, πάτερ,
ἐν ἐγκρατείᾳ πάσῃ ἔζησας
καὶ ἀγρυπνίᾳ, Γρηγόριε,
ἔχων ἐλεήμονα γνώμην
καὶ πολιτείαν οὐράνιον
145 καὶ μελῳδῶν· « εὐλογητὸς
ὁ τῶν πατέρων Θεός ».

θεοτ. Ῥομφαία τὸ πρὶν
ἡ τὰς πύλας τῆς Ἐδέμ,
ἁγνή, φυλάττουσα,
150 νῶτα, παρθένε, πᾶσι δίδωσιν
ἀσκητικῶς τὸν πολέμιον
δράκοντα τοῖς καταβαλοῦσι
καὶ ἀεὶ ἀνακράζουσιν·
« εὐλογητὸς εἶ, ὁ Θεός,
155 ὁ τῶν πατέρων ἡμῶν ».

129-137 troparium in Bb desideratur 134 ἀποδιώκεις T 136 post εὐλογητὸς orat. varie recidunt cdd. 138 σῷ] νῷ X 140 θεομακάριστε X 141 πᾶσαν X πάτερ Ct 146 Θεὸς om. Ct T, post τῶν laudem detruncat Sa 148 τὰς πύλας] τὴν θύραν Ct Bb Sa X 153 καὶ ἀνακράζουσιν λέγοντες Sa ἀεὶ] αὐτῷ T 154 εὐλογημένη ἡ θεὸν Ct post εὐλογητὸς varie orat. intermittunt cdd.

147-149 Gen. 3,24 150 II Regn. 22,41; Ps. 17,41

p. 367 ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Οἱ τῶν δακρύων σου κρουνοὶ
κατασβέσαντες τὸ πῦρ τῆς ἁμαρτίας,
ποταμόν σε θαυμάτων
ἔδειξαν πᾶσιν ἡμῖν
160 παντοῖα
πάθη κατακλύζοντα
τῶν σοὶ προστρεχόντων,
Γρηγόριε παμμάκαρ.

Πίστιν, ἐλπίδα ἀρραγῆ
165 καὶ ἀγάπην ἀληθῆ, πάτερ, ἐκτήσω,
προσευχῶν προσεδρείαν,
ὑπομονὴν ἀγαθήν,
μελέτην
λογίων τοῦ πνεύματος,
170 ταπεινοφροσύνην
καὶ ἄκραν ἀκακίαν.

Ὁλοσχερῶς τῶν ὀρεκτῶν
τὸ ἀκρότατον ποθῶν, συνανεκράθης
τῇ αὐτοῦ ἀκροτάτῃ,
175 πάτερ θεόφρον, στοργῇ
καὶ πᾶσαν
ἡδονὴν ἐμίσησας
μέλπων· « εὐλογεῖτε
Χριστὸν εἰς τοὺς αἰῶνας ».

180 Ὕπνωσας ὕπνον ἀληθῶς
ὀφειλόμενον, σοφέ, πᾶσι δικαίοις
καὶ τῆς φύσεως νόμῳ
τάφῳ τεθεὶς ἱερῷ,
ἰάσεις

heirm. η' EE 35, n. 47, Joannis 157 κατασβέσαντε Ct ἁμαρτίας] ἀθείας X 158 σὲ] ὡς Ct Bb Sa 163 παμμάκαρ] θεόφρον X 164 ἀρραγὴν Bb 166 προσεδρεία T 167 ἀγαθὴν] ἀληθῆ Bb 172-179 troparium desideratur in Ct Bb Sa X 179 post Χριστὸν laudem abrumpit T Ct 181 ὀφειλόμενος Bb

185 ἐκβλύζεις, Γρηγόριε,
μέλπων· « εὐλογεῖτε
Χριστὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Σῶσόν με, μήτηρ τοῦ Θεοῦ,
σωτηρίας ἀπαρχὴ κόσμῳ δειχθεῖσα,
190 ῥυομένη με σάλου
τῶν ἀκαθάρτων παθῶν
καὶ πάσης
ἐναντίας θλίψεως,
ἵνα σε δοξάζω
195 εἰς πάντας τοὺς αἰῶνας.

p. 368 ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Ἰδοὺ ἠνοίχθη σοι, πάτερ,
οὐρανῶν βασιλεία
τελέσαντι τὸν δρόμον τὸν καλόν·
βλέπεις ἃ βλέπουσιν ἄγγελοι,
200 ἀμοιβὰς τῶν καμάτων
κομίζῃ κατὰ μέθεξιν Θεὸς
χρηματίζων· διό σε,
Γρηγόριε, γεραίρομεν.

Ὡς εὐωδέστατον ῥόδον,
205 ὡς ἡδύπνοον κρίνον
λειμῶνι τῆς ἀσκήσεως τερπνῶς,
πάτερ, ἀνθήσας, Γρηγόριε,
εὐωδίασας κόσμον

186 post εὐλογεῖτε orat. varie detruncant Ct T 188 μῆτερ Bb 195 post πάντας orat. varie excidunt Ct Sa T
heirm. θ' EE 34, n. 46, Joannis 198 τελέσαντα Bb 199 βλέπεις] βλέπουσιν Bb 203 γεραίρομεν] δεόμεθα Ct Sa Bb 206 λειμῶσι Ct Bb Sa τερπνὸν X 208 εὐωδιάσας Bb

198 cfr. II Tim. 4,7

θαυμάτων παραδόξων ταῖς ὀδμαῖς
210 καὶ παθῶν τὸ δυσσῶδες
ἐμείωσας, μακάριε.

Συντετριμμένῃ καρδίᾳ
τὸν Θεὸν θεραπεύσας,
συνέτριψας δαιμόνων μηχανὰς
215 καὶ συντριβέντας ἀνώρθωσας
ὑπ' αὐτῶν, θεοφόρε·
διό σε μακαρίζομεν πιστῶς,
προσκυνοῦντες τὴν κόνιν
τοῦ σώματος, Γρηγόριε.

220 Ἡ παναγία σου μνήμη
ἁγιάζουσα κόσμον
ὡς ἥλιος ἀνέτειλε, σοφέ,
ἣν ἑορτάζοντες, ὅσιε,
δυσωποῦμέν σε· « ἔχων
225 καλλίστην παρρησίαν πρὸς Θεόν,
ἱκετεύων μὴ παύσῃ
σωθῆναι τὰς ψυχὰς ἡμῶν ».

θεοτ. * Φεῖσαί μου, κύριε, φεῖσαι,
ὅταν μέλλῃς με κρῖναι
230 καὶ μὴ καταδικάσῃς με εἰς πῦρ,
μὴ τῷ θυμῷ σου ἐλέγξῃς με,
δυσωπεῖ σε παρθένος
ἡ σὲ κυοφορήσασα σαρκί,
τῶν ἀγγέλων ὁ δῆμος
235 καὶ τῶν ὁσίων σύλλογος.

---

210 δυσσῶδες] συδῶδες Bb 211 ἐμείωσας] ἐμύησας T 228-235 θεοτ. MR I,228 229 κρίνειν MR 233 σαρκὶ] σεμνὴ Ct Sa χριστὲ X MR 234 τῶν ἀγγέλων] Ἀποστόλων MR οἱ δῆμοι Ct Bb Sa X 235 καὶ σὺν Προφήταις Μάρτυρες MR

---

229 Esdr. (Neh) 23,22 231 Ps. 6,2; 37,1

IN EPIPHANIAM

Synaxarium, 373-374: Τὰ ἅγια Θεοφάνια ἑορτάζομεν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ .....

Crypt. Δ.α. XV = Cg, ff. 80-85
Crypt. Δ.α. V = Ch, ff. 38-44

Ὁ κανών· ποίημα Ἀνδρέου.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτῶν*

Σήμερον ὁ Θεὸς
τοῖς ἀνθρώποις ἐπὶ γῆς
φαίνεται ὡς ἄνθρωπος
καὶ κατ' οὐσίαν καὶ φύσιν·
5 ᾄσωμεν αὐτῷ ᾆσμα καινόν,
ὅτι ἐνδόξως δεδόξασται.

Σήμερον ὁ Ἀδὰμ
καὶ ἡ Εὔα μυστικῶς
ἅμα συγχορεύοντες
10 ἐν εὐφροσύνῃ βοῶσιν·
« ἔσωσας ἡμᾶς, μόνε σωτήρ,
ἐπιφανεὶς ἐν τῷ ὕδατι ».

Σήμερον ὁ πατὴρ
μαρτυρεῖται τῷ υἱῷ,

---

tit. Ἕτερος κανὼν τῶν φώτων et in margine ποίημα ἀνδρέου Cg Τῇ ἑσπέρα κανὼν ποίημα ἀνδρέου Ch
heirm. α' EE 104, n. 147, Andreae

15 πνεῦμα δὲ τὸ ἅγιον
ἐξ οὐρανοῦ καταβαίνει
καὶ τὸ τῆς τριάδος πᾶσιν ἡμῖν
ὁμοφυὲς νῦν γνωρίζεται.

Σήμερον ἐν σαρκὶ
20 βαπτισθεὶς ὁ λυτρωτής,
κόσμον ἀνεκαίνισεν
ἐν Ἰορδάνου τοῖς ῥείθροις,
πάντας τε πατρὶ προσήγαγε
καὶ τῷ αὐτοῦ θείῳ πνεύματι.

25 Ἔφριξε θεωρῶν
Ἰωάννης, ἀγαθέ,
ῥύπον σε μὴ ἔχοντα
καὶ βαπτισθῆναι ζητοῦντα·
ὅθεν παρῃτεῖτο, μόνε σωτήρ,
30 χειροθετῆσαι τὴν σὴν κορυφήν.

Σήμερον ὁ Χριστὸς
ἐνδιδύσκεται σεπτῶς
Ἰορδάνου ὕδατα,
τὴν ἐκκλησίαν στολίζων
35 τὸ τῆς ἀφθαρσίας ἔνδυμα
τῷ φωτισμῷ τοῦ βαπτίσματος.

Λούσασθε τὴν ψυχὴν
καὶ καθάρθητε τὸν νοῦν,
δέξασθε τὸ βάπτισμα
40 τῆς μετανοίας ἐν πίστει,
λάβετε τὸ πνεῦμα ἔνδον, πιστοί,
τὸ ἁγιάζον τὰ σύμπαντα.

τριαδ. Ἄκτιστον ἀληθῶς
καὶ ὁμότιμον, πιστοί,
45 πάντες ἀνυμνήσωμεν
τὴν παναγίαν τριάδα,

31-42 troparia om. Ch

ἄναρχον πατέρα σέβοντες
καὶ τὸν υἱὸν σὺν τῷ πνεύματι.

θεοτ. Ἔτεκες ἀληθῶς
50 τὸν ἀχώρητον Θεόν,
μόνη μητροπάρθενε,
ὃν Ἰορδάνης ἐστράφη
καὶ ὁ Ἰωάννης ἔφριξε
καὶ τὰ οὐράνια τάγματα.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος,
ὁ σαρκωθεὶς καὶ γεννηθείς,
5 *ἀλλ' οὐκ εἰς σάρκα τραπείς,*
οὐδὲ φαντάσας αὐτήν·
ὡς Θεὸς γὰρ συμπληρῶν
σὺν τοῖς ἄνω τὰ κάτω
καὶ παρέχων τὸ μέγα ἔλεος.

55 Γνῶτε καὶ ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ ἀρρήτῳ βουλῇ
ἐπιφανεὶς τοῖς ἐν τῇ γῇ,
τὴν ἀνθρωπίνην μορφὴν
f. 80v 60 ἀ||ναδεξάμενος
καὶ ἐν ταύτῃ προελθὼν
ἐπὶ τὸν Ἰορδάνην
καὶ βαπτίζων ἐν πυρὶ καὶ πνεύματι.

Ἴδετε, ἴδετε
65 ὅτι ἐγώ εἰμι
ὁ Θεός, ὁ ἐλθὼν
ἐν Ἰορδάνῃ ποταμῷ

---

53 ὁ om. Cg

heirm. β' deest in EE, cfr. autem E. Follieri, *Un canone inedito di S. Andrea di Creta*, «Studi e Testi» 219, p. 341 nota 2; Ch textum heirm. integrum praebet; Cg usque ad v. 5 ἀλλ' οὐκ textum refert, ceterum tacitum praeterit

τοῦ βαπτισθῆναι ἑκὼν
ὑπὸ οἰκέτου χειρῶν
70 καὶ καθαίρων τὰς φρένας
τῶν ἐθνῶν τῶν ἀπίστων
ἐν τῷ πυρὶ τοῦ θείου βαπτίσματος.

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
75 ὁ Θεὸς ὁ Λόγος,
ὁ Ζαχαρίου τὸν υἱὸν
ἑτοιμαστὴν τῆς ὁδοῦ
τῆς πρὸς τὸ βάπτισμα
ἀναδείξας ἐπὶ γῆς
80 καὶ ἐκτέμνων τὰ πάθη
τῇ ἀξίνῃ τοῦ ἁγίου πνεύματος.

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος,
85 πρὸς ὃν ὁ Πρόδρομος βοᾷ·
« ἴδε ἀμνὸς τοῦ Θεοῦ,
ὁ δι' ἡμᾶς καθ' ἡμᾶς
γεγονὼς ὑπὲρ ἡμῶν
καὶ καθαίρων τὸν κόσμον
90 καὶ βαπτίζων ἐν πυρὶ καὶ ὕδατι ».

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος,
ὃν ἐμαρτύρησε πατὴρ
95 καὶ ἡ τοῦ πνεύματος
κάθοδος ἐπέστη ποτέ,
ὡς υἱὸς μὲν τοῦ πατρὸς
καὶ ὡς εἷς τῆς τριάδος
ἀχωρίστως καὶ μετὰ σάρκωσιν.

82-90 troparium deest in Ch 93 versus desideratur in Cg 94 ὃ Ch
95 τοῦ supra lineam in Ch scriptum est 98 ὡς] ὁ Cg

86 Joh. 1,29 91-96 cfr. cfr. Matth. 3,16-17

100 Οἴδαμεν, ἔγνωμεν
ὅτι Θεὸς ἡμῶν
σὺ ὑπάρχεις, σωτήρ,
ὁ ὁμοούσιος πατρὶ
καὶ συναΐδιος
105 Λόγος, Ἰησοῦς ὁ Χριστός,
ὁ ἐλθὼν ἐν τοῖς ῥείθροις
Ἰορδάνου καθᾶραι
πᾶσαν φρένα καὶ φωτίσαι πάντας ἡμᾶς.

τριαδ. Ἴδετε, ἴδετε
110 ὅτι ἐγώ εἰμι
ὁ πατήρ, ὁ υἱὸς
καὶ τὸ πανάγιον πνεῦμα,
ἡ ἐν μονάδι τριὰς
καὶ ἐν τριάδι μονάς,
115 ὑμνουμένη ὡς Θεὸς
ὑπὸ πάντων ἀγγέλων
καὶ ἀνθρώπων καὶ πάσης τῆς κτίσεως.

θεοτ. Γνῶτε καὶ ἴδετε
ὅτι ἐγώ εἰμι
120 ὁ Θεὸς ὁ Λόγος,
ὁ ἐκ παρθένου γεννηθεὶς
καὶ ἀκεραίους φυλάξας
τὰς σφραγῖδας αὐτῆς,
ὁ δι' ὕδατος ὑμῖν
125 ὑποδείξας τὴν θείαν,
παραδόξως ξένην ἀναγέννησιν.

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ἡ Βηθλεὲμ τὸ πρὶν ἠτεκνωμένη
f. 81 αἵμασιν ἐρυ||θραίνετο,
ἡ κολυμβήθρα δὲ τοῦ Χριστοῦ
130 τῇ σφαγῇ τῆς ἁμαρτίας

heirm. γ' EE 104, n. 147, Andreae

διὰ πυρὸς καὶ ὕδατος
πολύτεκνος γέγονεν.

Ἡ ἐξ ἐθνῶν ποτε καὶ στεῖρα νύμφη,
ἡ μέλαινα καὶ ἄτεκνος
135 καρποφοροῦσα νῦν εὐθηνεῖ
καὶ βοᾷ ἐγκαυχωμένη,
ὅτι οὐκ ἔστιν ἅγιος
ὡς σὺ ὁ Θεὸς ἡμῶν.

Ὁ θεοπάτωρ κρούων τὴν κινύραν
140 τὴν θάλασσαν μὲν φεύγουσαν,
τὸν Ἰορδάνην δὲ ποταμὸν
ὑποστρέφοντα τῷ φόβῳ
καὶ τοὺς βουνοὺς τοῖς ὄρεσι
σκιρτῶντας ὑπογράφει σαφῶς.

145 Ὁ Ἡσαΐας κράζει· «ἐν ἐρήμῳ
φωνὴ βοῶντος ἤχησεν,
ἡ τοῦ Προδρόμου καὶ Βαπτιστοῦ
καὶ ἀντλήσατε νῦν ὕδωρ
ἐκ τῶν πηγῶν τοῦ πνεύματος,
150 πιστοί, ἐν εὐφροσύνῃ φαιδρῶς».

Ὁ Μωυσῆς τὸ πρὶν τὴν τῶν ὑδάτων
οὐσίαν μετεσκεύασεν
αἱματωθεῖσαν τοῦ Φαραώ,
τοῦ βαπτίσματος τὴν χάριν
155 ὑποδεικνύς, σωτὴρ ἡμῶν,
δι' ἧς μετεβλήθημεν.

Ὁ Ἐλισσαῖος πάλαι τῶν ὑδάτων
τὴν φύσιν μετεποίησε

151-168 troparia desunt in Ch

139-144 Ps. 113,3-4 145-146 Is. 40,3 148-150 Is. 12,3
151-153 Ex. 7,20 157-160 IV Regn. 2,18-23

πολυγονεῖν ἐν Ἱεριχῷ
160 τοῦ βαπτίσματος μηνύων
τὴν ὑπὲρ φύσιν δύναμιν,
δι' ἧς Θεῷ ἑνούμεθα.

Ὁ Ἐλισσαῖος πάλαι τῶν ὑδάτων
τὴν ἁλμυρὰν ποιότητα
165 μετεστοιχείωσε προτυπῶν
τοῦ βαπτίσματος τὸ δῶρον,
δι' οὗ μεταποιούμενοι
πρὸς δόξαν ἀναγόμεθα.

Ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων Λόγος
170 μορφὴν δούλου ἀνέλαβεν,
υἱοθεσίαν δὲ τοῖς πιστοῖς
τῷ βαπτίσματι παρέχων,
τὴν κορυφὴν ὑπέκλινε
χειρὶ τοῦ βαπτίζοντος.

τριαδ. 175 Οἱ τὴν τριάδα πίστει προσκυνοῦντες
ὁμότιμον καὶ σύνθρονον
καὶ ὁμοούσιον ἀληθῶς
ἀνυμνήσωμεν συμφώνως,
τριαδικῶς χορεύοντες
180 σὺν τοῖς τῶν ἀγγέλων χοροῖς.

f. 81v θεοτ. ‖ Ὁ ἐξ ἁγνῆς παρθένου ἀλοχεύτως
τεχθεὶς δι' ἀγαθότητα
καὶ ἐν τοῖς ῥείθροις τὴν κορυφὴν
Ἰορδάνου ὑποκλίνας
185 τῷ Βαπτιστῇ σου, δέσποτα,
τὸ ποίμνιόν σου φύλαττε.

Ch post oden γ' tradit κάθ. Ἐπιφανέντος σου ἐν Ἰορδάνῃ MR III,45

ᾠδὴ δ΄. *« Ἀκοὴν ἀκήκοα »*
φησὶν ὁ Ἀββακούμ,
« ὅτι Θεὸς ἐξ ὄρους,
ἐκ γαστρὸς παρθενικῆς
5 *προῆλθες ἀφράστως· »*
καὶ ἐκστὰς ἀνέκραζε·
« δόξα τῇ δυνάμει σου, κύριε ».

Εὐφρανθῶμεν σήμερον·
ἐφάνη γὰρ Χριστὸς
διὰ σαρκὸς τῷ κόσμῳ,
190 τῆς οἰκείας μὴ ἐκστὰς
ἀτρέπτου οὐσίας·
μυστικῶς οὖν κράζομεν·
« δόξα τῇ εὐσπλάγχνῳ σαρκώσει σου ».

Ὑπὲρ νοῦν ἡ σάρκωσις,
195 φρικτὸς ὁ τοκετὸς
τοῦ ἑνωθέντος Λόγου
τῷ φυράματι ἡμῶν·
ὡς ξένον τὸ θαῦμα
τοῦ καινοῦ βαπτίσματος,
200 ὅτι ὁ ἀμόλυντος ῥύψιν αἰτεῖ.

Ἰορδάνη, σκίρτησον,
εὐφραίνου, ποταμέ,
ὅτι ὁ κτίστης πάντων
παραγέγονεν ἐν σοὶ
205 καθᾶραι τὴν φύσιν
διὰ τοῦ βαπτίσματος,
οὗπερ δι' ἡμᾶς ἐβαπτίσατο.

Προορῶν ἐν πνεύματι
ὁ θεῖος Ἀββακοὺμ
210 τοῦ βαπτισμοῦ τὴν χάριν,

heirm. δ' EE 104, n. 147, Andreae; textum heirm. integrum praebent cdd. heirm. 5 προῆλθεν Ch EE 6 ἀνέκραζε] ἐκραύγαζε EE 192 οὖν κράζομεν] κραυγάζοντες Ch

« ἐπεβίβασας » φησὶν
« εἰς θάλασσαν ἵππους »
διὰ τοῦ βαπτίσματος
ἔθνη « συνταράσσοντας ὕδατα ».

215 Τὴν τρισσὴν ἐπίκλησιν
ὁ θεῖος Ἠλιοὺ
τὴν ἐπὶ τῶν σχιδάκων
ποιησάμενος ποτέ,
προδηλῶν ἐτύπου
220 τὴν τρισσὴν ἐπίκλησιν
ὅλην θεουργοῦσαν τὸ βάπτισμα.

Μωυσῆς τὴν θάλασσαν
τεμὼν τὴν Ἐρυθράν,
τὸν Ἰσραὴλ ἀβρόχῳ
225 διεβίβασε ποδὶ
μηνύων τὴν χάριν
τοῦ σεπτοῦ βαπτίσματος,
ἥτις καὶ εἰς κάθαρσιν δίδοται.

f. 82 θεοτ. ‖ Ἡ Θεὸν κυήσασα,
230 μὴ γνοῦσα δὲ τὸ πῶς
ἐξ ἁγνῶν λαγόνων
τὸν ἐν κόλποις τοῦ πατρὸς
τεκοῦσα ἀφράστως,
σῷζε τοὺς κραυγάζοντας·
235 « δόξα τῷ φωτίζοντι ἅπαντας ».

211 ἐπιβίβασας Ch 221 ὅλον Ch 225 διεβήβασας Ch post 228 signum τριαδ. librarius delineavit in Cg, sed spatium vacuum reliquit 235 δόξα τῶ βαπτίζοντι πάντας πυρὶ Ch

211-214 Hab. 3,15 215-218 III Regn. 18,33-39 222-225 cfr. Ex. 14,21-23

ᾠδὴ ε'. *Τὸ φῶς τὸ ἀληθινόν,*
τὸ φωτίζον πάντα ἄνθρωπον,
λάμψον εἰς ἡμᾶς
τὴν αἴγλην τῶν ἐντολῶν
5 *καὶ ἀπέλασον ἡμῶν*
τὴν νύκτα τῶν παθῶν,
ὅτι ἐκτός σου ἄλλον Θεὸν οὐκ οἴδαμεν.

Τὸ φῶς τὸ ἀληθινόν,
τὸ φωτίζον πάντα ἄνθρωπον,
ἦλθεν ἐπὶ γῆς,
ἐπέφανε τοῖς ἐν γῇ
240 καὶ κατηύγασεν ἡμᾶς
τῷ θείῳ βαπτισμῷ
τῆς ἀπροσίτου δόξης αὐτοῦ, Χριστὸς ὁ Θεός.

« Λούσασθε, καθάρθητε
πάντες » λέγει κύριος
245 « κἂν γὰρ φοινικοὶ
γεγόνατε ταῖς ψυχαῖς,
ὡς χιόνα λευκανῶ
τὸν νοῦν τῶν εὐσεβῶς
προσερχομένων δέξασθαί μου τὸ βάπτισμα ».

250 Πηγὰς νῦν ἁγιασμοῦ
ἀναβλύζει ὁ Θεὸς ἡμῶν·
δεῦτε οὖν, πιστοί,
ἀντλήσωμεν νοητῶς
τὸ ἀλλόμενον, τὸ ζῶν,
255 τὸ βρύον ποταμοὺς
ὕδατος ζῶντος, ὅπερ ἡμῖν τὸ πνεῦμα λαλεῖ.

Ἐτρόμασεν ἡ δεξιὰ
τοῦ Προδρόμου, ὅτε ἥψατο
θείας κορυφῆς,

---

heirm. ε' ΕΕ 104, n. 147, Andreae; heirm. integrum cdd. tradunt heirm. 4 τῇ αἴγλῃ τῶν ἐντολῶν σου ΕΕ 7 σου om. ΕΕ 245 φοινικοὶ (sic) cdd. 250 νῦν om. Cg

---

236-237 Joh. 1,9 243-244 Is. 1,16 245-247 Is. 1,18

260 ὃν τρέμει τὰ Χερουβίμ,
καὶ ἐβόα σοι θαρρῶν·
« τὴν χεῖρά μου κιχρῶ
τῷ καθαρῷ καὶ πάντας ἡμᾶς καθαίροντι ».

Ἔδειξας ἡμῖν ἐν σοὶ
265 τὸν πατέρα βαπτιζόμενος,
ἄναρχε υἱέ,
συνάναρχε τοῦ πατρός,
καὶ ἐγνώρισας ἡμῖν
τὸ πνεῦμα τὸ εὐθές,
270 τὸ καταβὰν ἐν εἴδει περιστερᾶς ἐπὶ σέ.

Τὴν δρόσον τὴν παρὰ σοῦ
ἐσομένην προορώμενος
ἴαμα ἡμῖν
πιστεύσασιν ἐπὶ σοί,
275 τοῦ βαπτίσματος, σωτήρ,
τὴν χάριν μυστικῶς
προανεφώνει τούτοις ὁ Ἡσαΐας ποτέ.

f. 82v τριαδ. || Πατέρα καὶ τὸν υἱὸν
καὶ τὸ πνεῦμα προσκυνήσωμεν,
280 φῶτα καὶ ζωὴν
καὶ φῶς καὶ αὐτοζωήν,
τρία ἅγια καὶ ἓν
καὶ μίαν ἐν τρισὶν
οὐσιωδῶς θεότητα καὶ ταυτότητα.

θεοτ. 285 Τὸ φῶς τὸ πρὸ ἡλίου,
παρθένε, ἀνατείλασα,
γέγονας Θεοῦ
πολύφωτος οὐρανός,
ὡς ἐν ἅρματι φλογὸς
290 τὸ φῶς τὸ ἐν γαστρί·
τὸν νοητὸν γὰρ στάχυν Χριστὸν ἐβλάστησας.

---

263 ἡμᾶς om. Cg 270 καταβὰν ἐν] καταβαῖνον Ch 271-277 troparium desideratur in Ch

---

270 cfr. Joh. 1,32 271-277 Is. 26,19

ᾠδὴ ϛ'. *Μὴ καταποντισάτω με*
καταιγὶς ὕδατος
μηδὲ καταπιέτω με βυθός·
ἀπέρριμμαι γὰρ εἰς βάθη καρδίας,
5 *θαλάσσης τῶν κακῶν μου·*
διὸ
ἀνακράζω ὡς Ἰωνᾶς·
« ἀναβήτω ἐκ φθορᾶς
τῶν παθῶν ἡ ζωή μου
10 *πρὸς σέ, ὁ Θεός ».*

Ἐλισσαιὲ τὸ βάπτισμα
προτυπῶν, κύριε,
τοῦ Ἠλιοὺ ποτε τῇ μηλωτῇ
295 τὸν Ἰορδάνην πατάξας, διῆλθεν
ἐν μέσῳ ἔνθα καὶ ἔνθα·
πάλιν δὲ
τὸ σιδήριον ἀνελὼν
τῆς ἀξίνης ἐκ βυθοῦ,
300 προτυποῖ τὰς καρδίας
γνωσθείσας Θεῷ.

Τὰ ἀτεκνοῦντα ὕδατα,
ὁ αὐτός, ἅλατι,
ἴαμαι, λέγει κύριος εἰπών.
305 Τὸ ὕδωρ τοῦτο ἐγλύκανε τότε
τὸ βάπτισμα προδιαγράφων,
δι' οὗ
ἡ πολύτεκνος τοῦ Θεοῦ
κολυμβήθρα τὴν ἡμῶν
310 ἁλμυρὰν ἀπιστίαν
καθαίρει πυρί.

---

heirm. ϛ' EE 104, n. 147, Andreae; textum heirm. integrum praebent cdd. heirm. 7 ἀνακράζω] κραυγάζω EE 9 παθῶν] κακῶν EE 294 ἡ μηλωτῇ Ch

---

292-296 IV Regn. 2,14 298-299 IV Regn. 6,5-7 302-304 IV Regn. 2,21

Τὸ ἱερόν σου βάπτισμα
προορῶν, κύριε,
ἐκέκραγεν ἐκ κήτους Ἰωνᾶς·
315 « περιεχύθη μοι ὕδωρ θαλάσσης
καὶ πάντες οἱ μετεωρισμοί σου »,
τὴν χάριν
καὶ τὴν κάθαρσιν, τὴν ζωὴν
καὶ τὴν δόξαν τῆς τερπνῆς
320 κολυμβήθρας προγράφων
ἡμῖν μυστικῶς.

εἱρμὸς ἄλλος. *Ζάλη με λογισμῶν κατέλαβεν*
ἐν πελάγει τοῦ βίου·
διό σοι, σωτήρ,
ὡς Ἰωνᾶς βοῶ·
5 *« ἀνάγαγε, δέομαι;*
ἐκ βυθοῦ κατωτάτου καὶ ἐκ φθορᾶς,
κύριε, καὶ διάσωσόν με ».

f. 83 || Ὅλον με προσλαβών, ὁ κτίστης μου,
ὅλος ὤφθης ὡς ἐγώ,
Θεὸς οὐ γυμνός,
325 ἀλλ' οὐδὲ ψιλὸς ἀνήρ,
ἀλλ' εἷς κατ' ἄμφω τέλειος,
οὐ τραπεὶς τὰς οὐσίας, κἂν δι' ἐμὲ
γέγονας ὃ μὴ ἧς ἀφύρτως.

Ἄναρχον υἱὸν γινώσκω σε,
330 κἂν ἐγνώσθης ἐν χρόνῳ·
Θεὸς ἐν σαρκὶ
ἐκ παρθενικῶν, σωτήρ,
αἱμάτων ἀτρέπτως

---

315 περεχύθη Ch
heirm. alter EE 130, n. 180, Andreae; textum heirm. integrum praebent cdd. heirm. 4 βοῶ om. EE 6 καὶ φθορᾶς cdd. 324 γυμνὸς] ψιλὸς Ch 325 ψιλὸς] γυμνὸς Ch 329-335 troparium om. Ch.

---

315 Jon. 2,6 316 Jon. 2,4

μορφωθεὶς τὴν οὐσίαν τὴν καθ' ἡμᾶς,
335 κύριε, καὶ πτωχεύεις σάρκα.

Ὅλος ὢν καθαρὸς καὶ ἄσπιλος,
νῦν καθαίρῃ δι' ἐμὲ
καὶ ῥύπον οὐκ ἔχων,
σωματικῶς ἐμοὶ
340 βάπτισμα βαπτίζῃ,
τὴν ἐν σοὶ προξενῶν μοι διὰ λουτροῦ
ἄφθαρτον παλιγγενεσίαν.

Ὅλην μου προσλαβών, ὁ κτίστης μου,
τὴν φθαρεῖσαν εἰκόνα
345 καὶ ὅλον ἐμὲ
μετὰ τῶν ἐμῶν, σωτήρ,
φορέσας, ἔσωσας
τῇ κενώσει σου, δούς μοι ἀντὶ φθορᾶς,
κύριε, τὴν ἀθανασίαν.

τριαδ. 350 Ἄναρχον προσκυνήσωμεν τριάδα
ἐν μιᾷ θεότητι,
ἀγέννητον τὸν πατέρα,
γεννητὸν τὸν υἱὸν
ἐκ τοῦ πατρός,
355 τὸ δὲ ἅγιον πνεῦμα
ἐκπορευτόν, ὁμοούσιον.

ᾠδὴ ζ'. *Τὸν ἐν καμίνῳ τοὺς παῖδας*
ἀφλέκτους φυλάξαντα
καὶ τὸ πῦρ κατασβέσαντα
ὑμνήσωμεν, λέγοντες·
5 *« εὐλογητὸς εἶ, κύριε,*
ὁ Θεὸς τῶν πατέρων,
εἰς πάντας τοὺς αἰῶνας ».

Τῆς ἁμαρτίας τὴν φλόγα
δι' ὕδατος ἔσβεσας,

---

ante versum 343 signum θεοτ. in Cg exaratum   350-356 τριαδ. deest in Ch   post oden ς' κοντάκ. Τὴν σωματικήν σου παρουσίαν et οἶκ. acrostichide Τοῦ ταπεινοῦ Ch profert, PAS I, 24
heirm. ζ' EE 101, n. 143, Cosmae; heirm. integrum Ch praebet; Cg tantum primos duos versus   heirm. 2 ἀφλέκτως Cg φυλάξαντα] τηρήσαντα EE

τῷ πυρὶ δὲ τοῦ πνεύματος
360 τὸν κόσμον ἐδρόσισας
ἀναχαλκεύσας, εὔσπλαγχνε,
τὸν Ἀδὰμ τὸν φθαρέντα
τὸ πρὶν τῇ ἁμαρτίᾳ.

Ἐν Ἰορδάνῃ, σωτήρ μου,
365 τὸ βάπτισμα δέξασθαι
παρεγένου ὡς ἄνθρωπος
ὑπὸ τοῦ Προδρόμου σου
καὶ τὴν κάραν ὑπέκλινας,
τῇ τρισσῇ καταδύσει
370 τὸ ὕδωρ ἁγιάσας.

Ἡ μεγαλόφωνος σάλπιγξ
βοᾷ καὶ προτρέπεται·
« συνταφῶμεν ἐν ὕδατι
Χριστῷ τῷ Θεῷ ἡμῶν·
375 ἰδοὺ γὰρ νῦν καθαίρεται,
τὸ ἡμέτερον ὅλον
οἰκεῖον ἐκτελέσας ».

f. 83v ‖ Ἐν Βαβυλῶνι οἱ παῖδες
πυρὶ προσωμίλησαν
380 διαμείναντες ἄφλεκτοι,
δηλοῦντες τὸ βάπτισμα
καθαῖρον μὲν τὰ πταίσματα,
μὴ φλογίζον δὲ σῶμα
τῶν ἀναγεννωμένων.

385 Τὰ ἰορδάνεια ῥεῖθρα
πυροῦνται τῷ πνεύματι
καὶ τὰ πταίσματα φλέγουσι,
τὸ πῦρ δὲ τῆς χάριτος
ἀνακαθαίρει ἅπαντας
390 ἐνδιδύσκον χιτῶνα
καινὸν τῆς ἀφθαρσίας.

---

371 σάλπιξ Ch

Τὸν παλαιὸν ἀναπλάσαι
βουλόμενος ἄνθρωπον
ὁ ποιήσας τὸν ἄνθρωπον,
395 πυρὸς χωνευτήριον
ποιεῖ τὸ βαπτιστήριον
καὶ συντρίψεως ἄνευ
καινοποιεῖ τὴν φύσιν.

Υἱοθεσία τοῖς πᾶσι
400 διὰ τοῦ βαπτίσματος
προγραφεῖσα σωτήριος,
ἀρραβὼν ἀνόθευτος
τοῖς γεννωμένοις γίνεται
καὶ καινῆς πλαστουργίας
405 καὶ παλιγγενεσίας.

Ἐπὶ τῆς γῆς ἐπεφάνη
χάρις ἡ σωτήριος,
ὁ βαπτίζων ἐν πνεύματι
Χριστὸς ὁ Θεὸς ἡμῶν,
410 τοῦ πατρὸς τὸ ἀπαύγασμα,
ὁ ἐν τῷ Ἰορδάνῃ
τὴν φύσιν ἀναπλάσας.

Τὸ θεοπάροχον δῶρον
τῆς ἀναγεννήσεως
415 ἐν τρισὶ καταδύσεσι
τελεσιουργούμενον
καὶ τρισὶν ἐπικλήσεσι
τῆς ἁγίας τριάδος,
θεοποιεῖ τὴν φύσιν.

392-412 troparia desunt in Ch   ante versum 413 signum τριαδ. in Ch exaratum   Cg post v. 419 hoc refert troparium, quod deest in Ch et cum metro et versuum structura discrepat, qua re interpolatum putandum est:

Τοῦ κυρίου ἡ φωνὴ
ἐπὶ τῶν θείων ὑδάτων
τοῦ Ἰορδάνου διὰ νεφέλης ἤχθη

θεοτ. 420 Ὡς θεομήτορα πάντες
ὑμνοῦμέν σε, ἄχραντε,
τὴν τεκοῦσαν τὸν κύριον,
τὸν ἐν τῷ βαπτίσματι
τὴν κτίσιν ἀναπλάσαντα
f. 84 425 καὶ φωτί||σαντα κόσμον
ἐν ῥείθροις Ἰορδάνου.

ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Τίς τὴν ἄστεκτόν σου μορφὴν
τοῦ σώματος
ἰσχύσει ἐξειπεῖν
430 ἢ κατιδεῖν αὐτὴν γυμνήν;
Χερουβὶμ γὰρ σὺν τοῖς ἀγγέλοις
γυμνὸν ἐν τοῖς ῥείθροις
Ἰορδάνου ὡς εἶδόν σε ἔφριξαν,
κατακαλυφθέντα,
435 σωτήρ, ἀπὸ τοῦ φόβου.

Νῦν ἐκλάμψωμεν ὡς τὸ φῶς,
λουσώμεθα,
γενῶμεν καθαροὶ
καὶ λευκανθέντες ὡς χιών,
440 τῷ κυρίῳ προσκολληθῶμεν
ἀεὶ προσκαλοῦντι
καὶ φωτίζοντι πάντας ἐν πνεύματι
καὶ ἀναδεικνύντι
υἱοὺς τῆς βασιλείας.

προσμαρτυροῦσα βαπτιζομένου
τῷ συνθρόνῳ καὶ υἱῷ
καὶ τὸ πνεῦμα καταβάν,
ἐβρόντησεν ἐξ ὕψους
τῇ ἀμωμήτῳ φωνῇ
τὸ τῆς τριάδος συμφυές.

heirm. η' EE 107, n. 150, Andreae   438 γενῶμεν (sic) cdd.   443 ἀνα δεικνύντα Cg

445 Φῶς ἀπρόσιτον κατοικῶν,
εὐδόκησας
ἀτρέπτως, λυτρωτά,
δι' ἀγαθότητα πολλὴν
σὰρξ παγῆναι καὶ βαπτισθῆναι
450 ἐν τῷ Ἰορδάνῃ
καὶ ἡμῖν ὑποδεῖξαι τὴν ἄφραστον
τοῦ μονογενοῦς σου
δόξης οἰκονομίαν.

Εἷς ὑπάρχεις μονογενής,
455 ἀνείκαστος
Θεός τε καὶ θνητὸς
ἐκ τοῦ πατρὸς καὶ τῆς μητρός,
ὁ ἐν κόσμῳ πολιτευθῆναι
ἐμοὶ εὐδοκήσας
460 ὑπὲρ φύσιν καὶ λόγον καὶ ἔννοιαν
καὶ τῶν καθαρσίων
λουτρῶν συμμετασχεῖν μοι.

« Πῶς καλάμη ψαύσει φλογί,
ὁ χόρτος δὲ
465 τοῦ σώματος τὸ πῦρ
τῆς σῆς θεότητος, σωτήρ;
πῶς βαπτίσω; » κράζει ὁ κῆρυξ·
Χριστὸς δὲ πρὸς ταῦτα·
« ἄφες ἄρτι, προφῆτα, καὶ βάπτισον
470 τὸν τὰς ἁμαρτίας
πάντων ἀνειληφότα ».

« Πῶς ὑπάρχων ἀληθινὸν
καὶ ἄφραστον
πῦρ φλέγον τοὺς εἰς σὲ
475 ἀντοφθαλμοῦντας τολμηρῶς »
Ἰωάννης πρὸς τὸν δεσπότην
πιστῶς ἀνεβόα

---

452 μονογενοῦ σου Cg 456 θνητὸς] βροτὸς Ch 463 φλογί] πυρὶ Ch
472-489 troparia om. Ch

---

469 Matth. 3,15

« καὶ πῶς θήσω » φησὶ « τὴν παλάμην μου
(f. 84v) ἐπὶ κο||ρυφήν σου
480 φλέγουσαν τὰς κάτω φύσεις; »

Σὰρξ γενόμενος δι' ἡμᾶς,
εὐδόκησας
καὶ βάπτισμα λαβεῖν
ὁ ἀναμάρτητος Θεὸς
485 ἐν τοῖς ῥείθροις τοῦ Ἰορδάνου,
ἐν οἷς, εὐεργέτα,
συνενθάψας ἡμῶν τὰ ἐγκλήματα,
ἐπὶ τὴν ἀρχαίαν
ζωὴν ἀνῆξας πάλιν.

(τριαδ.) 490 Εἷς, ἀΐδιος ὁ Θεός,
ὃν τρέμουσιν
ἀγγέλων στρατιαί,
ἄναρχος, ἄκτιστος τριάς,
ἀμερίστως διαιρουμένη,
495 πιστῶς ἑνουμένη,
ἣν ὑμνεῖ πᾶσα κτίσις κραυγάζουσα·
« ὦ τριάς, μονὰς
ὁ Θεός, ἐλέησόν με ».

(θεοτ.) Εἷς ὑπάρχεις μονογενής,
500 ἄνω εἷς
καὶ κάτω ὁ αὐτός,
ἀμήτωρ ἄνω ἐκ πατρὸς
καὶ ἀπάτωρ ἐκ μητρὸς κάτω,
ἐν ᾗ ἐμορφώθης
505 τὸ ἀλλότριον, Λόγε, πτωχεύσας μου
τὴν ταπεινωθεῖσαν
φύσιν ἀναμαρτήτως.

ᾠδὴ θ'. *Ἐποίησε κράτος*
ἐν βραχίονι αὐτοῦ

Μεγάλα τὰ ἔργα,
ἃ ἐποίησας ἡμῖν·

---

heirm. θ' EE 106, n. 149, Andreae

510 γενόμενος γὰρ σὰρξ ἀτρέπτως, Λόγε,
κατήλλαξας μὲν ἡμᾶς
καὶ συνῆψας τῷ πατρί,
παρ' οὗ καὶ τὸ πνεῦμα προϊόν,
τὸ ἁγιάζον πάντα,
515 τὸ δι' ὕδατος πυρὶ
ἡμᾶς ἀναπλάττον.

« Ἐρράγη νῦν ὕδωρ
ἐν ἐρήμῳ μυστικῶς »·
βοάτω δὴ ὁ μέγας Ἡσαΐας
520 τὴν ἐκκλησίαν δηλῶν
καὶ τὸ βάπτισμα Χριστοῦ,
δι' οὗ λευκανθέντες ὡς χιὼν
λευχειμονοῦμεν πάντες
ἀφθαρσίας στολισμῷ
525 ἀθανατισθέντες.

Χριστὸς ἐπεφάνη
καὶ ἐκαίνισεν ἡμᾶς·
διέρρηξε γὰρ πέτραν ἐν ἐρήμῳ,
ἐν ἐκκλησίᾳ πηγὴν
530 τοῦ βαπτίσματος αὐτοῦ,
ἐν ᾧ ἀνεγέννησεν ἡμᾶς
ἡ πρὶν ἐστειρωμένη
ἐκκλησία μυστικῶς
υἱοθετηθέντας.

535 Θεὸς ἐπεφάνη
κατὰ σάρκα τοῖς ἐν γῇ
καὶ ἤνθησεν ἡμῖν ἡ ἀφθαρσία
καὶ λέλυται τοῦ Ἀδὰμ
ἡ πρωτόγονος ἀρά·
540 Χριστὸς γὰρ ἠνέῳξεν ἡμῖν

---

510 γενάμενος Cg 534 υἱοθετηθέντας] ἀναγεννηθέντας Cg

517-518 Is. 35,6 528 Ps. 77,15

ἀθανασίας ῥεῖθρα
f. 85 τῷ βαπτί||σματι αὐτοῦ,
ἵν' ἀναπλασθῶμεν.

Τὸ φῶς ἐπεφάνη
545 καὶ ἐφώτισεν ἡμᾶς·
εὐφράνθητι ἡ ἔρημος διψῶσα,
ἡ ἐκκλησία Χριστοῦ,
ὄρη, ῥήξατε φωνήν,
νεφέλαι ῥανάτωσαν τῇ γῇ
550 δικαιοσύνης ὕδωρ
διὰ πίστεως Θεοῦ
τοῦ ἐπιφανέντος.

Χριστὸς ἐπεφάνη
καὶ κατηύγασεν ἡμᾶς·
555 Δαβὶδ ἡμῖν βοᾷ ὁ ὑμνογράφος·
« προσέλθετε πρὸς αὐτὸν
καὶ φωτίσθητε, λαοί,
καὶ φῶς τῷ φωτὶ αὐτοῦ » φησὶν
« ὄψεσθε κεκραγότες·
560 παρὰ σοὶ πηγὴ ζωῆς
καὶ ἀθανασίας ».

θεοτ. Ὁ πάντα ποιήσας
ἐν σοφίᾳ, Ἰησοῦ,
ὁ ὅλον με φορέσας ἐκ παρθένου
565 καὶ ὅλος μένων ἀεὶ
ἐν τοῖς κόλποις τοῦ πατρός,
τὴν ποίμνην σου ῥῦσαι ἐκ φθορᾶς
καὶ ἐκ παντὸς κινδύνου
καὶ συνείσαξον ἡμᾶς
570 εἰς τὰς ἄνω μάνδρας.

---

560 σοῦ Cg post versum 561 signum τριαδ. librarius delineavit in Cg, sed spatium vacuum reliquit, cfr. v. 228 562 θεοτ. in primis verbis simile est eius quod in TR 589 invenitur

---

546 Is. 35,1 548 Is 49,13 549-550 Is. 45,8 556-557 Ps. 33,6 558-561 Ps. 35,10

7 IAN. *CANON* XV (1)

IN OCTAVAM EPIPHANIAE

Crypt. Δ.α. XV = Cg, ff. 88-95
Mess. gr. 136 = Mf, ff. 17-21ᵛ
Sinait. gr. 598 = Σα, ff. 48-49ᵛ

Ὁ κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*

Ὁ δι' ἡμᾶς
ἐκ τῆς παρθένου Θεὸς σαρκωθεὶς
τὰ Ἰορδάνου νάματα
νῦν περιβάλλεται
5 εἰς ἡμῶν σωτηρίαν,
καινίζων τὴν φθαρεῖσαν
φύσιν τοῦ γένους ἡμῶν.

Δεῦτε πηγὴν
ἐν Ἰορδάνῃ ἀφέσεως
10 καθαιρομένην ἴδωμεν
εἰς ἀπολύτρωσιν
τῆς ἀνθρώπων οὐσίας
καὶ δῶμεν τῷ εὐσπλάγχνῳ
δόξαν Θεῷ ἡμῶν.

In Cg, alternatis odis, tres canones hoc ordine proferuntur; primus (ff. 87ᵛ-94ᵛ) in Octavam Epiphaniae (inc. Βαπτιζόμενον τῷ τῶν παθῶν μου) MR III,162, secundus (ff. 88-95) hic quem referimus canon, tertius (ff. 88-95ᵛ) in sanctos Julianum et Basilissam dicatus.

tit. Ἕτερος κανὼν μεθεόρτιος Cg Κανὼν ψαλλόμενος εἰς τὸ μεσονύκτιον Mf Ὁ κανὼν προεόρτιος τῶν φώτων ποίημα ἰωάννου Σα

heirm. α' EE 37, n. 51, Cosmae 4 νῦν om. Mf Σα περιεβάλλετο Mf

15 Ὕδωρ ἡμῖν
ἔδωκας ἀγαλλιάσεως
τὸν Ἰορδάνην σήμερον,
ἐν ᾧ ἀπέπνιξας
τὸν ἀρχέκακον ὄφιν·
20 διό σε τὸν σωτῆρα
πίστει δοξάζομεν.

f. 89 ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Τὰ ῥεῖθρά σε, Χριστέ,
τὰ ἰορδάνεια
ἰδόντα
25 ἐστράφη εἰς τὰ ὀπίσω,
τῆς ἀχράντου σου θεότητος
τὴν ἀπρόσιτον αἴγλην μὴ βαστάσαντα.

Εὐφραίνουσι, Χριστέ,
τῆς ἐπιγνώσεως
30 τῆς θείας σου
δόξης τὴν ἐκκλησίαν
ἐμπιπλῶντα τὰ ὁρμήματα
τοῦ Ἰορδάνου, σαρκὶ βαπτιζομένου σου.

Ὁ λόγος τῇ φωνῇ,
35 τῷ λύχνῳ ἥλιος,
τῷ δούλῳ
παρίσταται ὁ δεσπότης
ὑπὲρ κόσμου καθαιρόμενος
ὡς Θεὸς καὶ καθαίρων τὸν βαπτίζοντα.

17 σήμερον] δέσποτα Mf Σα

heirm. γ' EE 39, n. 53, Cosmae 27 ἀπρόσιτον] ἀπόρρητον Mf αἴγλην] θέαν Mf Σα, βασάντα Σα 29 τὴν ἐκκλησίαν σου Mf Σα 31 γνώσεως ἐμπιπλόντα Mf Σα 32 ἐμπιπλῶντα] ἰορδάνου Mf Σα 33 ἐν αὐτῷ ἡ τριὰς γὰρ πεφανέρωται Mf Σα 39 καὶ] δὲ Mf Σα

f. 90 ᾠδὴ δ'. *Ἐξ ὄρους ἄνευ χειρὸς*
λίθος ἐτμήθης, Χριστὲ [ὁ Θεός],

40 Ἐβόα ὁ Βαπτιστής·
« σὺ ἁμαρτίαν, Χριστέ,
ὅλως οὐκ ἔπραξας,
στόματι δὲ σῷ δόλος, σωτήρ, οὐχ εὑρέθη·
εἰς σωτηρίαν λαοῦ σου ἐλήλυθας,
45 πῶς σε νῦν βαπτίσω, ἀπρόσιτε; »

« Πληρῶσαι πᾶσαν ὑμῖν
δικαιοσύνην », Χριστέ,
ἀντέφης « πρόκειται· »
βλέπων εὐσεβῶς τὸν Βαπτιστὴν δεδοικότα
50 « εἰς σωτηρίαν λαοῦ μου ἐλήλυθα·
θάρσει λειτουργῶν τῇ προστάξει μου ».

Ἐκτείνας ὁ Βαπτιστὴς
τὴν ἑαυτοῦ δεξιάν,
Χριστέ, ὑπότρομον,
55 φόβῳ καὶ χαρᾷ ἐν Ἰορδάνῃ βαπτίζει
τὴν ἁμαρτίαν τοῦ κόσμου τὸν αἴροντα,
σὲ τὸν ἀναμάρτητον κύριον.

θεοτ. Σὲ βάτον πάλαι Μωσῆς
πυρπολουμένην, ἁγνή,
60 προεθεάσατο·
σὺ γὰρ ἐν γαστρὶ ἀκαταφλέκτως ἐδέξω
τὴν τῆς θεότητος φλόγα τὴν ἄστεκτον,
ἣν μετὰ σαρκὸς ἀπεκύησας.

---

heirm. δ' EE 39, n. 53, Cosmae; textum heirm. integrum praebent cdd. heirm. 2 post Χριστὲ Cg addidit ὁ Θεός, quod metri causa expungendum est 41 ἁμαρτίας Mf 43 σῶτερ Cg Σα 45 νῦν] οὖν Mf Σα 46 Πληρῶσας Cg 48 πρόκειται] πρέπον ἐστὶν Σα 50 λαῶν Σα 57 κύριον] καὶ πολυέλεον Cg 58-63 aliud θεοτ. Mf tradit, vide p. 156 58 ὁ μωσῆς Cg 61 γαστρί σου Σα

46-47 Matth. 3,15 58-60 Ex. 3,2

f. 91 ᾠδὴ ε'. *Τῆς νυκτὸς διελθούσης*

Τῆς νυκτὸς διελθούσης,
65 Χριστέ, ἐπεφάνης
καὶ τὸ φῶς τῷ κόσμῳ κατέλαμψας·
διὰ τοῦτο ἡ κτίσις
χαρᾶς ἐπληρώθη
καὶ ἀγαλλιάσεως σήμερον.

70 Ἰωάννης ἐβόα
μηνύων τῷ κόσμῳ
σὲ τὸν ἀναμάρτητον κύριον,
ὃν ὑμνοῦσιν ἀπαύστως
τάγματα ἀγγέλων
75 καὶ δοξολογοῦσι τὰ σύμπαντα.

Βαπτισθεὶς ἐν τοῖς ῥείθροις
τοῖς τοῦ Ἰορδάνου
κόσμον ἀνεκαίνισας, κύριε,
καὶ φωνὴ οὐρανόθεν
80 κατήχθη βοῶσα,
υἱὸν μονογενῆ σε κηρύττουσα.

θεοτ. Ἀπειρόγαμε μῆτερ
παρθένε, μὴ παύσῃ
τὸν ἐκ σοῦ τεχθέντα Θεὸν ἡμῶν
85 δυσωποῦσα κινδύνων
ῥυσθῆναι καὶ νόσων
τοὺς ἐν ἀληθείᾳ ὑμνοῦντάς σε.

f. 91ᵛ ᾠδὴ ς'. *Ἄβυσσος ἁμαρτημάτων*

Ἔφλεξας πυρὶ τῷ θείῳ,
Χριστέ μου, τὴν ἁμαρτίαν

---

heirm. ε' EE 41, n. 55, Joannis 66 ἐπέλαμψας Σα 75 versus desideratur in Cg δοξολογεῖ σε Σα 76 Ἐβαπτίσθης ἐν ρεῖθροις Mf 78 κόσμον ἀνακαινίζων ὡς εὔσπλαγχνος Mf 82-87 θεοτ. aliud tradit Mf, vide p. 157 82 μήτηρ Σα 86 καὶ νόσων] ἀλήτως Σα
heirm. ς' EE 44, n. 59, Germani

79-81 cfr. Matth. 3,17; Marc. 1,11; Luc. 3,22

90 ἐν τῷ Ἰορδάνῃ βαπτισθείς,
ῥύπον δὲ ἅπαντα ἐκάθηράς μου
ὡς Θεὸς καὶ δεσπότης.

Ἄναρχος υἱὸς ὑψίστου
ὑπάρχεις ὁ ἐκ παρθένου
95 σαρκωθεὶς ἐκ κόρης, Χριστέ·
τὸν κόσμον ἀνέπλασας τοῖς νάμασι
βαπτισθεὶς Ἰορδάνου.

Βλέπων σε ὁ Ἰωάννης
ἐρχόμενον βαπτισθῆναι,
100 τοῖς λαοῖς ἐβόα· « ἴδε ἀμνός,
ὁ καὶ φιλάνθρωπος υἱὸς Θεοῦ
καὶ Θεὸς κατὰ φύσιν ».

θεοτ. * Βάτος σε ἐν τῷ Σιναίῳ
ἀφλέκτως προσομιλοῦσα
105 τῷ πυρὶ προγράφει μητέρα
τὴν ἀειπάρθενον, ἀνύμφευτε
θεοτόκε Μαρία.

Κοντάκιον ⟨ἰδιόμελον.⟩
Ἦχος πλ. β΄.
Τὴν σωματικήν σου
παρουσίαν δεδοικὼς
....

Ὁ οἶκος.
Τῷ τυφλωθέντι Ἀδὰμ ἐν Ἐδὲμ
....

90 βαπτιστὴς Mf   91 δὲ] τε Mf   καθήρας μου Cg ἀπέπλυνας Mf   95 ἐκ κόρης, Χριστέ,] χριστὲ ὁ θεὸς Mf   96 ἀνέπλασας] ἐφώτησας Mf   98-102 tropario caret Mf   103-107 θεοτ. MR III, 17; aliud in Mf legitur, vide p. 158   104 προσομιλοῦσαν Cg

κοντάκ. et οἶκ. MR III,165; eadem om. Σα; pro κοντάκ. et οἶκ. invenitur κάθ. in Mf, vide p. 158

100 Joh. 1,36   103-105 Ex. 3,2

f. 92v ᾠδὴ ζ΄. *Ὁ τὴν κάμινον πάλαι*
τὴν καχλάζουσαν σβέσας
καὶ τοὺς παῖδας τῷ ὄμβρῳ
τοῦ πνεύματος δροσίσας,
5 *εὐλογητὸς εἶ, κύριε,*
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὁ χειρὶ τοῦ Προδρόμου
κορυφὴν ὑποκλίνας
110 καὶ Ἀδὰμ τὸν φθαρέντα
βαπτισθεὶς ἁγιάσας,
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὁ τὸν πάλαι πεσόντα
115 Ἀδὰμ ἐπανορθώσας
f. 93 ‖ Ἰορδάνου τοῖς ῥείθροις
καὶ κόσμον ἁγιάσας,
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

120 Ὁ πατὴρ οὐρανόθεν
υἱὸν ἀνακηρύττει
καὶ τὸ ἅγιον πνεῦμα
ὡς οἰκείῳ προστρέχει·
εὐλογητὸς εἶ, κύριε,
125 ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

θεοτ. Ἡ ἀσπόρως τεκοῦσα
τὸν τοῦ κόσμου σωτῆρα,
ψυχικῆς σωτηρίας,
μόνη εὐλογημένη,
130 ἀξίωσον τοὺς δούλους σου,
⟨— — ΄ — — ΄ — — ΄.⟩

heirm. ζ΄ EE 44, n. 59, Germani; heirm. integrum cdd. praebent heirm. 2 καχλάζουσαν] παμφλάζουσαν Mf EE   110 καὶ ὑδάτων τὴν φύσιν Mf   111 βαπτισθεὶς] ὡς θεὸς Mf   112 post κύριε orat. varie abrumpitur in Cg Mf   114-119 aliud troparium legitur in Mf, vide p. 158   118.124 post κύριε laudem excidit Cg   120-125 troparium om. Mf   126-130 θεοτ. diversum in Mf, vide p. 159

f. 93v

ᾠδὴ η′. *Τὸν διὰ λόγου τεχθέντα*
ἐκ τῆς θεοτόκου,
παῖδες, ὑπερυψοῦτε
Χριστὸν τὸν Θεὸν ἡμῶν
5 *εἰς τοὺς αἰῶνας.*

Τὸν βαπτισθέντα ἐν ῥείθροις
τοῖς τοῦ Ἰορδάνου
πάντες ὑπερυψοῦτε
Χριστὸν τὸν Θεὸν ἡμῶν
135 εἰς τοὺς αἰῶνας.

Τὸν ἁγιάσαντα φύσιν
πᾶσαν τὴν τῶν ὑδάτων,
παῖδες, ὑπερυψοῦτε
Χριστὸν τὸν Θεὸν ἡμῶν
140 εἰς τοὺς αἰῶνας.

Τὸν ἐκ πατρὸς οὐρανόθεν
υἱὸν μαρτυρηθέντα,
πάντες, ἠγαπημένον
ἀεὶ ἀνυμνήσωμεν
145 εἰς τοὺς αἰῶνας.

τριαδ. Τὴν ἐν τριάδι μονάδα
ἀδιάστατον φύσιν,
πάντες, δοξολογοῦμεν
ἀεὶ τὸν Θεὸν ἡμῶν
150 εἰς τοὺς αἰῶνας.

θεοτ. Τὸν σαρκωθέντα ἀσπόρως
ἐξ ἁγίας παρθένου,
πάντες, δοξολογοῦμεν
ἀεὶ τὸν Θεὸν ἡμῶν
155 εἰς τοὺς αἰῶνας.

---

ode η′ in Cg omnino dissimilis est odes η′ canonis qui traditur in Mf, vide p. 159

heirm. η′ ineditus videtur 133.138 post ὑπερυψοῦτε varie orat. excidunt Σα Cg 137 τὴν om. Σα 141 Τὸν ἐκ] Ὑπὸ Σα 144 ἀνυμνοῦμεν Σα 145.150.155 post τοὺς orat. detruncat Cg 146-150 troparium deest in Σα

141-143 cfr. Matth. 3,17; Marc. 1,11; Luc. 3,22

f. 94v

ᾠδὴ θ′. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Ἐν Ἰορδάνῃ τὸν κτίστην
ὁρῶν ὁ Ἰωάννης
ἐλθόντα βαπτισθῆναι ὑπ᾽ αὐτοῦ,
φόβῳ τρομάσας, ἐκραύγασε·
160 « σὺ Θεὸς καὶ δεσπότης,
αὐτός με μᾶλλον βάπτισον, σωτήρ,
ἵνα πάντες σε ὕμνοις
ἀπαύστως μεγαλύνουσιν ».

Ὁ πλαστουργὸς πρὸς τὸ κτίσμα·
165 « τῷ φρικτῷ μυστηρίῳ
συνᾴδων, μὴ σαλπίσῃς με, » βοᾷ
« δεῖ με τυχεῖν τοῦ βαπτίσματος·
ἐν αὐτῷ γὰρ τὸν κόσμον
ἀποκαθᾶραι βούλομαι φθορᾶς,
170 ἵνα πάντες με ὕμνοις
ἀπαύστως μεγαλύνουσιν ».

Ὁ Βαπτιστὴς τῷ σωτῆρι·
« πῶς ἐκτείνω τὴν χεῖρα
καὶ θήσω τῇ ἀχράντῳ κορυφῇ,
175 ὅπου τὸ πῦρ τῆς θεότητος;
μὴ ἐκφύγῃ τὸ ῥεῖθρον·
κἀγὼ ὡς δοῦλος πρόσταγμα πληρῶ,
ἵνα πάντες σε ὕμνοις
ἀπαύστως μεγαλύνουσιν ».

180 Αἱ στρατιαὶ τῶν ἀγγέλων
ὑπὸ δούλου ὁρῶσαι
τὸν κτίστην βαπτιζόμενον χειρός,
ἔφριξαν τούτου τὴν κένωσιν·

---

heirm. θ′ EE 34, n. 46, Joannis 159 τρομάξας Mf Σα ἐκραύγαζεν Mf 161 αὐτός με] καὶ σύ με Mf σύ με οὖν Σα 163 μεγαλύνουσιν Cg Mf pro μεγαλύνωσιν (cfr. vv. 171 et 179) μεγαλύνομεν Σα 173 χεῖρα μου Cg 174 καὶ θήσω] νῦν θεῖναι Σα θῆναι Cg 177 πληρῶν Mf 179 μεγαλύνομεν Σα 180-187 troparium om. Mf

f. 95 πῶς ὁ ἄ||ναρχος Λόγος
185 ἐν τῇ τοῦ δούλου γέγονε μορφῇ·
μεθ' ὧν σε τὸν σωτῆρα
ἀπαύστως μεγαλύνομεν.

θεοτ. * Ἐν τῇ γαστρί σου σκηνώσας
ἐκ γαστρὸς πρὸ αἰώνων
190 πατὴρ ὅνπερ ἐγέννησεν υἱόν,
τέλειος γέγονεν ἄνθρωπος
καὶ πηγὴν χαρισμάτων
σέ, θεομῆτορ, ἔδειξεν ἡμῖν
τοῖς πιστῶς προσκυνοῦσι
195 τὴν ἄφραστόν σου κύησιν.

188-195 θεοτ. MR III, 443; diversum in Mf, vide p. 160 195 κύησιν] γέννησιν MR

7 IAN *CANON* XV (2)

IN OCTAVAM EPIPHANIAE

Mess. gr. 136 = Mf, ff. 17-21v
Crypt. Δ.α. XV = Cg, ff. 88-95
Sinait. gr. 598 = Σα, ff. 48-49v

Ὁ κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*

1-7 Ὁ δι' ἡμᾶς
f. 17v .... = Cg 1-7

8-14 Δεῦτε πηγὴν
.... = Cg 8-14

15-21 Ὕδωρ ἡμῖν
.... = Cg 15-21

θεοτ. * Τίς ἐξειπεῖν
σοῦ κατ' ἀξίαν δυνήσεται
τὴν ὑπὲρ λόγον σύλληψιν;
25 Θεὸν γὰρ τέτοκας
ἐν σαρκί, παναγία,
ἡμῖν ἐπιφανέντα,
σωτῆρα πάντων ἡμῶν.

---

heirm. α' EE 37, n. 51, Cosmae 22-28 θεοτ. MR III, 13

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

29-34 Τὰ ῥεῖθρά σε, Χριστέ,

f. 18 .... = Cg 22-27

35-40 Εὐφραίνουσι, Χριστέ,

.... = Cg 28-33

41-46 Ὁ λόγος τῇ φωνῇ

.... = Cg 34-39

θεοτ. * Ἀσπόρως ἐν γαστρὶ
Θεὸν συνέλαβες
καὶ τίκτεις
50 ἀφράστως σεσαρκωμένον,
εἰς ὃν βλέπειν οὐ τολμῶσιν, ἁγνή,
οὐρανῶν αἱ δυνάμεις, ἀειπάρθενε.

ᾠδὴ δ'. *Ἐξ ὄρους ἄνευ χειρὸς*

53-58 Ἐβόα ὁ Βαπτιστής·

f. 18v .... = Cg 40-45

59-64 « Πληρῶσαι πᾶσαν ὑμῖν

.... = Cg 46-51

65-70 Ἐκτείνας ὁ Βαπτιστὴς

.... = Cg 52-57

θεοτ. Σὲ βάτον Μωσῆς ποτὲ
πυρπολουμένην, ἀμίαντε,
προεθεάσατο·
καὶ γὰρ δεξαμένη ἐν γαστρὶ οὐ κατεφλέχθης
f. 19 75 τὴν τῆς θεότητος ‖ φλόγα τὴν ἄστεκτον,
ἣν ἀκαταπαύστως δοξάζομεν.

---

heirm. γ' EE 39, n. 53, Cosmae 47-52 θεοτ. MR III,14 heirm. δ' EE 39, n. 53, Cosmae 59 Πληρῶσας Cg 71-76 θεοτ. quamquam similis altero θεοτ. (cfr. p. 148 vv. 58-63) videtur, tamen in versibus varie verba disposita sunt

---

71-73 Ex. 3,2

ᾠδὴ ε'. *Τῆς νυκτὸς διελθούσης,*
ἤγγικεν ἡ ἡμέρα
καὶ τὸ φῶς τοῦ κόσμου ἐπέλαμψε·
διὰ τοῦτο ὑμνοῦσι
5 *τάγματα ἀγγέλων*
καὶ δοξολογοῦσι τὰ σύμπαντα.

77-82 Τῆς νυκτὸς διελθούσης,

.... = Cg 64-69

83-88 Ἰωάννης ἐβόα,

.... = Cg 70-75

89-94 Ἐβαπτίσθης ἐν ῥείθροις

f. 19v .... = Cg 76-81

θεοτ. Τὸν ἐκ σοῦ σαρκωθέντα
ἀφράστως σωτῆρα,
μήτηρ καὶ παρθένε, ἱκέτευε
λυτρωθῆναι κινδύνων
ἀνθρώπων τὸ γένος
100 τῶν ἀκαταπαύστως ὑμνούντων σε.

ᾠδὴ ς'. *Ἄβυσσος ἁμαρτημάτων*
ἐκύκλωσέ με ἐσχάτη,
ἀλλ' ὡς τὸν προφήτην Ἰωνᾶν,
κύριε, κύριε, ἀνάγαγε
5 *ἐκ φθορᾶς τὴν ζωήν μου.*

101-105 Ἔφλεξας πυρὶ τῷ θείῳ

.... = Cg 88-92

---

heirm. ε' EE 41, n. 55, Joannis; heirm. integer in Mf invenitur heirm. 3 τῷ κόσμῳ EE 4 ὑμνεῖ σε EE 6 καὶ δοξολογεῖ σε τὰ πέρατα EE 89 Βαπτισθεὶς ἐν τοῖς ῥείθροις Cg Σα

heirm. ς' EE 44, n. 59, Germani; heirm. integrum Mf tradit heirm. 4 ἀνάγαγε, Κύριε, EE

106-110 Ἄναρχος υἱὸς ὑψίστου
.... = Cg 93-97

θεοτ. Ἅπαντες σὺν τῷ ἀγγέλῳ,
πανύμνητε θεοτόκε,
f. 20 χαιρετίζομέν σε ‖ πιστῶς·
χαρὰν γὰρ ἐγέννησας, ἀνύμφευτε,
115 τὸν Χριστὸν ἀπειράνδρως.

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Τοὺς οἰκτιρμούς σου, ὁ Θεός,
δυσωπούμενος,
τὸ πλανηθὲν ἀπολωλὸς ἐπεζήτησας
διὰ σπλάγχνα ἐλέους σου, φιλάνθρωπε·
5 ὅθεν παραγέγονας ἐπὶ τὸν Ἰορδάνην
γνωρίσας τὸ μυστήριον
τῆς ἁγίας τριάδος·
ὃν ἀνυμνοῦντες κράζομεν, πιστοί·
« ἦλθες, ἐφάνης,
10 τὸ φῶς τὸ ἀπρόσιτον ».

ᾠδὴ ζ'. *Ὁ τὴν κάμινον πάλαι*

116-121 Ὁ χειρὶ τοῦ Προδρόμου
.... = Cg 108-113

f. 20v ‖ Ὁ συντρίψας ἐν ῥείθροις
κεφαλὰς τῶν δρακόντων,
ὁ τὸν ἐχθρὸν καταργήσας
125 καὶ εἰρήνην βραβεύσας,
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

---

heirm. καθ. HR 29 heirm. ζ' EE 44, n. 59, Germani 126 post εἶ orat. abrumpitur

---

111-113 cfr. Luc. 1,28

θεοτ. Ὁ ἐν μήτρᾳ οἰκήσας
καὶ τεχθεὶς ἐκ παρθένου,
130 ὁ τὸ φῶς ἀνατείλας
καὶ τὸν κόσμον φωτίσας
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

ᾠδὴ η'. *Πάντα τὰ ἔργα κυρίου,*
εὐλογεῖτε τὸν κύριον· ἱερεῖς καὶ δοῦλοι,
μετὰ τῶν ἀσωμάτων
ὑμνεῖτε κύριον
5 *καὶ ὑπερυψοῦτε*
αὐτὸν εἰς τοὺς αἰῶνας.

Χριστόν, τὸν ὑποκλίναντα
135 κορυφὴν τῷ Προδρόμῳ διὰ τὸν ἐκβληθέντα
ἐκ παραδείσου,
ὑμνεῖτε κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

140 Χριστόν, τὸν ὑποκλίναντα
τῷ γένει τῶν ἀνθρώπων καὶ φωτίσαντα κόσμον
τὸν πρὶν ἐσκοτισμένον,
ὑμνεῖτε κύριον
καὶ ὑπερυψοῦτε
145 αὐτὸν εἰς τοὺς αἰῶνας.

Χριστόν, τὸν μαρτυρηθέντα
f. 21 τῇ φωνῇ τῇ πατρῴᾳ καὶ τῇ τοῦ παρα‖κλήτου
σεπτῇ ἐπιφανείᾳ,
ὑμνεῖτε κύριον
150 καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

---

aliam oden η' in Cg Σα invenies heirm. η' etiamsi similis pateat (cfr. EE 43, n. 57), discrepante tamen metro profertur 138.144.150 post ὑπερυψοῦτε orat. abrumpitur

θεοτ.

Πάντα τὰ ἔργα κυρίου
εὐλογεῖτε τὸν κύριον τὸν ἀσπόρως τεχθέντα
μητρὸς ἐκ τῆς παρθένου,
155 ὑμνεῖτε κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

158-165 Ἐν Ἰορδάνῃ τὸν κτίστην
.... = Cg 156-163

166-173 Ὁ πλαστουργὸς πρὸς τὸ κτίσμα
.... = Cg 164-171

f. 21ᵛ 174-181 Ὁ Βαπτιστὴς τῷ σωτῆρι
.... = Cg 172-179

θεοτ.

Σεσαρκωμένον τὸν Λόγον
τὸν πρὶν ἄναρχον ὄντα
τῇ φύσει τῆς θεότητος ἡμῖν
185 ἔτεκες, μήτηρ ἀνύμφευτε,
μετὰ τόκον παρθένος
ὡς πρὸ τοῦ τόκου μείνασα ἁγνή·
διὸ πάντες σε ὕμνοις
ἀπαύστως μεγαλύνομεν.

---

heirm. θ' EE 34, n. 46, Joannis
155 post κύριον orat. detruncatur

IN OCTAVAM EPIPHANIAE

Sinait. gr. 598 = Σα, ff. 48-49ᵛ
Crypt. Δ.α. XV = Cg, ff. 88-95
Mess. gr. 136 = Mf, 17-21ᵛ

Ὁ κανών· ποίημα Ἰωάννου.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*

1-7 Δεῦτε πηγὴν
.... = Cg 8-14

8-14 Ὁ δι' ἡμᾶς
.... = Cg 1-7

15-21 Ὕδωρ ἡμῖν
.... = Cg 15-21

θεοτ. 22-28 * Τίς ἐξειπεῖν
.... = Mf 22-28

ᾠδὴ γ'. Στερέωσον ἡμᾶς

29-34 Τὰ ῥεῖθρά σε, Χριστέ,
.... = Cg 22-27

35-40 Εὐφραίνουσι, Χριστέ,
.... = Cg 28-33

---

heirm. α' EE 37, n. 51, Cosmae
heirm. γ' EE 39, n. 53, Cosmae

41-46 Ὁ λόγος τῇ φωνῇ
.... = Cg 34-39

θεοτ. 47-52 * Ἀσπόρως ἐν γαστρὶ
.... = Mf 47-52

f. 48v ‖ ᾠδὴ δ΄. *Ἐξ ὄρους ἄνευ χειρὸς*

53-58 Ἐβόα ὁ Βαπτιστής·
.... = Cg 40-45

59-64 Ἐκτείνας ὁ Βαπτιστὴς
.... = Cg 52-57

65-70 « Πληρῶσαι πᾶσαν ὑμῖν
.... = Cg 46-51

θεοτ. 71-76 Σὲ βάτον πάλαι Μωσῆς
.... = Cg 58-63

ᾠδὴ ε΄. *Τῆς νυκτὸς διελθούσης*

77-82 Τῆς νυκτὸς διελθούσης,
.... = Cg 64-69

83-88 Ἰωάννης ἐβόα
.... = Cg 70-75

89-94 Βαπτισθεὶς ἐν τοῖς ῥείθροις
.... = Cg 76-81

θεοτ. 95-100 Ἀπειρόγαμε μήτηρ
.... = Cg 82-87

47-52 θεοτ. MR III, 14
heirm. δ΄ EE 39, n. 53, Cosmae   65 Πληρῶσας Cg   71 ὁ μωσῆς Cg
heirm. ε΄ EE 41, n. 55, Joannis   89 Ἐβαπτίσθης ἐν ῥείθροις Mf
95 μῆτερ Cg

ᾠδὴ ς΄. *Ἄβυσσος ἁμαρτημάτων*

Ἄσαρκος ὁ πρῴην δράκων
οἰηθεὶς τὸν Ἰορδάνην
δέχεσθαι ἐν στόματι αὐτοῦ,
αὐτῷ νῦν βεβύθισται χωρήσαντι
105 τὸν ἀχώρητον Λόγον.

f. 49 ‖ Ἄβυσσον περίπατον
ὁ λογισάμενος αὐθάδης,
ἐν μικραῖς ἐδείχθη προχοαῖς
νῦν ὑποβρύχιος τὸ πέλαγος
110 τῆς ζωῆς δεξαμένων.

Θάλασσαν ὥσπερ ἐξάλειπτρον
ἡγούμενος ὁ Βελίαρ,
νῦν ἐν ἐλαχίστῳ ποταμῷ
γῆς ἐξαλείφεται καλύψαντι
115 τὴν ἁπάντων γαλήνην.

θεοτ. Ἔτεκες σεσαρκωμένον
Θεόν, πανύμνητε κόρη,
τὸν ἐν Ἰορδάνῃ ποταμῷ
πάντων τὰ πταίσματα χωνεύσαντα
120 τῶν πιστῶς σε ὑμνούντων.

ᾠδὴ ζ΄. *Ὁ τὴν κάμινον πάλαι*

121-126 Ὁ ἐν μήτρᾳ οἰκήσας
.... = Mf 128-133

127-132 Ὁ τὸν πάλαι πεσόντα
.... = Cg 114-119

---

heirm. ς΄ EE 44, n. 59, Germani   104 χωρέσαντι cd.
heirm. ζ΄ EE 44, n. 59, Germani

106-107 Job 41,24   111-112 Job 41,23

ᾠδὴ η′. *Τὸν διὰ λόγου τεχθέντα*

133-137 Τὸν βαπτισθέντα ἐν ῥείθροις

.... = Cg 131-135

138-142 Τὸν ἁγιάσαντα φύσιν

.... = Cg 136-140

143-147 Ὑπὸ πατρὸς οὐρανόθεν

.... = Cg 141-145

θεοτ. 148-152 Τὸν σαρκωθέντα ἀσπόρως

.... = Cg 151-155

ᾠδὴ θ′. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

153-160 Ἐν Ἰορδάνῃ τὸν κτίστην

.... = Cg 156-163

161-168 Ὁ πλαστουργὸς πρὸς τὸ κτίσμα

.... = Cg 164-171

169-176 Ὁ Βαπτιστὴς τῷ σωτῆρι·

.... = Cg 172-179

f. 49v θεοτ. * Νύμφη καὶ μήτηρ παρθένε,
τῶν ἀγγέλων τὰ πλήθη
τὸν σὸν καθικετεύουσιν υἱόν·
180 δέξαι, ἡ μόνη ἐλπὶς τῶν πιστῶν,
καὶ εἰρήνην τῷ κόσμῳ,
νίκας τῷ φιλοχρίστῳ βασιλεῖ
καὶ ἡμῖν σωτηρίαν
τοῖς σὲ ποθοῦσι δώρησαι.

---

heirm. η′ ineditus videtur 143 Ὑπὸ] Τὸν ἐκ Cg
heirm. θ′ EE 34, n. 46, Joannis 177-184 θεοτ. AHG VII, 126
184 ποθοῦσι] τιμῶσι AHG VII; idem θεοτ. conferre potes cum MR II, 71

IN SS. JULIANUM ET BASILISSAM

Synaxarium, 375-377: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ καὶ Βασιλίσσης καὶ τῶν σὺν αὐτοῖς τελειωθέντων. Οὗτος ἦν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Μαρκιανοῦ ἡγεμόνος ἐν Ἀντινοουπόλει τῆς Αἰγύπτου. Ὃς τὴν νομίμως συναφθεῖσαν εἰς γυναῖκα Βασίλισσαν ἔπεισεν ἐν ἁγνείᾳ διαμένειν· ἣν ἐν μοναστηρίῳ γυναικῶν ἀποκείρας, καὶ αὐτὸς οὗτος ἐν μοναστηρίῳ ἐμόνασε κειράμενος· ἡγεῖτο δὲ ἀνδρῶν ὡσεὶ χιλιάδων δύο. Κατασχεθεὶς δὲ καὶ τὸν Χριστὸν μὴ ἀρνησάμενος, ἀλλὰ καὶ μυκτηρίσας τὰ εἴδωλα, εἰς θυμὸν καὶ ὀργὴν τὸν ἡγεμόνα κινεῖ· ὃς παραυτίκα τὸ μοναστήριον αὐτῶν πυρπολεῖ, ἐν ᾧ κατεκαύθησαν πάντες οἱ ἐκεῖσε προσφυγόντες ἐπίσκοποι καὶ ἱερεῖς καὶ λοιποὶ κληρικοὶ τῆς χώρας· καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία. Ὁ δὲ ἅγιος Ἰουλιανὸς ἐπ' ἐδάφους ἀπλωθεὶς τύπτεται καὶ σιδηροῖς δεσμοῖς ἐνειληθεὶς συντρίβεται τὰ ὀστᾶ. Ὅτε καὶ εἷς τῶν ὑπηρετῶν ἐκκοπεὶς τὸν ὀφθαλμόν, πιστεύσας καὶ ἰαθεὶς παρὰ τοῦ μάρτυρος τὴν κεφαλὴν ἀφαιρεῖται. Καὶ Κέλσιος, ὁ τοῦ ἡγεμόνος παῖς μετὰ εἴκοσι στρατιωτῶν ἐπίστευσεν εἰς τὸν Χριστόν, ἐπεὶ εἶδον νεκρὸν διὰ προσευχῆς τοῦ ἁγίου ἀναστάντα. Διὰ τοῦτο κελεύσει τοῦ ἡγεμόνος πρῶτον μὲν φρουροῦνται, εἶτα ἐν λέβησι πεπυρωμένοις ῥιπτοῦνται ἅμα καὶ τοῖς ἑπτὰ υἱοῖς τοῦ ἄρχοντος, τοῖς ἤδη πιστεύσασι, καὶ τῷ πρεσβυτέρῳ Ἀντωνίῳ καὶ τῷ Ἀναστασίῳ τῷ ἐκ νεκρῶν ἀναστάντι. Ἐπεὶ δὲ ἀβλαβεῖς ἐξῆλθον χάριτι Χριστοῦ, πολλοὶ ἐπίστευσαν τότε, ἅμα καὶ τῇ μητρὶ Κελσίου....,

Ἀχθέντες δὲ οἱ ἅγιοι φακέλοις παπύρων, διαβρόχων ἐλαίῳ τὰ ἄκρα τῶν χειρῶν καὶ τῶν ποδῶν προσδεθέντες ἀνήφθησαν. Ἐπεὶ δὲ οὐκ ἐλυμήνατο αὐτοὺς τὸ πῦρ, τοῦ ἁγίου Ἰουλιανοῦ καὶ τοῦ παιδὸς Κελσίου τὸ δέρμα τῆς κεφαλῆς ἀπέσυραν, τοὺς δὲ ὀφθαλμοὺς τοῦ πρεσβυτέρου Ἀντωνίου ὀγκίνοις ἐξώρυξαν, τὴν δὲ μητέρα Κελσίου ἀπηώρησαν. Μετὰ ταῦτα δὲ θηρίοις τοὺς ἁγίους παρέδωκαν· κἀκεῖθεν οἱ μακάριοι ἀπήμαντοι διαφυλαχθέντες, ξίφει τὰς κεφαλὰς ἐτμήθησαν· καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία.....

Crypt. Δ.α. XV = Cg, ff. 88-95v
Crypt. Δ.α. V = Ch, ff. 50-53

Ὁ κανών· ποίημα Ἀνδρέου.

Ἦχος δ′.

ᾠδὴ α′. *Ἅρματα Φαραὼ*
καὶ τὴν δύναμιν αὐτῶν

Χθὲς ἡμᾶς ὁ Χριστὸς
τῇ τῶν Φώτων ἑορτῇ

---

tit. Ἕτερος κανὼν τῶν μαρτύρων ... Cg Τῇ ἑσπέρα κανὼν τῶν ἁγίων ιουλιανοῦ καὶ βασιλίσσης Ch ποίημα Ἀνδρέου om. Ch
heirm. α′ EE 104, n. 147, Andreae

ἄκρως κατελάμπρυνε
φωτοφανείας πληρώσας·
5 Ἰουλιανὸς δὲ σήμερον
ὁ θαυμαστὸς συγκαλεῖται ἡμᾶς.

Χθὲς ἡ μήτηρ ἡμῶν,
κολυμβήθρᾳ τὰ αὐτῆς
τέκνα ἀποτέξασα,
10 ὥσπερ ἀστέρας δεικνύει·
Ἰουλιανὸς δὲ σήμερον
ὥσπερ ἀστὴρ ἀνατέλλει ἡμῖν.

Χθὲς τὰ αἴσχη ἡμῶν
καὶ τὰ τραύματα Χριστὸς
15 δύσας τῷ βαπτίσματι,
ἡλιομόρφους δεικνύει·
Ἰουλιανὸς δὲ σήμερον
καταλαμπρύνει τοῖς μώλωψιν.

f. 88ᵛ ‖ Δεῦτε, πάντες λαοί,
20 σὺν τῷ Ἰουλιανῷ
Βασίλισσαν στέψωμεν
ἐν ἐγκωμίοις καὶ ὕμνοις,
ὅτι τὰ φθαρτὰ μισήσαντες
Χριστὸν ἀεὶ ἐπεπόθησαν.

25 Ἄθροισμα ἱερὸν
καὶ ἀοίδιμε πληθύς,
ὁμήγυρις ἔνδοξε,
ὦ ἀθλοφόροι κυρίου,
ῥύσασθε φθορᾶς καὶ θλίψεως
30 τοὺς ἀνυμνοῦντας τοὺς ἄθλους ὑμῶν.

θεοτ. Ἔτεκες ἀληθῶς
τὸν ὑπέρθεον σαρκί,
θεόπαις πανάμωμε,
ὃν δυσωποῦσα μὴ παύσῃ
35 ὑπὲρ τῶν ὑμνούντων σε ἐκτενῶς
καὶ δοξαζόντων ἐν ᾄσμασιν.

13-18 troparium deest in Ch 26 ἀοίδιμοι Cg 27 ἔνδοξοι Cg 28 ὦ om. Cg 36 καὶ θεοτόκον δοξάζοντας Cg

ᾠδὴ β'. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

Ἅπαντες οἱ πιστοὶ φωτισθέντες,
υἱοθεσίας ἐνδύσασθε χάρισμα.

Προσῆλθεν ἐν Ἰορδάνῃ ὁ κτίστης,
40 ἀνακαινίσας ἡμᾶς ἐν τῷ ὕδατι.

Ὑπέκλινας κεφαλὴν τῷ Προδρόμῳ,
ἵνα ὑψώσῃς, σωτήρ, τὸ ἀνθρώπινον.

Πῶς, Ἰουλιανὲ θεοφόρε,
τοὺς ἱερούς σου ἀγῶνας τιμήσωμεν;

45 Ἔχει σε καὶ μαρτύρων ἡ φάλαγξ
ἀνδρείας στήλην καὶ θείαν ἀκρότητα.

Βασίλισσαν, τὴν ἁγίαν παρθένον,
οἱ συνελθόντες πιστῶς εὐφημήσωμεν.

Κύριε, ταῖς εὐχαῖς Βασιλίσσης
50 σῶσον ἡμᾶς τοὺς ἀεὶ προσκυνοῦντάς σε.

θεοτ. Ἄχραντε θεοτόκε παρθένε,
ὑπὲρ ἡμῶν τὸν σωτῆρα ἱκέτευε.

f. 89 ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων Λόγος
μορφοῦται τὸ ἀλλότριον
55 καὶ ἀναμόρφωσιν τοῖς πιστοῖς
καινοτέραν ἀπεργάζει,
τὴν ἐκ πυρὸς καὶ ὕδατος
καὶ πνεύματος ἀνάπλασιν.

---

heirm. β' deest in EE, sed sine musicis notis invenitur in Heirm. Crypt. E. γ. II f. 83; eisdem verbis in EE 44, n. 59; 168, n. 236 heirm. datur, sed ad ἦχ. β' et ἦχ. πλ. β' pertinens 41-42 troparium deest in Ch 45-46 troparium desideratur in Ch 45 φάλαξ Cg 49-50 troparium om. Ch
heirm. γ' EE 104, n. 147, Andreae 58 ἀνάπλασιν] γέννησιν Ch

Φράσον ἡμῖν τὴν ἔλλαμψιν ἐκείνην,
60 ἣν ἐθεάσω, ἔνδοξε,
ἐν τῷ νυμφῶνί σου τῷ σεπτῷ,
Ἰουλιανὲ θεόφρον,
καὶ τὴν φρικτὴν ἐπέλευσιν
τοῦ κτίστου καὶ τῆς τούτου μητρός.

65 Ἐγὼ μὲν δόξαν εἶδον ἐπελθοῦσαν
φαιδρὰν ἐν τῷ νυμφῶνί μου,
τὸν βασιλέα δὲ Ἰησοῦν
μετὰ πλήθους ἀρχαγγέλων
τοῖς τῆς ἁγνείας στέμμασι
70 τὰς κάρας ἡμῶν στέψαντα.

Τῶν μυστηρίων τούτων ἠξιώθης·
μακαριοῦμεν, πάνσοφε,
τῶν ἐκ σπαργάνων σου ἀρετῶν,
f. 89v || Ἰουλιανὲ θεόφρον,
75 καὶ τὴν πιστήν σου σύζυγον,
Βασίλισσαν τὴν πάνσεπτον.

Τῆς θείας δόξης ταύτης μυημένος
σοφῶς καὶ τὸ μαρτύριον
τῆς συνειδήσεώς σου, σοφέ,
80 ἐν αὐτῇ ἀποκαθάρας,
τοῖς τοῦ Χριστοῦ σου πάθεσι
προθύμως ἐκοινώνησας.

Ἐπώνυμε τῆς ἄνω βασιλείας,
Βασίλισσα θεόκλητε,
85 μὴ διαλείπῃς ὑπὲρ ἡμῶν

65-70 troparium desideratur in Cg 68 πλῆθος Ch 71-82 troparia desunt in Ch 77 μυημένος cd. pro μεμυημένος

59-70 Passio e cd. Vat. gr. 1667, ff. 183v-184: Καὶ ἰδοὺ ἐξαίφνης οἱ θεμέλιοι τοῦ κοιτῶνος ἐκινήθησαν καὶ φῶς ἀνεκδιήγηταν ἐξέλαμψεν, ὥστε τὸ ἐν τῷ οἴκῳ φῶς τῷ μεγέθει ἐκείνου τοῦ φωτὸς καλυφθῆναι..... Γίνεται τοίνυν ἐν τῷ κοιτῶνι θέαμα μέγιστον, πνευματικόν· ἐξ ἑνὸς μέρους ἐκάθητο ὁ αἰώνιος βασιλεὺς Χριστὸς μετὰ ἀναριθμήτου πλήθους λευχειμονούντων καὶ ἐκ τοῦ ἑτέρου μέρους ἀναρίθμητα πλήθη παρθένων, ὧν τὰ πρωτεῖα ἡ ἔνδοξος Μαρία ἡ παρθένος ἐκράτει..... Καὶ παραγενόμενοι δύο τινὲς λευκὰ ἐνδεδυμένοι, περὶ τὰ στήθη ἔχοντες χρυσᾶς ζώνας καὶ ἀνὰ ἕνα στέφανον ἐν ταῖς χερσίν, ἤγειραν αὐτοὺς λέγοντες· « ἐγείρεσθε, ἐπειδὴ ἐνικήσατε καὶ ἐν τῷ ἡμετέρῳ ἀριθμῷ κατελογίσθητε...

τῶν ἐν πόθῳ σε τιμώντων
ἐκδυσωποῦσα κύριον
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

θεοτ. Ῥήμασι καθαροῖς, ἁγνὴ παρθένε,
90 πηλίνοις δὲ τοῖς στόμασι
δοξολογοῦμεν οἱ γηγενεῖς,
ἀλλ' αἰτοῦμέν σε ἀπαύστως·
ἐν τῷ καιρῷ τῆς κρίσεως
ἱκέτευε σωθῆναι ἡμᾶς.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ὑμνοῦμέν σου τὴν ἄθλησιν,
Ἰουλιανέ, μυστικῶς,
τιμῶμεν καὶ τὴν κοίμησιν,
ὁσιομάρτυς, τὴν σὴν
5 ἀξίως ἐν ᾄσμασιν·
ᾔσχυνας γὰρ τὸ θράσος
τοῦ ἐχθροῦ, μεγαλόφρον,
νίκην δὲ οὐρανόθεν
ἐκ Θεοῦ ἐκομίσω
10 πρεσβείαν ποιούμενος
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

f. 90v || ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην,
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην·
5 *δόξα τῇ δυνάμει σου, κύριε.*

95 Τὴν πατρῴαν σου ὕπαρξιν
καλῶς διεῖλες τοῖς δεομένοις,

heirm. καθ. HR 63 4 ὁσιομάκαρ Ch
heirm. δ' EE 107, n. 150, Andreae; heirm. integrum praebet Ch
heirm. 5 δόξα, Κύριε, τῇ δυνάμει σου EE 96 διεῖλας Cg

95-99 cfr. Marc. 10,21; Luc. 18,22

ἐντολήν, σοφέ, τοῦ κτίστου σου
ἐκπληρώσας
πίστει καὶ αὐτῷ ἠκολούθησας.

100 Τῷ μοδίῳ τὸν λύχνον σου
κρυβῆναι, μάρτυς, οὐκ ἠβουλήθης,
τῇ λυχνίᾳ δὲ τὸν βίον σου
θεὶς καὶ τοῦτον
πᾶσι τοῖς πιστοῖς συνεξέλαμψας.

105 Δι' ἀσκήσεως ἔλαμψας
καὶ δι' ἀθλήσεως ἐδοξάσθης
καὶ δι' ἄμφω τὰ οὐράνια
ἐκληρώσω,
μάρτυς, τοῖς ἐκεῖ συγχορεύων ἀεί.

110 Συνελήφθης σὺ δέσμιος
καὶ ὡς ἀρνίον ἤχθης τυθῆναι,
τοὺς δὲ ἕλκοντάς σε ἔφερες,
θεομάρτυς,
χαίρων καὶ ἐρῶν τὸν ποθούμενον.

115 Τὸν στερρὸν Ἰουλιανὸν
σὺν Βασιλίσσῃ τῇ θείᾳ κόρῃ
δεῦτε πάντες ἀνυμνήσωμεν,
εὐφημοῦντες
Κέλσιον καὶ τοὺς τούτου συμμάρτυρας.

θεοτ. 120 Ἀπειρόγαμε δέσποινα,
ἡ τὸν ἀχώρητον Θεὸν Λόγον
ἐν γαστρί σου σωματώσασα
καὶ τεκοῦσα,
πρέσβευε ἐκτενῶς τοῦ σωθῆναι ἡμᾶς.

100-104 troparium om. Ch 114 ἐρῶν] αἰῶν Ch 119 τούτους Cg
121 Θεὸν] θεῖον Cg 124 πρέσβευε σωθῆναι τοὺς δούλους σου Ch

100-104 cfr. Matth. 5,15; Luc. 11,33

ᾠδὴ ε'. *Ὄρθρον φαεινὸν ἡμῖν*

125 Χθὲς τὸ τοῦ βαπτίσματος
φῶς κατηύγασε
πάντας ἡμᾶς
καὶ ὁ θεῖος οὗτος μάρτυς τοῖς στίγμασι
σήμερον εὔφρανεν.

130 Ἰουλιανὸς ἡμᾶς
συνεκάλεσεν
ὁ θαυμαστὸς
τοῦ θεάσασθαι αὐτοῦ τὰ πανάρετα
θεῖα παλαίσματα.

135 Ἀληθῶς μυρίανδρον,
πολυάνδριον
ὤφθη τὸ πῦρ
τὸ συμφλέξαν τὴν ἐκεῖσε ὁμήγυριν,
Χριστέ, τῶν μαρτύρων σου.

140 Βασίλισσα ἔνδοξε,
εὐφημοῦμέν σε
σὺν τῷ σοφῷ
ὁμοζύγῳ σου, τιμῶντες καὶ Κέλσιον
σὺν τῇ πιστῇ μητρὶ αὐτοῦ.

91v θεοτ. || Τὸν κάτω ἀπάτορα
146 καὶ ἀμήτορα
ἐν οὐρανοῖς
σαρκωθέντα ἡμῖν τέτοκας, πάναγνε,
Χριστὸν τὸν Θεὸν ἡμῶν.

---

heirm. ε' EE 107, n. 150, Andreae; heirm. integer in Ch 135-139 in Ch aliud troparium: Τὸ θεῖόν σου ποίμνιον, / ὃ κεκλήρωσαι / παρὰ Χριστοῦ, / προκατήρτισας, σοφέ, καὶ προέπεμψας / θῦμα τῷ κτίστῃ σου. 144 πιστῇ om. Ch

ᾠδὴ ς'. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

150 Θώρακα
τὸν σταυρὸν περιεφράξω,
ὡπλίσθης δὲ πάντοθεν,
Ἰουλιανὲ θεόφρον,
f. 92 κατ' ἐχθρῶν ‖ τῶν ἐντός σου καὶ ἐκτός,
155 τούτους ἀπονεκρώσας
τῇ ἀσφαλεῖ καρτερίᾳ σου.

Ἔχαιρες
αἰκιζόμενος τὸ σῶμα
καὶ πικρῶς ξεόμενος
160 οὐκ ἔπτηξας, καρτερόφρον,
συναλλάγματα λέγων τῆς ἐκεῖ
ἔσεσθαι βασιλείας
τὰ πρὸς ὀλίγον ἀλγήματα.

Ἀξίως
165 ἐκ τῶν σὲ τεκόντων, κόρη,
Βασίλισσα κέκλησαι·
ἔδει γάρ σε βασιλεύειν·
αὐτοφυές σου τὸ ὄνομα, σεμνή·
διὸ ὁ βασιλεύς σου
170 Χριστὸς ἐνδόξως σε ἔστεψεν.

Κέλσιον
τὸν ἀοίδιμον ὁπλίτην
ἅμα τῇ μητρὶ αὐτοῦ,
θυγάτηρ μὲν κατὰ πνεῦμα,
175 μάρτυς δὲ γενναία φανεῖσα τῇ ψυχῇ,
τιμήσωμεν συμφώνως
οἱ συνελθόντες τῷ οἴκῳ αὐτῶν.

θεοτ. Ἄνανδρε
μητροπάρθενε ἁγία,

---

heirm. ς' EE 107, n. 150, Andreae 168 αὐτοφυεῖ σου τὸ ὄνομα πέλει Cg
171-177 troparium deest in Ch

180 εἰπέ· πῶς ἐγέννησας
ἀσπόρως τὸν πάντων κτίστην;
« καθὼς οἶδε » φησὶν ἡ Μαριάμ
« σαρκοῦται καὶ γεννᾶται
ὡς ἀγαθός, ἵνα σώσῃ ἡμᾶς ».

Κοντάκιον.

Ἦχος β'. *Ἡλιοῦ ἐμιμήσω*

Τῶν παθῶν τὰς αἰκίσεις περικρατοῦντες
καὶ Χριστὸν τῇ ἀθλήσει ἐπιποθοῦντες,
τοῦ μαρτυρίου πιόντες ποτήριον,
τῆς βασιλείας τὸ στέφος ἐδέξασθε,
5 Ἰουλιανὲ καὶ Βασίλισσα,
αὐτὸν ὑπὲρ ἡμῶν
ἀπαύστως πρεσβεύσατε.

f. 93 ᾠδὴ ζ'. *Τὸν ἐν καμίνῳ τοὺς παῖδας*
ἀφλέκτους φυλάξαντα
καὶ τὸ πῦρ κατασβέσαντα
ὑμνήσωμεν λέγοντες·
5 *« εὐλογητὸς εἶ, κύριε,*
ὁ Θεὸς τῶν πατέρων,
εἰς πάντας τοὺς αἰῶνας ».

185 Τοὺς νοητοὺς σὺ καθεῖλες
ἐχθροὺς τῇ ἀσκήσει σου
καὶ τὸν τύραννον ᾔσχυνας,
σοφέ, τῇ ἀθλήσει σου
καὶ τὰ βραβεῖα εἴληφας
190 ἐκ χειρὸς τοῦ δεσπότου,
δυὰς πανσεβάσμιε.

κοντάκ. om. Ch heirm. κοντακ. HC 316
heirm. ζ' EE 101, n. 143, Cosmae; textum heirm. integrum Ch tradit heirm. 2 φυλάξαντα] τηρήσαντα EE 185 σὺ] σου Cg καθεῖλας Cg (cfr. v. 96)

Ἐξ ἀκανθῶν ὥσπερ ῥόδον
ἐδρέψω, ἀοίδιμε,
τοῦ τυράννου τὸν φίλτατον
195 υἱὸν καὶ προσήγαγες
ὡς ἄρνα τῷ δεσπότῃ σου·
ἠκολούθει δὲ χαίρων
τοῖς ἴχνεσί σου, μάκαρ.

Μακαριοῦμέν σε πάντες,
200 ἀοίδιμε Κέλσιε,
καὶ τὴν χάριν τὴν λάμψασαν
ἐν τῇ διανοίᾳ σου
ἐν ᾄσμασι γεραίρομεν
καὶ Θεὸν ἀνυμνοῦμεν
205 τὸν σὲ ἐκλεξάμενον.

Ὦ Ἰουλιανὲ μάρτυς
μετὰ τοῦ ἀρνίου σου,
Κελσίου τοῦ θεόφρονος
καὶ τῶν συμμαρτύρων σου
210 καὶ τῶν συνασκησάντων σοι,
ἐκτενῶς ὑπὲρ πάντων
πρεσβεύσατε κυρίῳ.

θεοτ. Τὴν θεομήτορα νύμφην
ἀξίως δοξάζομεν,
215 ὡς τεκοῦσαν τὸν κύριον
καὶ πάλιν μετὰ τόκον
παρθένον διαμείνασαν·
παντευλόγητε κόρη,
σῶσον τοὺς σὲ ὑμνοῦντας.

f. 93v ᾠδὴ η'. *Τὰ σύμπαντα, δέσποτα,*

220 Χθὲς κατευωχήθημεν
f. 94 ἐν τῇ τῶν Φώτων ‖ πανηγύρει·
σήμερον συνδράμωμεν

---

213 νύμφην] πάντες Ch
heirm. η' EE 105, n. 147, Andreae; textum heirm. integrum invenitur in Ch

τῇ τῶν μαρτύρων μνήμῃ
καὶ τούτους κατίδωμεν
225 πῶς κατέρραξαν πίστει
τὴν ἀσσύριον φλόγα,
πῶς κατέλυσαν
τὴν αὐτοῦ πανοπλίαν δυνάμει
τοῦ ἁγίου πνεύματος.

230 Ἰουλιανὸς ἡμᾶς
ὁ θεομάρτυς συγκαλεῖται,
πάντες φιλομάρτυρες,
καὶ Κέλσιος ὁ πάνυ,
ὁμοῦ καὶ Ἀντώνιος,
235 ἐκτελέσαι τὴν τούτων
ἱερὰν πανδαισίαν,
καὶ Βασίλισσα,
ἡ φερώνυμος βάσις καὶ νύμφη
τοῦ μεγάλου ἄνακτος.

240 Πάντα κατελίπετε
τὰ ἐν τῷ κόσμῳ τοῖς ἐν κόσμῳ,
πάντα ὑπερείδετε
πάντων καταφρονοῦντες,
ἵνα τὰ βασίλεια
245 γέρα προσπορίσησθε
καὶ τοῖς κάτω τὰ ἄνω
ἀνταμείψησθε,
ἀθληταὶ τοῦ Κυρίου καὶ θεῖοι
τοῦ νόμου οἱ φύλακες.

250 Χαίροις, Ἰουλιανέ,
χαρᾷ ἀνεκλαλήτῳ,
εὐφραίνου, Βασίλισσα,
μετὰ τῶν συμπαρθένων,
ἀγάλλου, Ἀντώνιε,
255 καὶ σύ, Κέλσιε, τέρπου
σὺν τῇ πιστῇ μητρί σου,

---

240 κατελίπατε Cg 247 ἀνταμείψεσθε Cg

ἀλλὰ μνήσθητε
τοῦ τολμήσαντος πόθῳ κομίσαι
τόδε τὸ μελῴδημα.

θεοτ. 260 * Ἡ σύλληψις ἄσπορος
καὶ ἀδιάφθορος ὁ τόκος
τῆς ξένης λοχείας σου,
παρθένε θεοτόκε·
Θεὸς γὰρ ἀμφότερα
265 ὑπὲρ φύσιν καινίσας,
εἰ καὶ φύσεως νόμῳ
προελήλυθεν,
ἀλλὰ φύσεως νόμους ὡς κτίστης
ὑπεραναβέβηκεν.

f. 95 ᾠδὴ θ'. *Ὑμνοῦμέν σε, ἄχραντε*
παρθενομῆτορ ἔνδοξε,
ὅτι ἀνεβλάστησας
τὸν οὐράνιον στάχυν, Χριστὸν τὸν Θεόν,
5 *ὑπὲρ πᾶσαν ἔννοιαν·*
ἐκ σοῦ ἄρτος γέγονε
ζωηφόρος τοῖς πιστοῖς·
διό σε δοξάζομεν·
χαῖρε, πάνσεμνε,
10 *ἡ μείνασα παρθένος*
μετὰ τὸν τόκον ἁγνή.

270 Ὑπέκλινας, δέσποτα,
τὴν κορυφὴν τῷ κήρυκι,
τῇ ἐπιφανείᾳ σου
ὑπογράφων τὸν πλοῦτον τῆς χάριτος
καὶ τῆς ταπεινώσεως,
275 δι' ἧς πάντας ὕψωσας

260-269 θεοτ. Pent. II, νβ' 268 νόμον Pent.
heirm. θ' EE 105, n. 147, Andreae heirm. 8 διό σοι κραυγάζομεν Ch EE
9 πάνσεμνε] δέσποινα Ch ἄμωμε EE 11 τὸν om. EE

ὑπακούσας τῷ πατρί,
παθῶν τε καὶ ὕβρεων
ἀνεχόμενος·
διὸ καὶ βαπτισθῆναι
280 οὐκ ἀπηξίωσας.

Ἀνέλαβες, δέσποτα,
δι' εὐσπλαγχνίαν ἄρρητον
ὅλον τὸ ἡμέτερον
μὴ ἐκστὰς τῆς οἰκείας θεότητος,
285 ἀλλὰ μείνας ἄτρεπτος,
τοῦ πατρὸς μὲν σύμμορφος,
τῇ μητρὶ δὲ συμφυής,
εἷς ἐν δύο φύσεσιν
ἀδιαίρετος
290 καὶ δύο θελήμασι
καὶ ἐνεργείαις δύο.

Φωτὶ πλησιάσαντες
υἱοὶ φωτὸς γεγόνατε,
πανεύφημοι μάρτυρες,
295 καὶ φωτὸς ἀϊδίου ἐπλήσθητε·
τῇ ἀσκήσει πρότερον
τὰς ψυχὰς ἐλλαμφθέντες
ἐν ἁγνείας φωτισμῷ
καὶ αὖθις τοῖς στίγμασιν
300 ἀπαστράψαντες,
γεγόνατε φωστῆρες
ἐν κόσμῳ λάμποντες.

Τὰ στήθη τοῖς δάκρυσι
καὶ τὰς παρειὰς βρέχοντες
305 οἱ ἅγιοι ἔσπευδον
f. 95v τῷ πυρὶ χωνευθῆναι καὶ ‖ ἔκραζον·
« δέξαι τὰς ψυχὰς ἡμῶν,
Θεὲ τῶν δυνάμεων,

278 ἀνασχόμενος Ch 287 τῆς μητρὸς Ch 303-313 troparium deest in Ch

καὶ εἰσάγαγε ἡμᾶς
310 εἰς θείαν ἀνάψυξιν
καὶ κατάταξον
ἐν χώρᾳ πρωτοτόκων
καὶ ἐν σκηναῖς φωτειναῖς ».

Βασίλισσαν ἅπαντες
315 ὡς βασιλίδα στέψωμεν,
ὅτι ἐκληρώσατο
τὰ βασίλεια γέρα τῆς ἄνω ζωῆς
καὶ νῦν συναυλίζεται
μετὰ τοῦ ὁμοζύγου
320 καὶ τοῦ πλήθους τῶν αὐτῆς
ἑταίρων δοξάζουσα,
λιτανεύουσα
καὶ ᾆσμα μελῳδοῦσα
ἐν τοῖς ὑψίστοις Θεῷ.

θεοτ. 325 Ἐκύησας, ἄχραντε,
τὸν βασιλέα κύριον
ἐκ τῶν ἀμολύντων σου
καὶ ἀχράντων αἱμάτων, μὴ γνοῦσα τὸ πῶς,
ὑπὲρ πᾶσαν ἔννοιαν,
330 ὃν ὡς φῶς ἐδέξαντο
οἱ ἐν σκότει καὶ σκιᾷ·
αὐτὸν ἱκετεύουσα,
μητροπάρθενε,
μὴ παύσῃ ὑπὲρ πάντων
335 τοῦ ἐλεῆσαι ἡμᾶς.

IN SS. JULIANUM ET BASILISSAM

Crypt. Δ.α. XXXII = Ct, ff. 110-110ᵛ
Paris. Suppl. gr. 32 = Sa, ff. 170ᵛ-171ᵛ
Paris. gr. 13 = Q, ff. 216ᵛ-217ᵛ
Paris. gr. 258 = Pl, ff. 93-97
Paris. gr. 1571 = Pg, ff. 199-199ᵛ

Ὁ κανὼν οὗ ἡ ἀκροστιχίς· Σὺν τοῖς συνάθλοις Ἰουλιανὸν σέβω· Ἰωσήφ.

Ἦχος α'.

ᾠδὴ α'. *Σοῦ ἡ τροπαιοῦχος δεξιὰ*

Στέφος κομισάμενος διπλοῦν
ὡς ἀσκητής τε καὶ μάρτυς, πανεύφημε,
χαίρων νῦν παρίστασαι
ἐν οὐρανοῖς τῷ βασιλεῖ τῆς κτίσεως·
5 ὃν ὑπὲρ τῶν πίστει
ἱλέωσαι εὐφημούντων σε.

Ὑπὲρ τὰ ὁρώμενα, σοφέ,
τὰ μὴ ὁρώμενα πόθῳ ἐζήτησας
καὶ ἀναλαβόμενος
10 τὸν σὸν σταυρόν, κυρίῳ ἠκολούθησας
πάθη θανατώσας
δι' ἐγκρατείας τοῦ σώματος.

---

tit. Εἰς τὸν ὄρθρον... κανόνα... ψάλλομεν τῆς ἑορτῆς καὶ τοῦ ἁγίου οὗ ἡ ἀκροστιχίς... Q Εἰς τὸν ὄρθρον ὁ κανὼν τοῦ ἁγίου οὗ ἡ ἀκροστιχίς... Pl Ὁ κανὼν φέρων ἀκροστιχίδα ... Pg nomen Ἰωσήφ om. Ct; idem in margine scripsit Sa heirm. α' EE 1, n. 1, Joannis 6 ἀνευφημούντων σε αἴτησαι Pg

Νυμφῶνα ποθῶν θεοειδῆ
ἐν οὐρανοῖς τὸν ἀεὶ διαμένοντα,
15 ἔπεισας τὴν σύζυγον,
μάρτυς σοφέ, ὁσίως συναγνεῦσαί σοι,
ἔλλαμψιν ἐξ ὕψους
σωτηριώδη δεξάμενος.

θεοτ. Τῷ πόθῳ τρωθεῖσα τοῦ ἐκ σοῦ
20 ὑπερβολῇ εὐσπλαγχνίας ἐκλάψαντος,
ἄχραντε θεόνυμφε,
ἡ εὐκλεὴς καὶ πάνσεμνος Βασίλισσα
ἄφθορον τὸ σῶμα
ἐν παρθενίᾳ διέσωσεν.

ᾠδὴ γ΄. *Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν*

25 Ὄμβροις τῶν δακρύων τοὺς κρουνοὺς
συνάψας τῶν αἱμάτων σου,
ἓν ἐξ ἀμφοῖν ποτήριον ἔπλησας
καὶ τοὺς τροφίμους
τῆς ἐκκλησίας Χριστοῦ
30 ἱερῶς ἐπότισας
πίστει εὐφημοῦντάς σου
τὰ παλαίσματα, μάρτυς πολύαθλε.

Ἰλύος παθῶν φθοροποιῶν
ἀσκήσεσιν ἐκάθηρας
35 τὴν ἱερὰν ψυχήν σου, πανόλβιε,
καὶ ἐναθλήσας
πλάνης κατέβαλες,
μάρτυς, ὀχυρώματα

---

13 φωτοειδῆ Q Pl Pg 15 τὸν Pg 19 τοῦ] τῶ Pg 22 πάνσεπτος Pg
24 τῆ παρθενία ἐτήρησε Pg
heirm. γ΄ EE 1, n. 1, Joannis 25 Ὄμβρους τῶν δακρύων τοῖς κρουνοῖς Q Pl Ὄμβοις τῶν δακρύων τοῖς κρουνοῖς Pg 27 ἔπλησας] ἔπιες Pg
31 εὐφημούντων σου Ct Sa εὐφημοῦν σε Pg 32 τῖς παλαίσμασιν Sa παιπαλαίσματα Ct 33 Ἴλυος Sa 36 καὶ om. Pg

χορὸν ἐπαγόμενος
40 συμμαρτύρων, μεθ' ὧν εὐφημοῦμέν σε.

Στρατὸν ἐπαγόμενος στερρὸν
μαρτύρων, ἀξιάγαστε,
πολυειδεῖς βασάνους ὑπέμεινας
πυρὶ ἐνύλῳ
45 ἀντιταξάμενος,
ἔνδον τοῦ ἀΰλου σε
ὅλον ἀναφλέγοντος
τῆς Χριστοῦ τοῦ Θεοῦ ἀγαπήσεως.

θεοτ. Σὲ πίστει καλοῦσα βοηθόν,
50 παρθένε παναμώμητε,
ἡ εὐκλεὴς ἐν πίστει Βασίλισσα,
ἁγνὴ παρθένος
Χριστῷ νενύμφευται
καὶ παρθένων τάγματα
55 τούτῳ προσενήνοχε
σὺν αὐτοῖς εὐχαρίστως ὑμνοῦσά σε.

Κάθισμα.

Ἦχος δ΄. *Ταχὺ προκατάλαβε*

* Ἀσκήσει ἐλάμπρυνας
τὴν ἱεράν σου ψυχὴν
καὶ δῶρον προσήνεγκας
τῷ σαρκωθέντι Θεῷ
5 σαυτὸν δι' ἀθλήσεως,
χάριν δὲ ἰαμάτων
ἐκ Θεοῦ ἐκομίσω
λύειν ἀρρωστημάτων

---

41 στερρῶν Q Pl σεπτὸν Pg 44 ἀΰλω Pg 47 ὅλως ἀναψύχοντος Pg
51 ἐν πίστει] καὶ θεία Pg 52 παρθένε Ct Sa Pg 55 τοῦτο προσηνέχθησαν Pg
56 αὐταῖς Q Pl Pg
κάθ. MR I, 127, sed in sanctain Theodoram dicatum heirm. καθ. HR 63 2 ψυχὴν] στολὴν Q Pl MR 3 προσήνεξαι MR 4 σαρκωθέντι] βαπτισθέντι Pg 5 Θεοδώρα θεόπνευστε MR 7 πρὸς αὐτοῦ εἰληφυῖα MR
8 λύειν ἀρρωστήματα Ct Sa λύων ἀρρωστημάτων Pg νόσων ἀποδιώκεις MR

τὴν ἀχλύν, θεοφόρε,
10 πρεσβεύων τοῦ σωθῆναι ἡμᾶς
τοὺς πόθῳ τιμῶντάς σε.

ᾠδὴ δ'. *Ὄρος σε*
τῇ χάριτι τῇ θείᾳ κατάσκιον

Ὕπερθεν
ἁγίων ὑψωμάτων ἐξέλαμψεν
ἄπλετον φῶς μέσον ὑμῶν
60 ἁγνῶς πεισάντων ἑαυτοὺς
βιῶναι, πανάριστοι,
καὶ ὑπὲρ νοῦν
εὐώδης χάρις διέπνευσε
προσβεβαιοῦσα ὑμῶν τὰ βουλεύματα.

65 Νέκρωσιν
παθῶν ἀσκητικῶς ἐνδυσάμενος,
ζωῆς ἐπέτυχες θανών,
παμμάκαρ Ἰουλιανέ,
ὡς μάρτυς πανάριστος,
70 συναθλητῶν
προσεπαγόμενος ὅμιλον,
μεθ' ὧν σε πίστει καὶ πόθῳ γεραίρομεν.

Ἅπασαν
τυράννου στηλιτεύσας τὴν ἄνοιαν,
75 θλάσιν ὑπέμεινας μελῶν
καὶ σπαραγμοὺς πολυειδεῖς
καὶ βίαιον θάνατον,
πρὸς τὴν ζωὴν
τὴν ἀληθῆ πορθμευόμενος,
80 μεγαλομάρτυς κυρίου πανόλβιε.

9 τὸν φλογμὸν ἀθλοφόρε Pg τὴν ἀχλύν, μακαρία, MR 10 πρεσβεύουσα MR 11 τοὺς πόθῳ τιμῶμεν σε Ct τοὺς ἀνυμνοῦντάς σε Pg MR
heirm. δ' EE 1, n. 1, Joannis 61 πανάρισται Ct πανάριστε Pg 63 διέπνευστε Sa ἐνέπνευσεν Pg 64 προσβεβαιοῦσαν Ct Sa Pg 66 ἐνδυσάμενος] ἐνστησάμενος Pg 74 τυράννων Pg τὴν ἀνοίαν Ct παράνοιαν Pg 79 πορθμευόμενος] πορευόμενος Pg

Θαύμασιν
ἐπίστωσας τοὺς ἄφρονας σέβεσθαι
ἕνα Θεὸν ἀληθινὸν
καὶ τὰ σεβάσματα αὐτῶν
85 ὡς χοῦν ἐξελέπτυνας,
μάρτυς σοφέ,
τυφλοῖς τὸ βλέπειν δωρούμενος
τῇ ἐπικλήσει Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

θεοτ. Λάμπουσαν
90 παντοίων ἀρετῶν ἐπιδείξεσι
σὲ τὴν καλὴν ἐν γυναιξίν,
οἷα βασίλισσαν ἁγνήν,
ἡ μάρτυς Βασίλισσα,
μήτηρ Θεοῦ,
95 ὑπερβαλλόντως ἠγάπησε,
μεθ' ἧς ἀεί σε πιστοὶ μακαρίζομεν.

ᾠδὴ ε'. *Ὁ φωτίσας*
τῇ ἐλλάμψει τῆς σῆς παρουσίας, Χριστέ,

Ὁ κύριος
δι' αὐτὸν ἐναθλοῦντα θεώμενος,
ἀνιστᾷν σοι,
100 ἀθλοφόρε, νεκροὺς χάριν δίδωσιν
εἰς βεβαίαν πίστωσιν
νεκροῖς ξοάνοις τῶν ἀλόγως
θυσιαζόντων, πανένδοξε.

Ἱστάμενον
105 καὶ χοροῖς ἀσωμάτων στεφόμενον

81-88 troparium deest in Pg 89 Λαμπρύνουσα Pg 90 πάντων Pg 91 καλὴν] στολὴν Sa 92 βασίλισσα Pg 94 μῆτερ Pl
heirm. ε' EE 1, n. 1, Joannis 98 ἀθλοῦντα Ct Sa 99 ἀνιστῶν σοι Ct 100 θεοφόρε Pg 103 πανάριστε Pg

104-108 Synaxarium: 760, rr. 11-15 . . . . . Ἐπὶ τούτοις προσέρχεται καὶ πιστεύει τῷ Χριστῷ Κέλσιος ὁ τοῦ ἡγεμόνος παῖς, δυνάμεις ἀγγελικὰς ἐπὶ τὸν ἅγιον κατιούσας ἰδὼν καὶ στεφανούσας αὐτὸν στεφάνῳ χρυσῷ καὶ περιπολούσας καὶ συνομιλούσας αὐτῷ . . . . .; cfr. Selecta 760, rr. 53-54

ὡς εἶδέ σε
ὁ ἀοίδιμος, ἔνδοξε, Κέλσιος,
ἱερῶς πεφώτισται
καὶ μετὰ σοῦ τὸν θεῖον δρόμον
110 τῆς μαρτυρίας ἐτέλεσεν.

Συνώθησαν
τοὺς Χριστοῦ στρατιώτας οἱ ἄφρονες
εἰς λέβητας
καιομένους πυρί, ἀλλ' ἐρρύσατο
115 ἀβλαβεῖς ὁ κύριος
τούτους σεπταῖς ἐπιστασίαις
ἐπουρανίων δυνάμεων.

θεοτ. Ἰσχύι σου
ἡ θεόφρων παρθένος Βασίλισσα,
120 πανάμωμε,
τὸν ἀρχέκακον ὄφιν νικήσασα,
χορὸν πολυάριθμον
Χριστῷ παρθένων προσκομίζει
ὡς θεοτόκον ὑμνοῦσά σε.

ᾠδὴ ϛ'. *Ἐκύκλωσεν ἡμᾶς*

125 Ὀδύνας ὑποστὰς
μαστίγων, ὅσιε,
θαυμάτων χάριν ἔλαβες
θεραπεύειν τὰς ὀδύνας τῶν πιστῶς
ἐπικαλουμένων σε ἑκάστοτε
130 ὡς ἀθλητὴν
καὶ παθημάτων Χριστοῦ ἐκσφράγισμα.

Ὑπέμεινας τῆς σῆς
δορᾶς ἀφαίρεσιν
ἀσάλευτος τηρούμενος

106 ὡς οἶδε σε Pg 112 τοῖς χριστοῦ στρατιῶτες Pg 114 κεομένας Pg 116 τούτου Ct Sa 118 Ἰσχύιει σου Pg 121 ἐνίκησε Pg 122 καὶ χορὸν πανάγιον Pg 123 παρθένος Sa 124 ὑμνοῦντα Q Pl ὑμνοῦντας Pg
heirm. ϛ' EE 1, n. 1, Joannis 134 τηρούμενος] διέμεινας Pg

135 τῇ δυνάμει τε καὶ χάριτι Χριστοῦ,
f. 110ᵛ τοῦ ‖ τὸ ἀσθενὲς ἡμῶν νευρώσαντος
τῇ πρὸς ἡμᾶς
συγκαταβάσει, μάρτυς πολύαθλε.

Λεόντων ἐν Χριστῷ
140 διῆλθες χάσματα
ἀπήμαντος, πανόλβιε,
ἐπικλήσει τοῦ Χριστοῦ τοῦ δι' ἡμᾶς
σάρκα θελήσει πτωχεύσαντος,
οὗ τὸ σεπτὸν
145 πάθος, παμμάκαρ, χαίρων ὑπέμεινας.

θεοτ. Ἰλύος τῶν παθῶν
ἀποκαθάρασα,
Βασίλισσα, τὰ ὄμματα,
τῷ ἐκλάμψαντι Χριστῷ παρθενικῶν,
150 θείων ἐκ λαγόνων προσενήνεξαι
μετὰ χοροῦ
σεπτῶν μαρτύρων παρθένος ἄμωμος.

ᾠδὴ ζ'. *Σὲ νοητήν,*
θεοτόκε, κάμινον

Ἀποσκοπῶν
πρὸς τὸν ἐν ἰσχύι σε
155 σώζειν δυνάμενον Θεόν,
κατεφρόνησας, ἀθλητά,
λέβητος φλογίζοντος,
θείῳ πυρακτούμενος

136 νευρώσαντος] πανόλβιε Ct 139 Λεόντων] Ρεόντων Ct 142 ἐπικλήσει τοῦ] ἐπικλήσεσι Q Pl 143 θελήσει] γενομένου καὶ Pg 145 παμμάκαρ πάθος χαίρων εἰκόνισας Q Pl χαίρων παμμάκαρ πάθος ὑπέμεινας Pg 147 ἀποκαθάρασα: hic in Pg abrumpitur oratio; folium enim cecidit qua re in ipso codice ceterae odae desunt 152 μαρτύρων] παρθένων Q Pl
heirm. ζ' EE 1, n. 1, Joannis 154 πρὸς τὸν ἐνισχύοντα Ct Sa

ζήλῳ καὶ μέλπων γηθόμενος·
160 « ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος ».

Νεκρός, σοφέ,
κόσμῳ ἐχρημάτισας
καὶ προσευχῇ σου ἐκτενεῖ,
165 ἀθλητὰ Ἰουλιανέ,
νεκροὺς ἐξανέστησας
μέλπων ἐμμελέστατα
τῷ ποιητῇ πάσης κτίσεως·
« ὁ αἰνετὸς τῶν πατέρων
170 Θεὸς καὶ ὑπερένδοξος ».

Ὁ ταῖς πληγαῖς,
μάκαρ, καταικίζων σε
τὸ φῶς κομίζεται, σοφέ,
καὶ πιστεύσας τῷ πλαστουργῷ
175 κάραν ἀποτέμνεται,
μάρτυς χρηματίζει τε
ἀναβοῶν ἐμμελέστατα·
« ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος ».

θεοτ. 180 Νέον ἡμῖν
βρέφος ἀπεκύησας,
τὸν συναΐδιον πατρί,
θεοτόκε, μήτηρ ἁγνή·
ὅθεν σε Βασίλισσα
185 στέργουσα ἠρίστευσε
κατὰ παθῶν ἀνακράζουσα·
« ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος ».

160.169.178.187 post αἰνετὸς orat. varie intermittunt cdd. 183 μῆτερ Q Pl 184 σε] ὡς Ct Sa

ᾠδὴ η'. *Ἐν καμίνῳ παῖδες Ἰσραὴλ*

Σὺν τῷ θείῳ Ἰουλιανῷ
190 Ἀντώνιον τὸν μέγαν
καὶ Κέλσιον, εἰκοσάριθμον
στρατόν τε εὐκλεῆ
μαρτύρων ὑμνήσωμεν
μελῳδοῦντες·
195 « πάντα τὰ ἔργα
τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ἐκδημοῦντι, μάρτυς, τῆς σαρκὸς
200 χοροὶ πατριαρχῶν σοι,
μαρτύρων καὶ ἀποστόλων
προσυπήντησαν χαρᾷ
προπομπὴν ποιούμενοι
καὶ πρὸς λήξεις
205 τὰς αἰωνίους
καὶ μονὰς ἀκηράτους
σὲ καθοδηγοῦσι
τελέσαντα τὸν δρόμον.

Βασιλείαν, μάρτυς τοῦ Χριστοῦ,
210 ἀσάλευτον ἀξίως
παρέλαβες καὶ κατῴκησας
σὺν πᾶσιν ἐκλεκτοῖς,
μεθ' ὧν μέλπεις πάντοτε·
« εὐλογεῖτε
215 πάντα τὰ ἔργα
τὸν κύριον, ὑμνεῖτε

---

heirm. η' EE 1, n. 1, Joannis 192 εὐκλεῆ] ἐκλεκτῶν Q Pl 195 post πάντα orat. varie intermittunt cdd. 202 προυπήντησαν Sa χαρᾶς Q Pl 207 καθοδηγοῦντες Q Pl 214 post εὐλογεῖτε orat. varie abrumpunt Sa Q Pl

καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Ὡς ὡραίαν, ὡς περικαλλῆ
220 Βασίλισσα ποθοῦσα,
παρθένε σὲ παναμώμητε,
χορὸν μοναζουσῶν
Χριστῷ πολυάριθμον
σεσωσμένων
225 πίστει προσάγει,
μεθ' ὧν σε εὐλογοῦμεν,
ὡς ἁγιωτέραν
φανεῖσαν τῶν ἀγγέλων.

ᾠδὴ θ'. *Τύπον*
τῆς ἁγνῆς λοχείας σου

Ἵνα
230 τῶν ἀγγέλων, ἅγιε,
τὴν ἀφθαρσίαν κτήσῃ φθαρτῷ ἐν σώματι,
ἔπεισας καλῶς
τὴν συναφθεῖσαν νομίμως σοι
τὴν ἁγνείαν ἑλέσθαι καὶ ὤφθητε
235 βιώσαντες ὁσίως
πολλῶν φωστῆρες θεαυγέστατοι.

Ὥσπερ
προσφορὰ εὐπρόσδεκτος
καὶ καθαρὰ θυσία Θεῷ προσήνεξαι,
240 Ἰουλιανέ,
κλίνας αὐχένα, πολύαθλε,
ἀποτέμνοντι ξίφει καὶ εἴληφας
τὸν στέφανον τῆς νίκης
ὑπὲρ ἡμῶν ἀεὶ δεόμενος.

---

219 ὡς περικαλλῆ] καὶ περικαλλῆ Q Pl 226 εὐλογοῦμεν] ἀνυμνοῦμεν Q Pl
heirm. θ' EE 1, n. 1, Joannis 241 πολύαθλον Ct Sa

245 Στῖφος
ἀθλητῶν προσήνεγκας
τῷ ἀθλοθέτῃ, μάκαρ, μόνῳ Θεῷ ἡμῶν,
Ἰουλιανέ,
μεθ' ὧν σε νῦν μακαρίζομεν,
250 ὡς καλῶς τὸν ἀγῶνα τελέσαντα
καὶ νίκης τὰ βραβεῖα
παρὰ κυρίου κομισάμενον.

Ἤδη
τῷ φωτί, μακάριοι,
255 τῷ τρισηλίῳ χαίροντες παριστάμενοι
καὶ μαρμαρυγαῖς
ταῖς ὑπερφώτοις λαμπόμενοι
καὶ μεθέξεσι θείαις θεούμενοι,
φωτίσατε τοὺς πίστει
260 εἰλικρινῶς ὑμᾶς γεραίροντας.

θεοτ. Φέγγει
τοῦ ἐκ σοῦ, πανάμωμε,
ὑπερβολῇ χρηστότητος ἀνατείλαντος
μάρτυς ἡ σεμνὴ
265 καταυγασθεῖσα Βασίλισσα,
μακαρίων ἐλπίδων ἐπέτυχε,
μεθ' ἧς σε συνελθόντες
ἀξιοχρέως μακαρίζομεν.

---

247 μάκαρ] μάρτυς Q Pl
249 μεθ' οὗ Q Pl 260 εἰλικρινεῖ Q Pl

---

250 cfr. II Tim. 4,7

8 IAN. *CANON* XVIII

IN OCTAVAM EPIPHANIAE

Crypt. Δ.α. XV = Cg, ff. 96ᵛ-101

Ὁ κανὼν φέρων ἀκροστιχίδα· Φῶτα
καὶ φῶς μοι τριὰς ἡ παναγία.

Ἦχος β΄.

ᾠδὴ α΄. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ

Φῶς ἐκ φωτὸς
ἄδυτον, πατρὸς ἀνάρχου υἱὸς
ἐκ παναγίου πνεύματος,
Χριστός, ἐπέφανε
5 τοῖς ἀνθρώποις, φωτίζων
φωτὶ θεογνωσίας
διὰ βαπτίσματος.

Ὢ εὐσπλαγχνίας
ἀνεκφράστου, ὢ ἀγαθότητος
10 τῆς πρὸς ἡμᾶς σου, δέσποτα,
ὅτι ἐπτώχευσας
ἵν' ἡμεῖς πλουτισθῶμεν
καὶ βάπτισμα ἐδέξω
ἵν' ἁγιάσῃς ἡμᾶς.

15 Τῷ θεϊκῷ,
Λόγε, πυρί σου καὶ ὕδατι

Cg (ff. 96ᵛ-101), alternatis odis, duos canones hoc ordine praebet: priorem quem referimus, alterum sanctae Dominicae consecratum (inc. Τῷ ἐνθέῳ πόθῳ) MR III, 173   tit. Ὁ κανὼν μεθεόρτιος φέρων.....
heirm. α΄. EE 37, n. 51, Cosmae   16 ὕδατος

τοὺς πρὸς τὴν σὴν ἐπίγνωσιν
μολοῦντας χάριτι
ἁγιάζεις, φωτίζεις·
20 διό σου προσκυνοῦμεν
τὸ θεῖον βάπτισμα.

θεοτ. * Τίς ἐξειπεῖν
σοῦ κατ' ἀξίαν δυνήσηται
τὴν ὑπὲρ λόγον σύλληψιν;
25 Θεὸν γὰρ τέτοκας
ἐν σαρκί, παναγία,
ἡμῖν ἐπιφανέντα,
σωτῆρα πάντων ἡμῶν.

f. 97 ᾠδὴ β΄. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ ἐν θαλάσσῃ σώσας

Ἀθανατίσθημεν
30 καὶ ἀφθαρτίσθημεν
ἐν τῷ βαπτίσματί σου,
Χριστέ, υἱοθετηθέντες
τῇ ἐπιγνώσει σου·
ἐνεπλήσθημεν πάντες
35 τῆς χάριτος τῆς σῆς,
ἐθεασάμεθα τὸ φῶς
τοῦ προσώπου σου, Λόγε,
ἐγνώκαμεν οἱ πιστοὶ
τὴν σὴν ὡραιότητα.

40 Κόσμος πεφώτισται
τῇ ἐπιλάμψει σου
εἰδωλικῆς ἐκ πλάνης
ἀπαλλαγεὶς καὶ δαιμόνων
δουλείας φθοροποιοῦ,

22-28 θεοτ. MR III, 13, cfr. p. 155   vv. 24-28 om. in cd. MR complevimus
heirm. β΄ EE 41, n. 55, Joannis

45 διὰ σπλάγχνα ἐλέους
ἐλθὼν ἐπὶ τῆς γῆς·
διὸ τὴν δόξαν σου, Χριστέ,
τηλαυγῶς θεωροῦντες,
ὑμνοῦμεν τὸ ζωηρὸν
50 καὶ θεῖόν σου βάπτισμα.

⟨τριαδ.⟩ Ἅγιος κύριος
ὁ ἐπιφανεὶς ἡμῖν·
ἅγιος ὁ γεννήτωρ
ὁ μαρτυρούμενος πᾶσιν
55 τὸν βαπτισθέντα υἱὸν
καὶ τὸ ἅγιον πνεῦμα,
ἐν εἴδει πελείας
τὸ καταβὰν ἐξ οὐρανοῦ
τῷ σαρκὶ βαπτισθέντι·
60 τριὰς ἁπλῆ, συμφυής,
εἰς ἣν βεβαπτίσμεθα.

θεοτ. Ἄνακτα τέθηλας
τὸν προαιώνιον,
εὐλογημένη κόρη
65 καὶ ἀπειρόγαμε μήτηρ,
μόνη θεόνυμφε,
εἰς βροτῶν σωτηρίαν,
εἰς θέωσιν ἡμῶν,
εἰς φωτισμὸν καὶ ἱλασμὸν
70 τῶν πιστῶς προσκυνούντων
τὸν ἄχραντόν σου υἱόν,
ἁγνὴ παμμακάριστε.

f. 97v ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Ἱνώθημεν Θεῷ,
Θεοὶ γεγόναμεν,
75 ὑψίστου

heirm. γ' EE 39, n. 53, Cosmae 57 πελιᾶς cd. metri causa 73 ἱνώθη-μεν cd. ut acrostichis exigebat pro ἡνώθημεν

υἱοὶ καὶ συγκληρονόμοι
οἱ θνητοὶ καὶ χοϊκοὶ καὶ φθαρτοί,
φωτισθέντες δι' ὕδατος καὶ πνεύματος.

Φωτίσθητε, βροτοί,
80 καὶ ἁγιάσθητε
κυρίῳ
ἐν πίστει καὶ βαπτισθέντες·
τοῦτο δῶρον γὰρ ἀθάνατον
ὁ δεσπότης ἐλθὼν πᾶσι κεχάρισται.

⟨τριαδ.⟩ 85 Ὡς τέκνα τοῦ φωτὸς
οἱ βαπτιζόμενοι
ταῖς θείαις
ἐκλάμψατε θεωρίαις,
προσκυνοῦντες σὺν πατρὶ τὸν υἱὸν
90 καὶ τὸ ἅγιον πνεῦμα ἐν ἁγιότητι.

θεοτ. Ὡς μόνην ἀληθῆ
Θεοῦ μητέρα σε
ὑμνοῦμεν,
f. 98 παρθέ‖νε δεδοξασμένη·
95 διὰ σοῦ γὰρ ὁ προπάτωρ Ἀδὰμ
τῆς ἀρχαίας κατάρας ἠλευθέρωται.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε, τὴν ἀκοήν*

Συνταφέντες σοι, κύριε,
οἱ ταπεινοὶ
ἡμεῖς καὶ ἀπωσμένοι,
100 διὰ τοῦ βαπτίσματος ἐθεώθημεν.

Μετασχόντες τῆς κρείττονος,
θεοειδοῦς
ζωῆς τε καὶ ἀξίας
διὰ τοῦ βαπτίσματος, ἐφωτίσθημεν.

heirm. δ' in EE deest, sed in MR I, 96 editus

105 Ὅσοι πνεῦμα ἐλάβετε
τὸ πατρικόν,
υἱοῦ ἐπιφανέντος
διὰ τοῦ βαπτίσματος, μεγαλύνθητε.

θεοτ. Ὁμοφρόνως ὑμνήσωμεν,
110 χριστιανοί,
τὴν ἄνανδρον μητέρα
τοῦ Θεοῦ καὶ Λόγου, δι' ἧς ἐσώθημεν.

f. 98v ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγός*

Ἵνα λυγροῦ ἐκ θηρὸς
τοῦ βροτοκτόνου τὸν Ἀδὰμ κύριος
115 ὡς ἀγαθὸς
λυτρώσηται θέλων,
βαπτίζεται σαρκὶ
βροτοὺς τελειῶν
ὕδατι καὶ πνεύματι.

120 Τὸ τοῦ προσώπου σου φῶς
ἐσημειώθη ἐφ' ἡμᾶς, κύριε·
θεοπρεπῶς
κατῆλθες γάρ, σῶτερ,
καὶ ἔσωσας ἡμᾶς
125 τοὺς πρὶν νεκρωθέντας
τῷ φθόνῳ τοῦ ὄφεως.

⟨τριαδ.⟩ Ῥύψις σαρκῶν καὶ ψυχῶν
σπίλου παντὸς καὶ μολυσμοῦ πρόκειται
χριστιανοῖς
130 ἐν τῇ ἐκκλησίᾳ
ὁ ἔνθεος λουτήρ,
τοῖς τὴν παναγίαν
τριάδα δοξάζουσιν.

heirm. ε' EE 38, n. 51, Cosmae

θεοτ. Ῥῦσαι ἡμᾶς ἐξ ἐχθρῶν
135 τῶν πολεμίων, παμφαὴς δέσποινα,
τοὺς ἐπὶ σοὶ
ἀεὶ πεποιθότας
καὶ δώρησαι ἡμῖν
εἰρήνην βαθεῖαν
140 καὶ πλούσιον ἔλεος.

f. 99 ᾠδὴ ϛ'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ἰησοῦς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν
ὕδατι καὶ πνεύματι
τὰς ἁμαρτίας ἡμῶν
πάσας ἐκπλύνει, χάριτι
145 ἁγιάζων τὸν κόσμον ὁ ὕψιστος.

Ἀπαθείας χιτῶνα ἐνδύσασθε
ὅσοι, πρὸς τὸ φώτισμα
τῆς ἄνω κλήσεως
νῦν διὰ τοῦ βαπτίσματος
150 προσελθόντες, πιστῶς ἐσφραγίσθητε.

θεοτ. Ἀναρχόθεον βρέφος ἐκύησας,
οὗ τῆς βασιλείας οὐκ ἔσται
τέλος, πανάχραντε·
αὐτῷ πᾶν γόνυ κάμπτῃ γὰρ
155 ὡς Θεῷ, θεοτόκε πανύμνητε.

Κάθισμα.

Ἦχος γ'. *Τὴν ὡραιότητα τῆς παρθενίας σου*

f. 99v ‖ Ἐπιφανέντος σου ἐν Ἰορδάνῃ, σωτήρ,
....

heirm. ϛ' EE 34, n. 46, Joannis κάθ. MR III, 145

152 hypermetrus versus

105 Ὅσοι πνεῦμα ἐλάβετε
τὸ πατρικόν,
υἱοῦ ἐπιφανέντος
διὰ τοῦ βαπτίσματος, μεγαλύνθητε.

θεοτ. Ὁμοφρόνως ὑμνήσωμεν,
110 χριστιανοί,
τὴν ἄνανδρον μητέρα
τοῦ Θεοῦ καὶ Λόγου, δι' ἧς ἐσώθημεν.

f. 98ᵛ ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγός*

Ἵνα λυγροῦ ἐκ θηρὸς
τοῦ βροτοκτόνου τὸν Ἀδὰμ κύριος
115 ὡς ἀγαθὸς
λυτρώσηται θέλων,
βαπτίζεται σαρκὶ
βροτοὺς τελειῶν
ὕδατι καὶ πνεύματι.

120 Τὸ τοῦ προσώπου σου φῶς
ἐσημειώθη ἐφ' ἡμᾶς, κύριε·
θεοπρεπῶς
κατῆλθες γάρ, σῶτερ,
καὶ ἔσωσας ἡμᾶς
125 τοὺς πρὶν νεκρωθέντας
τῷ φθόνῳ τοῦ ὄφεως.

⟨τριαδ.⟩ Ῥύψις σαρκῶν καὶ ψυχῶν
σπίλου παντὸς καὶ μολυσμοῦ πρόκειται
χριστιανοῖς
130 ἐν τῇ ἐκκλησίᾳ
ὁ ἔνθεος λουτήρ,
τοῖς τὴν παναγίαν
τριάδα δοξάζουσιν.

---

heirm. ε' EE 38, n. 51, Cosmae

θεοτ. Ῥῦσαι ἡμᾶς ἐξ ἐχθρῶν
135 τῶν πολεμίων, παμφαὴς δέσποινα,
τοὺς ἐπὶ σοὶ
ἀεὶ πεποιθότας
καὶ δώρησαι ἡμῖν
εἰρήνην βαθεῖαν
140 καὶ πλούσιον ἔλεος.

f. 99 ᾠδὴ ϛ'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ἰησοῦς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν
ὕδατι καὶ πνεύματι
τὰς ἁμαρτίας ἡμῶν
πάσας ἐκπλύνει, χάριτι
145 ἁγιάζων τὸν κόσμον ὁ ὕψιστος.

Ἀπαθείας χιτῶνα ἐνδύσασθε
ὅσοι, πρὸς τὸ φώτισμα
τῆς ἄνω κλήσεως
νῦν διὰ τοῦ βαπτίσματος
150 προσελθόντες, πιστῶς ἐσφραγίσθητε.

θεοτ. Ἀναρχόθεον βρέφος ἐκύησας,
οὗ τῆς βασιλείας οὐκ ἔσται
τέλος, πανάχραντε·
αὐτῷ πᾶν γόνυ κάμπτῃ γὰρ
155 ὡς Θεῷ, θεοτόκε πανύμνητε.

Κάθισμα.

Ἦχος γ'. *Τὴν ὡραιότητα τῆς παρθενίας σου*

f. 99ᵛ ‖ Ἐπιφανέντος σου ἐν Ἰορδάνῃ, σωτήρ,
. . . .

---

heirm. ϛ' EE 34, n. 46, Joannis
καθ. MR III, 145

152 hypermetrus versus

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

Σωτῆρα Θεὸν
πρὸς ἑσπέραν ἡμερῶν ἐπιφανέντα
δεῦτε ἴδετε καὶ ἐνδύσασθε
πάντα τὰ ἔθνη· δι' ὕδατος
160 λούσασθε, καθάρθητε πίστει,
ἁγιάσθητε πνεύματι
καὶ μεγαλύνθητε φαιδρῶς,
οἱ νεοφώτιστοι.

Ἡ νέα πηγὴ
165 καὶ θεόβρυτος ἁγία κολυμβήθρα
νέμει ἅπασι θεῖον βάπτισμα,
καθαρτικὸν καὶ σωτήριον·
βάπτισμα ψυχῶν καὶ σωμάτων
φυλακτήριον μέγιστον,
170 βάπτισμα μώμου ῥυπτικόν,
ὃ ἐβαπτίσθημεν.

⟨τριαδ.⟩ Πηγάζει φαιδρῶς
φῶς τὸ βάπτισμα λαοῖς ἐν ἐπιγνώσει,
φῶς ἀνέσπερον, φῶς ἀΐδιον,
175 φῶς ζωήν, φῶς αἰώνιον,
φῶς ἐκ τοῦ πατρὸς προϊόντα,
δι' υἱοῦ δὲ ἐκλάμψαντα
καὶ διὰ πνεύματος ἡμῖν
νῦν σημειούμενον.

θεοτ. 180 Πατρὸς συμφυῆ
καὶ συνάναρχον υἱὸν πνεύματι θείῳ
f. 100 ἀ||πεκύησας, μῆτερ ἄχραντε,
θεοπρεπῶς σαρκωθέντα ἐκ σοῦ,
ὃν εὐσεβοφρόνως ὑμνοῦμεν

heirm. ζ' EE 39, n. 53, Cosmae 176.177 προϊόντα, ἐκλάψαντα animadverte solutam, metri causa, participialem constructionem

185 καὶ δοξάζομεν λέγοντες·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τὸν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ἀγαλλιᾶσθε τῇ ψυχῇ
πάντες ὅσοι εἰς Χριστὸν τὸν φωτοδότην
190 ἐβαπτίσθητε πίστει
δι' ὕδατος καὶ πυρός·
αὐτὸν γὰρ
νῦν καὶ ἐνεδύσασθε,
ὃν ὑπερυψοῦτε
195 εἰς πάντας τοὺς αἰῶνας.

Νᾶμα ἀντλήσωμεν ζωῆς,
ὕδωρ ἅγιον, πιστοί, εὐλογημένον,
ὕδωρ κόσμον εὐφραῖνον,
ἴαμα, ὕδωρ ψυχῶν,
200 δαιμόνων
ὕδωρ διωκτήριον,
ὃ μεταλαμβάνω
εἰς κάθαρσιν πταισμάτων.

⟨τριαδ.⟩ Ἅγιον πνεῦμα καὶ εὐθὲς
205 τὸ ἐξ ὕψους καταβὰν ἐν Ἰορδάνῃ,
πνεῦμα πάντας φωτίζον,
πνεῦμα ζωοῦν καὶ ὑψοῦν
καὶ σῶζον
καὶ αἶρον ὀφλήματα,
210 ὅπερ προσκυνοῦμεν
σὺν πατρὶ καὶ τῷ Λόγῳ.

186 post εἶ orat. abrumpitur 194 post ὑπερυψοῦτε orat. detruncatur
heirm. η' EE 35, n. 47, Joannis

100ᵛ θεοτ. ‖ Ἄχραντε μήτηρ τοῦ Θεοῦ,
μητρικαῖς σου προσευχαῖς παντοίας λώβης
ἐξελοῦ τὸν λαόν σου
215 καὶ τὸν δεινὸν Ἰσμαὴλ
ἐν τάχει
κατάβαλε, δέσποινα,
ὅπως προσκυνοῦμεν
τὸν ἄχραντόν σου τόκον.

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ* ⟨*Θεὸν*⟩ *Λόγον*

220 Γεύσει πικρᾷ γυμνωθέντες
παρεδόθημεν πάλαι
θανάτῳ καὶ φθορᾷ οἱ γηγενεῖς,
συμβαπτισθέντες Χριστῷ δὲ νυνὶ
ἀφθαρτίσθημεν πίστει
225 τῆς παλιγγενεσίας τῷ λουτρῷ,
δι' οὗ πάντες τὸ πνεῦμα
ἐλάβομεν τὸ ἅγιον.

Ἰσχὺν δεδέγμεθα θείαν
οἱ ἐν σκότει ἀγνοίας·
230 τὸ μέγα τεθεάμεθα γὰρ φῶς·
δόξα, Χριστέ, τῇ γεννήσει σου,
δόξα τῇ ἐπιλάμψει,
δόξα καὶ τῇ βαπτίσει σου ἀεί,
δι' ἧς πάντες τὸ πνεῦμα
235 ἐλάβομεν τὸ ἅγιον.

Ἁγιασθείημεν πάντες
τῇ ἀρρήτῳ ἐλλάμψει
τῆς χάριτός σου, ἄναρχε τριάς·
πίστει εἰς σὲ βεβαπτίσμεθα γὰρ

---

218 προσκυνοῦμεν pro προσκυνῶμεν habeas
heirm. θ' EE 34, n. 46, Joannis heirm. θεὸν om. cd. 224 ἀφθαρτίσθημεν pro ἠφθαρτίσθημεν habeas (cfr. v. 30)

f. 101 240 τὴν χριστώ‖νυμον κλῆσιν
εἰς ἔπαινόν σου φέροντες ἀεί,
πάτερ, Λόγε καὶ πνεῦμα,
Χριστέ, Θεὲ καὶ κύριε.

θεοτ. Ἄνανδρε, ἄσπιλε νύμφη,
245 χαῖρε, μήτηρ κυρίου·
ἐν σοὶ γὰρ ἐγκαυχᾶται ἀληθῶς
γένος βροτῶν ὡς τεκούσῃ τὸ φῶς·
διὸ σῶζε τοὺς πόθῳ
τὴν ἄχραντον εἰκόνα σου, σεμνή,
250 ἀψευδῶς προσκυνοῦντας,
αἱρετικοὺς δὲ ὄλεσον.

9 *IAN.* *CANON* XIX

IN OCTAVAM EPIPHANIAE

Crypt. Δ.α. XV = Cg, ff. 102-106v

Ὁ κανών.

Ἦχος α'.

ᾠδὴ α'. *Ὠιδὴν ἐπινίκιον*

Φαιδρὰ ἡ πανήγυρις,
λαμπρὰ ἡμέρα·
τὸ φῶς γὰρ ἐπέλαμψεν,
ὁ Θεὸς ἐπέφανεν
f. 102v 5 καὶ ἐφωτί||σθη ἡ γῆ
καὶ ἐθεώθη ὁ Ἀδάμ·
λαοί, εὐφραίνεσθε.

Πτωχεύει ὁ πλούσιος
δι' εὐσπλαγχνίαν,
10 ὁ πλήρης κενοῦται δέ,
ὁ Θεὸς παχύνεται
καὶ ὁ ὢν γίνεται
καὶ ἁγιάζεται σαρκὶ
ὁ ἁγιάζων ἡμᾶς.

θεοτ. 15 Θεὸν Λόγον τέτοκας,
θεογεννῆτορ,

Cd., alternatis odis, duos canones hoc ordine refert: priorem (ff. 102-106v) quem referimus in Octavam Epiphaniae, alterum (ff. 102v-106v) sancto Polyeucto dicatum, MR III, 183 tit. Ὁ κανὼν μεθεόρτιος
heirm. α' EE 11, n. 15, Andreae

8 cfr. II Cor. 8,9 10 cfr. Philip. 2,7

σαρκὶ ἑνωθέντα μοι
ὑπὲρ φύσιν, δέσποινα,
μὴ ὑπομείναντα
20 οὔτε τροπήν, οὔτε φυρμόν,
οὔτε διαίρεσιν.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν

Εὐφράνθητε,
ἑορτάσατε πίστει,
f. 103 πανηγυ||ρίσατε,
25 ὅτι Θεὸς ὡς ἄνθρωπος
τοῖς ἀνθρώποις ἐπέφανεν.

Ἐκαίνισεν
ὁ τῆς φύσεως πλάστης
ἡμῶν τὸ σύντριμμα
30 τῇ παραδόξῳ χωνεύσει
δι' ὕδατος καὶ πνεύματος.

θεοτ. * Ἄχραντε
θεοτόκε παρθένε,
μόνη πανύμνητε,
35 τὸν υἱόν σου δυσώπει
σωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

ᾠδὴ γ'. *Λίθον, ὃν ἀπεδοκίμασαν*

Πάλιν Ἰησοῦς βαπτίζεται
καὶ ὑψοῖ τὸν κόσμον,
πάλιν καθαρσίων

heirm. β' deest in EE, sed in TR 583 invenitur 32-36 θεοτ. Anth. I, υξζ'
heirm. γ' EE 11, n. 15, Andreae

40 ὁ καθαρὸς μετέχει
καὶ πάντας ἐκκαθαίρει,
πληροῖ ἁγιότητος,
τοῦ βαπτισθέντος ἐν αὐτῷ
πάντας υἱοὺς
45 Θεοῦ ἐργάζεται.

Βλέπων ὁ ἐκ στείρας Πρόδρομος
τὸν ἐκ τῆς παρθένου
βάπτισμα αἰτοῦντα
ἐν ὑπευθύνου τάξει,
50 ἐκπλήττεται τὸ θαῦμα,
τῷ φόβῳ συστέλλεται
καὶ δεδιὼς ἀναβοᾷ·
« σύ μου Θεὸς
καὶ βάπτισόν με, σωτήρ ».

θεοτ. 55 Χαίρει ὁ Ἀδάμ, μητρόθεε,
ἐπὶ σοὶ καὶ Εὔα·
ἄμφω γὰρ ἐλύθη
τὰ δεσμά, Παρθένε,
διὰ τῆς σῆς λοχείας
60 τεκούσης τὸν κύριον
ὑπερφυῶς καὶ ἀπαθῶς,
ἕνα υἱὸν
διπλοῦν ταῖς φύσεσιν.

f. 103v ᾠδὴ δ'. *Ἐν πνεύματι προβλέπων*

Ἀνέπλασας τὴν πάλαι
65 πεσοῦσαν ἐν φθορᾷ
τοῦ Ἀδὰμ τῷ πταίσματι εἰκόνα ὡς Θεός,
ὑπὸ τοῖς ῥείθροις
Ἰορδάνου συνενθάψας
καὶ ἀνενέγκας

heirm. δ' EE 11, n. 15, Andreae

53-54 cfr. Matth. 3,14

70 τῷ πατρὶ ἐν τοῖς ὑψίστοις,
Λόγε τοῦ Θεοῦ, σῷ βαπτίσματι.

Τοῖς ῥείθροις Ἰορδάνου
κατέδυς, Ἰησοῦ,
καὶ τὴν κτίσιν ὕψωσας ὡς μόνος δυνατός·
75 τῷ σῷ Προδρόμῳ
« τὴν χεῖρά μοι ἐπιδοῦναι »
προανεφώνεις,
« ἵνα πάντων συνενθάψω
πταίσματα καὶ σώσω βροτοὺς ὡς Θεός ».

θεοτ. 80 * Σπηλαίῳ ὑπογαίῳ
τεχθῆναι δι' ἡμᾶς
Θεὸς ὢν ἠξίωσας, πτωχεύσας, ἀγαθέ,
τὴν ἡμετέραν
πτωχείαν δι' εὐσπλαγχνίαν
85 καὶ ἐκ παρθένου
προελθεῖν σεσαρκωμένος
μείνας εἷς υἱὸς ἐκ πατρὸς καὶ μητρός.

f. 104 ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, υἱὲ τοῦ Θεοῦ,*

Ἐξέστη οὐρανὸς ἰδὼν καὶ ἔφριξεν ἡ γῆ,
θάλασσα δρασμὸν ἐβουλεύετο
90 καὶ Ἰορδάνης ἀνεχαίτισε,
τὸν λυτρωτὴν τοῦ κόσμου
τὸ βάπτισμα αἰτοῦντα.

« Τί φρίττεις; » ὁ Χριστός φησι τῷ θείῳ Βαπτιστῇ
« τί μοι οὐ κιχρᾷς τῷ πλάστῃ τὴν χεῖρά σου; »
95 ὁ δὲ προσφόρως ἀντεβόησε·
« πῶς τῷ πυρὶ προσψαύσω
τῇ πηλίνῃ παλάμῃ; »

80-87 θεοτ. MR II, 558 86 προελθὼν MR
heirm. ε' EE 11, n. 15, Andreae 90 ἀναχαίτισε

88 Jer. 2,12

θεοτ. Ἐγένετο παλάτιον ἡ θεία σου γαστήρ,
ὄχημα φρικτὸν καὶ θρόνος πυρίμορφος,
100 θεογεννῆτορ ἀειπάρθενε,
τοῦ μόνου βασιλέως
Θεοῦ καὶ πλαστουργοῦ σου.

ᾠδὴ ς'. *Τὸν προφήτην Ἰωνᾶν*

f. 104ᵛ Εὐφραινέσθω οὐρανός,
συγχαιρέτω καὶ ἡ γῆ·
105 ἐπεφάνη γὰρ ἡμῖν
ὁ ποθούμενος Χριστὸς
καὶ ἔλυσε
τῆς καταδίκης
τὴν ἀνθρωπότητα.

110 Ἐπειχθῶμεν καὶ ἡμεῖς
πρὸς τὸ βάπτισμα, πιστοί·
Ἡσαΐας γὰρ ἡμᾶς
νῦν προτρέπεται βοῶν·
« ἀντλήσατε
115 μετ' εὐφροσύνης
ὕδωρ πηγάζον ζωήν ».

θεοτ. Τὴν τιμῶσάν σε πιστῶς
καὶ γεραίρουσαν ἀεί,
θεοτόκε Μαριάμ,
120 θεοδόξαστε σεμνή,
περίσωζε
ἀπὸ κινδύνων
ταύτην τὴν ποίμνην σου.

---

heirm. ς' EE 12, n. 15, Andreae

103-104 I Par. 16,31; Ps. 95,11 114-116 Is. 12,3

f. 105 ᾠδὴ ζ'. *Ὁ ἐν τῇ βάτῳ ὀφθεὶς ἐν πυρὶ τῷ νομοθέτῃ*

Ὁ ὑπὸ δούλου, Χριστέ,
125 βαπτισθεὶς ἐν Ἰορδάνῃ
καὶ συντρίψας ἐν αὐτῷ
τὰς κεφαλὰς τῶν δρακόντων,
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

130 Ὁ τὸ πῦρ, ἀγαθέ,
τῆς θεότητος ποιήσας
καὶ τὰ ὕδατα
τοῦ χωνεύειν ἁμαρτίας τὸν ῥύπον,
εὐλογητὸς εἶ, κύριε,
135 ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

f. 105ᵛ θεοτ. ‖ Ὁ ἐκ παρθένου μητρὸς
σαρκωθῆναι εὐδοκήσας
καὶ τὸ γένος τῶν ἀνθρώπων
τῆς φθορᾶς ἀπαλλάξας,
140 εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

ᾠδὴ η'. *Ὃν φρίττουσιν ἄγγελοι*

Χοροὺς συστησάμενοι
ἐξάρξατε πιστῶς,
ᾠδὰς μελῳδήσατε
145 σκιρτῶντες μυστικῶς·
τὸ φῶς γὰρ ἐφάνη,

---

heirm. ζ' EE 17, n. 22, Joannis 128. 134 post κύριε orat. detruncatur
heirm. η' EE 12, n. 15, Andreae

Ἰησοῦς ὁ γλυκύς,
τὸ τῆς ἀφθαρσίας,
ῥόδον ἁγιαστίας.

150 Κατῆλθες καὶ ἔλυσας
ἡμᾶς ἐκ τῶν δεινῶν,
ἐφάνης καὶ ἔσωσας
ἐξ Ἅιδου καὶ φθορᾶς·
ὑμνοῦμεν τὴν χάριν
155 καὶ δοξάζομέν σου
τὸ ἔλεος, σῶτερ,
νῦν καὶ εἰς τοὺς αἰῶνας.

θεοτ. Ὁ ἄναρχος ἄρχεται
καὶ γίνεται βροτὸς
160 ἐκ σοῦ, μητροπάρθενε·
ὁ φύσει ἀγαθὸς
οὐ τρέψας τὴν φύσιν,
ἀλλὰ μείνας Θεός,
ὅλον προσλαμβάνει
165 ἐμὲ καὶ θεουργεῖ με.

ᾠδὴ θʹ. *Τὴν ζωοδόχον πηγὴν τὴν ἀέναον*

Χριστὸς φωτίζεται, νῦν συναστράψωμεν,
Χριστὸς βαπτίζεται, νῦν συγκατέλθωμεν,
ἵνα συνανέλθωμεν
μυστικῶς, φιλέορτοι,
170 ἔνθα τὸ φῶς τῆς ζωῆς
καὶ ἀφθαρσία,
ἔνθα τρυφὴ καὶ χαρὰ ἀνεκλάλητος.

Εὐφραίνου, στεῖρα καὶ ἄγονε, σήμερον,
ἡ ἐξ ἐθνῶν ἐκκλησία, καὶ χόρευε·

156 ἔλεον
heirm. θʹ EE 14, n. 18, Andreae

167-169 cfr. Rom. 6,4; Col. 2,12 173 Is. 54,1

175 καὶ γάρ σοι δι᾽ ὕδατος
καὶ πυρὸς καὶ πνεύματος
υἱοὶ γεγέννηνται νῦν,
f. 106ᵛ υἱοθεσί||ας
τὸν ἀρραβῶνα λαβόντες ἐν πνεύματι.

θεοτ. 180 Ἡ τὸν Θεόν σου σαρκὶ ἀποτέξασα
καὶ διαμείνασα σῶα, μητρόθεε,
τοὺς πιστούς σου λύτρωσαι
ἐκ φθορᾶς καὶ θλίψεως
καὶ ἐκ παντοίας ὀργῆς·
185 σὺν τῷ Προδρόμῳ
ὑπὲρ ἡμῶν τῷ Χριστῷ ἱκετεύσατε.

Ἐξήρανας
τοῖς τῶν λόγων σου ῥείθροις,
πάτερ Γρηγόριε,
τῶν ἀσεβούντων τὴν χύσιν
35 συνθάλπων τὰς διανοίας ἡμῶν.

Ἐνοίκησεν
ἐν τῇ ψυχῇ σου, θεόφρον,
τὸ θεῖον πνεῦμα, σοφέ,
καὶ ἁγιάσαν σε, πάτερ,
40 ἐφώτισε διὰ σοῦ τὸν Λόγον.

εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,
ὁ πρὸ τῶν αἰώνων

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,
ὁ τῷ θεοφόρῳ
f. 109v Γρηγο‖ρίῳ παρασχὼν
45 τὴν τοῦ παναγίου πνεύματος ἐπιφοίτησιν
καὶ τοῦτον τῇ οἰκουμένῃ
ἀναδείξαντα φωστῆρα ὡς φιλάνθρωπος.

Λόγων πηγὴν
ἐσφραγισμένην σὲ ἐπιστάμεθα
50 τῆς ὀρθοδοξίας,
τῇ ἐκβλύσει ἐμφανῶς

---

36 Ἐνοίκησεν pro Ἐνῴκησεν habeas 36-40 in sede troparii Ἐνοίκησεν... Σα θεοτ. refert: Θεοτόκε παρθένε μόνη ... Anth. I, υξζ′ 41-61 εἱρμὸν ἄλλον unus Cg e cdd. tradit
heirm. similia verba in EE 226, n. 323, Germani, inveniuntur, sed metro stropharum minime aptantur 46 τὴν οἰκουμένην Cg 47 ἀναδείξαντα pro ἀναδείξας habeas

⟨— — —⟩ ποτίζουσαν τῷ κόσμῳ τὰ νάματα,
πληροῦσαν τὸν τοῦ Θεοῦ ποταμόν,
τὴν ἐκκλησίαν, λογικοῖς, πάτερ, ὕδασιν.

θεοτ. 55 Ἄνω ἀμήτορα,
κάτω ἀπάτορα προσκυνοῦμέν σε,
τὸν ἐκ τῆς παρθένου
σαρκωθέντα δι' ἡμᾶς
καὶ διὰ [τοῦ] προσλήμματος θεώσαντα τὸν πρῶτον Ἀδάμ,
60 προσάξαντα τῷ πατρί σου
καὶ ἡμᾶς τοὺς ἐξ Ἀδὰμ ἀνακαινίσαντα.

f. 110 ‖ ᾠδὴ γ′. *Οὐκ ἔστιν ἅγιος*
ὡς ὁ κύριος

Ὡς λύραν τῆς χάριτος,
μελῳδήσασαν ἡμῖν
τῇ ὑφηγήσει τοῦ πνεύματος
65 τὸν λόγον τῆς πίστεως,
ἐν ᾠδαῖς ἐπαξίως
Γρηγόριον ἅπαντες
τὸν πάνσοφον τιμήσωμεν.

Τὴν τρίβον τῆς πίστεως
70 ὁμαλίζων εὐσεβῶς
καὶ τὰ τῆς πλάνης προσκόμματα
ἐκβάλλων, Γρηγόριε,
ὁδηγεῖς ἡμᾶς, πάτερ,
εἰς τὴν ἐπουράνιον
75 πόλιν τοῦ Θεοῦ ἡμῶν.

Τὰ θρέμματα, ὅσιε,
τὰ λογικὰ πνευματικῇ
ἀνακαλούμενος σύριγγι

---

52 tres syllabae desiderantur 53 πληροῦσα Cg 59 τοῦ metri causa expungendum est θεώσας Cg 61 ἀνεκαίνισας Cg
heirm. γ′ EE 226, n. 323, Germani, sed metro stropharum minime aptatur 62 λύρα Cy 72 ἐκβαλὼν Cg Cy Pn 75 ἡμῶν] γνωστικῶς Σα Cy μυστικῶς Pn

10 IAN. CANON XX

IN SANCTUM GREGORIUM NYSSENUM

Synaxarium, 381-383: .... Οὗτος .... ἦν .... λαμπρὸς ἐν λόγοις καὶ τῆς ὀρθοδόξου πίστεως ζηλωτής. Διὸ καὶ τῆς τοῦ Χριστοῦ ἐκκλησίας προέστη καὶ ἐν τῇ δευτέρᾳ συνόδῳ τῇ ἐν Κωνσταντινουπόλει κατὰ τοῦ δυσσεβοῦς Μακεδονίου καὶ τῶν κακοφρόνων αὐτοῦ συναχθείσῃ, λόγων δυνάμει καὶ γραφικαῖς ἀποδείξεσιν τοῖς πατράσι συνελθὼν καὶ τοὺς ὑπεναντίους καταβροντήσας καὶ τροπωσάμενος ἐθαυμάσθη. Διὰ γὰρ πάσης ἐλθὼν ἰδέας λόγων καὶ ἀρετῆς ἐν ἑκάστῃ εὐδοκίμησε καὶ τὸ κράτος ἐδέξατο ....

Crypt. Δ.α. XV = Cg, ff. 109-113v
Sinait. gr. 598 = Σα, ff. 76v-78
Crypt. Δ.α. XXIV = Cy, ff. 130v-132
Paris. gr. 1615 = Pn, ff. 155v-164

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Τῷ ἀνατείλαντι ἑωσφόρον
πνευματικῆς δᾳδουχίας
ἐν τῷ στερεώματι τῆς πίστεως, Γρηγόριε,
ᾄσωμεν τῷ Χριστῷ,
5 ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας.

Ὡραιωθέντι ἐν διανοίᾳ
καὶ ἐν τῷ κάλλει τῶν λόγων,

Quem referimus canon, alternatis odis, alteri, eodem sancto Gregorio dicato (inc. Ἄβυσσος ὢν σοφίας) MR III,192 in Cg (ff. 108v-113) nectitur

tit. Ἕτερος κανὼν τοῦ νύσσης Cg Ἕτερος κανὼν εἰς τὸν ἅγιον γρηγόριον ποίημα γερμανοῦ Σα Εἰς τὸν ὄρθρον ... ὁ κανὼν τοῦ ἁγίου γρηγορίου ποίημα θεοφάνους Pn

heirm. α' EE 229, n. 328, Germani 1 ἀνατεῖλαν Σα 2 δαδουχία πνευματικῇ Pn 4 τῷ om. Cy 5 post δεδόξασται orat. varie detruncant Cg Cy

6-10 troparium deest in Σα Pn

ἐξεχύθη χάρις σοι ἐν χείλεσιν, ὅσιε,
ᾗτινι μυστικῶς
10 Χριστὸς εὐλόγησέ σε εἰς τοὺς αἰῶνας.

Ἐκ τοῦ πελάγους τῶν θείων λόγων
τὸν μαργαρίτην ἀληθῶς
τὸν τῆς εὐσεβείας ἀνιμήσω, Γρηγόριε,
διδαχαῖς τοὺς πιστοὺς
15 ταῖς ὑπερτίμοις πλουτίζοντα ἐνθέως.

θεοτ. Τὴν ἐν γαστρὶ Χριστὸν συλλαβοῦσαν
τὸν ἀπερίληπτον Λόγον
καὶ σαρκὶ τεκοῦσαν ὑπὲρ λόγον παρθένον ἁγνήν,
ἅπαντες οἱ πιστοὶ
20 ὡς θεοτόκον ὑμνήσωμεν ἀπαύστως.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Στῦλόν σε
καὶ ἑδραίωμα πάντες
τῆς ἐκκλησίας Χριστοῦ
ἀνευφημοῦμεν, τοῖς λόγοις
25 σοῦ, πάτερ, ἐνστηριζόμενοι.

Ἐσφράγισται
ὁ τῆς γνώσεως πλοῦτος
διὰ τοῦ πνεύματος,
τοῖς θησαυροῖς τῆς ψυχῆς σου
30 τῷ κόσμῳ διανεμόμενος.

9 εἴτινι Cg 10 σε om. Cy 13 ἀνιμήσω] ἀνυμνήσω Cg ἀνυμνήσωμεν Pn γρηγόριον Cg Pn 14 ταῖς διδαχαῖς ..... Cy 15 ἐνθέοις Cg 16-20 aliud. θεοτ. in Cy: Ἡ συλλαβοῦσα τὸν Θεὸν Λόγον / ἄναρχον ὄντα τοῦ πατρὸς / καὶ σαρκὶ τεκοῦσα ὑπὲρ λόγον, πανύμνητε, / ἱκέτευε ἐκτενῶς / τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων. Pn ipsum θεοτ. tradit, discrepans autem in primis tribus versibus: 1-3 Ἡ συλλαβοῦσα τὸν πρὸ αἰώνων / ἄναρχον Λόγον τοῦ πατρὸς / καὶ σαρκὶ τεκοῦσα ὑπὲρ λόγον, παρθένε ἁγνή, ... 16 Χριστὸν om. Σα

oden β' om. Cy Pn

heirm. β' EE 226, n. 324, Germani

8-10 Ps. 44,3

τῶν θείων δογμάτων σου,
80 εἰς τὰς τῆς ἐκκλησίας
ἐπαύλεις φυλάττεις
Χριστῷ τῷ ἀρχιποίμενι.

Ὡς φοῖνιξ θεόφυτος
τοῖς διεξόδοις τῶν γραφῶν
85 πεφυτευμένος, Γρηγόριε,
καρποὺς ἀνεβλάστησας
διδαγμάτων ἐνθέων·
διό σου, πανσεβάσμιε,
τιμῶμεν τὰ μνημόσυνα.

θεοτ. 90 * Παρθένος ἔτεκες,
ἀπειρόγαμε,
καὶ παρθένος ἔμεινας,
μῆτερ ἀνύμφευτε,
θεοτόκε Μαρία·
95 Χριστὸν τὸν Θεὸν ἡμῶν
ἱκέτευε σωθῆναι ἡμᾶς.

Κάθισμα.
Ἦχος γ'. *Θείας πίστεως ὁμολογία*

Θείαν ἔλλαμψιν κεκληρωμένος,
....

Ἄλλο.
Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Τὸ θεῖον ἁγίασμα
⟨— — — ⁄ — — ⁄⟩
αἰσίως τιμήσωμεν

79 δογμάτων] θαυμάτων Cy 80 τὰς] τὰ Cg τῆς om. Pn 81 φυλάττεις] φυλάττεις γὰρ Cy φυλάττοντα Pn 83-89 troparium om. Σα Cy Pn 90-96 θεοτ. MR II, 264; eiusdem θεοτ. tantum initium Cy tradit 93 μήτηρ Σα MR ἀνύμφευτε] ἀπείρανδρε MR
κάθ. Θείαν ἔλλαμψιν κεκληρωμένος, quod Σα om., in MR III, 194 κάθ. Τὸ θεῖον ἁγίασμα deest in Σα Cy Pn heirm. καθ. HR 63 κάθ. 2 versus desideratur

83-87 cfr. Ps. 1,3

καὶ ὡς θεορρήμονα
5 Γρηγόριον τὸν πάνσοφον·
στάζει γὰρ ἐκ χειλέων
γλυκασμὸν ἰαμάτων,
θέλγει τὰς διανοίας
πρὸς οὐράνιον νύσσαν
10 καὶ νῦν ὑπὲρ ἡμῶν δυσωπεῖ
τὴν τρισαγίαν φωνήν.

f. 110ᵛ ‖ Ἕτερον.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου ἐν σῇ γαστρὶ*

* Ἡ τῶν λόγων σου χάρις τῶν θεϊκῶν
καὶ δογμάτων τὸ ὕψος τῶν μυστικῶν
θείας ἡμῖν γέγονεν
ἀναβάσεως κλῖμαξ·
5 πνευματικὴν γὰρ κτησάμενος
τοῦ λόγου τὴν σάλπιγγα,
ἐν αὐτῇ ἐκήρυξας
τὰ θεῖα διδάγματα·
ὅθεν καὶ εἰς τόπον
10 κατεσκήνωσας χλόης
σοφῶς σου τὸ ποίμνιον
ὁδηγήσας τῆς χάριτος,
ἱεράρχα Γρηγόριε·
πρέσβευε Χριστῷ τῷ Θεῷ
15 τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου.

κάθ. Ἡ τῶν λόγων σου χάρις τῶν θεϊκῶν, quod deest in Σα Cy Pn, in MR III,11 sed in sanctum Basilium dicatum κάθ. 2 τὸ μυστικὸν MR 5 γάρ, πάτερ, ... MR 6 τοῦ λόγου om. MR 11-12 μισθοὺς τῶν ἀγώνων σου / κομισάμενος, ὅσιε, MR 13 Γρηγόριε] Βασίλειε MR 14 post πρέσβευε orat. intermittit Cg

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου, Λόγε, ὁ προφήτης*

Μυστήριον φρικτὸν γνωρίζεται τῷ κόσμῳ·
τριὰς γάρ, τοῦ Χριστοῦ σαρκὶ βαπτιζομένου,
ἐφανερώθη ἀρρήτως ἐν Ἰορδάνῃ
100 πάντα τὸν κόσμον ἁγιάζουσα.

Βέλος ἐκλεκτὸν Θεοῦ ἐδείχθης, πάτερ,
ἀναιρετικὸν βλασφήμων νοημάτων
f. 111 ἐν τῇ φα||ρέτρᾳ τοῦ λόγου τῆς ἀληθείας
πνευματικῶς εἰπεῖν σκεπόμενον.

105 Ξύλον σε ζωῆς παμφόρου εὐσεβείας,
οὗπερ τῷ καρπῷ ὁ ὄφις οὐ προστρέχει,
πεφυτευμένον ἐν μέσῳ τοῦ παραδείσου,
τῆς ἐκκλησίας, πάτερ, ἔχομεν.

Ἔχουσα τῶν σῶν δογμάτων τὰς ἐπάλξεις
110 τεῖχος νοητὸν Χριστοῦ ἡ ἐκκλησία,
τοῦ βασιλέως γνωρίζεται τοῦ μεγάλου
ὠχυρωμένη πόλις ἄσειστος.

θεοτ. Δόξα σοι τῷ ἐκ παρθένου γεννηθέντι
καὶ ἐπιφανέντι ῥύσασθαι ἐκ πλάνης
115 τοῦ διαβόλου τὸν κόσμον ὡς εὐεργέτῃ,
Χριστῷ τῷ μόνῳ ζωοδότῃ Θεῷ.

---

heirm. δ' ΕΕ 229, n. 338, Germani   97-100 troparium deest in Σα Cy Pn   101 Βέλος] Τέλος Pn   102 ἀναιρετικῶν Cg Cy τῶν αἱρετικῶν Pn   104 πνευματικῶς] προφητικῶς Σα Cy   108 ἔχομεν] ἔγνωμεν Pn   110 τῇ ἐκκλησίᾳ Cg   111-112 pro τοῦ βασιλέως ... ἄσειστος legimus in Cg: σὺ ἀνεδείχθης γρηγόριε θεορήμων / ἱεραρχῶν τὸ ἐγκαλλώπισμα   111 τοῦ μεγάλου βασιλέως γνωρίζεται Pn   112 ἄσειστον Cy   post v. 112 hoc troparium Σα tradit: Ὅλος γλυκασμὸς / ἡμῖν ἐπιθυμίας / ἐν τῇ ἡδονῇ τῶν λόγων σου ἐδείχθης / ὑπὲρ κηρίον καὶ μέλι, πάτερ, ἡδύνων / τὰ τῆς καρδίας αἰσθητήρια.   113-116 aliud θεοτ. in Σα Cy Pn: Χαίροις παρ'ἡμῶν MR III, 351

101-104 Is. 49,2   105-107 Gen. 2,9

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Τὴν γρηγοροῦσαν φρένα
ἐν μυστικοῖς θεωρήμασι πάντοτε,
πάντες τὸν θεοφόρον
120 Γρηγόριον ἐν ὕμνοις τιμήσωμεν.

Οἱ διαπλέοντές σου
f. 111v θαυμαστικῶς τῶν δογμάτων || τὸ πέλαγος,
τύχοιμεν ἐν γαλήνῃ
εὐχαῖς σου τοῦ λιμένος τῆς ἄνω ζωῆς.

125 Ἐν ἀγρυπνίαις, πάτερ,
καὶ ἐν νηστείαις καθάρας τὸν νοῦν ἑαυτοῦ,
πρὸς μετάρσιον ὕψος
οὐρανοπολίτης ἐδείχθης ἡμῖν.

θεοτ. * Ὡς βασιλίδα πάντες
130 καὶ βασιλέα τῶν ὅλων κυήσασαν,
δεῦτε σὺν τῷ ἀγγέλῳ
τὴν εὐλογημένην δοξάσωμεν.

ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Τοῦ γράμματος τὸν βότρυν λογικῶς
ἐκθλίψας, Γρηγόριε,

---

heirm. ε' ΕΕ 226, n. 323, Germani   117-120 troparium Τὴν γρηγοροῦσαν φρένα in tertia sede Σα profert   117 γρηγορῶσαν Cg Σα Cy φρέναν Cy Pn   121-124 ut secundum Σα et ut tertium Cy Pn hoc troparium referunt: Ὡς ἐραστὴς ὑπάρχων / τοῦ τῆς σοφίας χαρίσματος, ὅσιε, / γέγονας ὀρθοδόξως (ὀρθοδόξων Cy Pn) / γεννήτωρ (γεννητόρων Pn) νοημάτων τοῦ πνεύματος. 121-124 troparium Οἱ διαπλέοντές σου ut primum Σα tradit   123 τύχωμεν Cg Cy Pn   125-138 troparium om. Σα Cy Pn   129-132 θεοτ. MR 1,31; aliud θεοτ. in Cy: Τῶν Χερουβὶμ φανεῖσα / τιμιωτέρα, παρθένε πανύμνητε, / πρέσβευε τῷ υἱῷ σου / σῶσαι τὰς ψυχὰς τῶν ὑμνούντων σε.   130 καὶ] τὸν Pn   κυήσασα Cg Σα   132 δοξάσωμεν] τιμήσωμεν Σα
heirm. ς' ΕΕ 224, n. 321, Joannis   133 λογικῶς] μυστικῶς Pn

135 τὸν οἶνον τοῦ πνεύματος
τὸν εὐφραίνοντα καρδίαν, πάτερ, ἤντλησας.

Ξηράνας Εὐνομίου θολερῶν
δογμάτων τὸν χείμαρρον,
Γρηγόριε πάνσοφε,
140 ποταμὸς τῆς εὐσεβείας ἐγνωρίσθης ἡμῖν.

Γρηγόριον ὑμνήσωμεν, πιστοί,
τὸν πλοῦτον τῆς πίστεως
ἡμῖν θησαυρίσαντα
καὶ θεωρίαις μυστικαῖς ἡμᾶς φωτίσαντα.

θεοτ. 145 * Ἡ μόνη διὰ λόγου ἐν σαρκὶ
τὸν Λόγον κυήσασα,
ῥῦσαι δεόμεθα
τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον.
Ἦχος β'. *Τὴν ἐν πρεσβείαις*

f. 112 || Τῆς ἐκκλησίας
ὁ ἔνθεος ἱεράρχης
....

Ὁ οἶκος. *Τράνωσόν μου*

Αἴγλη φρικτῇ
ὁ λάμψας ἐν κόσμῳ
....

---

136 καρδίας Σα Cy Pn 137 Ξηραίνεις Σα Cy θολερὸν Cy Pn 139 πάνσοφε] ὅσιε Σα Cy 140 γνωρισθεὶς Σα Cy 141-144 pro Γρηγόριον ὑμνήσωμεν... hoc troparium Σα refert: Τῷ βίῳ καὶ τὸν λόγον εὐσεβῶς / τὸν σὸν κατεκόσμησας / ἐν τούτῳ κοσμούμενος, / Γρηγόριε ἱεράρχα παμμακάριστε. in loco huius troparii Γρηγόριον... hoc Cy substituit: Εἰρήνευσον τὸν κόσμον, ἀγαθέ, / καὶ σῶσον οὓς ἔπλασας / πρεσβείαις δεόμεθα / τοῦ ἁγίου ἱεράρχου, ὁ Θεὸς ἡμῶν. et Pn diversum profert: Ἀγρεύσας τῶν ποιμένων ὁ ποιμὴν / τοὺς λύκους, Γρηγόριε, / τῇ ποίμνῃ συνήρμοσας / καὶ εἰς προβάτων ἡμερότητα μετέβαλες. 145-148 θεοτ. MR I,183 145 Ἡ om. Pn

κοντάκ. Τῆς ἐκκλησίας et οἶκ. Αἴγλη φρικτῇ MR III, 197; eadem om. Σα Cy Pn

---

135-136 Ps. 103,15

Ἄλλο.
Ἦχος δ'.
Τῆς σοφίας τὸν πολυποίκιλον λειμῶνα
....

⟨Ὁ οἶκος.⟩
Σήμερον τὸν ποταμὸν τοῦ Θεοῦ τὸν μέγαν
....

f. 112ᵛ ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

Ὁ παρασχὼν
150 τῷ σοφῷ ἱεράρχῃ
τὴν δύναμιν τοῦ ἁγίου πνεύματος,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Καὶ σιωπῶν
155 ταῖς ἀρεταῖς σου, πάτερ,
πάντας ἡμᾶς ἐδίδαξας κραυγάζειν·
« εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Ὁ τὴν ἰσχὺν
160 παρασχὼν τῷ ὁσίῳ

κοντάκ. Τῆς σοφίας... et οἶκ. Σήμερον τὸν ποταμὸν..., quae Σα Cy Pn om., in PAS I,369.

heirm. ζ' EE 226, n. 323, Germani 149-153 troparium Ὁ παρασχὼν ut tertium Σα profert 151 τὴν δύναμιν πνεύματος τοῦ ἁγίου Pn 152.157 post εὐλογητὸς laudem varie intermittunt Cg Cy Pn 154-158 troparium Καὶ σιωπῶν in prima sede Σα ponet 156 ἐκδιδάσκεις κραυγάζων Σα 154-158 ut secundum hoc troparium unus e quattuor cdd. Σα tradit: Ὁ νικητὴν / τὸν ἱεράρχην δείξας / καὶ δι' αὐτοῦ τὰς αἱρέσεις διώξας, / εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, / κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν. 159-163 troparium deest in Σα Cy; Pn vero hoc dissimile refert: Τὴν δυσσεβῆ / Εὐνομίου μανίαν / τοῖς δόγμασι τοῖς ἐνθέοις σου, πάτερ, / ἐξαφανίσας, τῇ οἰκουμένῃ / κατετράνωσας σοφῶς τὴν εὐσέβειαν.

καταβαλεῖν ἐχθροῦ τὰς ἐπινοίας,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

θεοτ. * Ὁ ἐν γαστρὶ
165 τῆς παρθένου οἰκήσας
καὶ ἐν αὐτῇ τὸν Ἀδὰμ ἀναπλάσας,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

ᾠδὴ η′. *Τὸν ἐν ὄρει*
ἁγίῳ δοξασθέντα

Τὸν ἐν πίστει,
170 ἐλπίδι καὶ ἀγάπῃ
καὶ τῷ ὕψει
τῶν θείων διδαγμάτων
πνευματικῶς τὸν ὅσιον κοσμήσαντα
κύριον, ὑμνεῖτε
175 καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

. 113 ‖ Τὸν ὁπλίτην
τῆς θείας πανοπλίας
ἀναδείξαντα
180 τὸν μέγαν ἱεράρχην
τῆς ἀσεβείας φάλαγγα τροπούμενον
κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

164-168 θεοτ. MR V, 116 164 Ὁ om. Pn 167 post εἶ varie invocationem abrumpunt Cg Cy
heirm. η′ EE 226, n. 323, Germani 173 πνευματικῶς] καὶ πνεύματι Cy 174. 182 post κύριον laudem varie detruncant Cg Cy Pn 180-181 γρηγόριον τὸν μέγαν / τῆς εὐσεβείας φλόγα τροπωσάμενον Pn

185 Τῶν ἐνθέων
διδάσκαλον δογμάτων
καὶ ἀναιρέτην
βλασφήμων διδαγμάτων
τὸν ἱεράρχην πᾶσιν ἀναδείξαντα
190 κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

θεοτ. Τὸν ἐν μήτρᾳ
ἀσπόρως τῆς παρθένου
195 τὴν τοῦ δούλου
μορφὴν ἀναλαβόντα
καὶ ἐπιφανέντα κόσμου εἰς σωτηρίαν
κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
200 αὐτὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ′. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Τὸν ἐπιφανέντα τῇ οἰκουμένῃ σωτῆρα
καὶ περιβαλλόμενον Ἰορδάνου τὰ ῥεῖθρα
καὶ ἁγιάσαντα τῶν ὑδάτων τὴν φύσιν
ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

205 Ἔθετο ἐρήμους φρένας εἰς λίμνας ὑδάτων,
τὰς τοῦ πνεύματος, ὅσιε, διαυγεῖς θεωρίας,

185-192 troparium om. Cy; Σα autem hoc dissimile refert: Τὸν φωστῆρα / Χριστοῦ τῆς ἐκκλησίας / καὶ τῶν λόγων / τοῦ πνεύματος τὴν λύραν, / τὸν ἱεράρχην ἅπαντες τιμήσωμεν, / κύριον ὑμνοῦντες / καὶ δοξολογοῦντες / εἰς πάντας τοὺς αἰῶνας; Pn etiam aliud servat: Καταχρέως / τὴν σὴν τελοῦντες μνήμην, / θεομύστα / Γρηγόριε παμμάκαρ, / ὑπὲρ ἡμῶν πρεσβεύειν δυσωποῦμέν σε· / πίστει γὰρ θαρροῦμεν / ἔχειν σε πολλὴν / πρὸς Θεὸν τὴν παρρησίαν. 190. 198 post ὑμνεῖτε laudem excidit Cg 193-200 θεοτ. aliud in Σα Cy Pn: Τὸν ἐν μήτρᾳ / οἰκήσαντα παρθένου (παρθένος Cy) / καὶ ἐν ταύτῃ / φρικτῶς καὶ ὑπὲρ λόγον / τὸν παλαιὸν Ἀδὰμ ἀναπλάσαντα (ἀνακαινίσαντα Pn) / κύριον ὑμνοῦμεν... (κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε... Pn) 196 ἀναλαβῶτα Cg 197 κόσμον Cg
heirm. θ′ EE 226, n. 324, Germani 201-204 troparium om. Σα Cy Pn 205-208 troparium ut primum servant Σα Cy Pn

---

205 Ps. 106,35

f. 113v ἡ θεϊκὴ διδα||χή σου τῶν λόγων
ἄβυσσον αἱρέσεων ξηράνασα.

Τοὺς τῶν ἀρετῶν χαρακτῆρας δι' ἐγκρατείας
210 εὐσεβείας χρώμασιν ἑαυτῷ συμμορφώσας,
ἀληθῶς τοῦ Θεοῦ κατ' εἰκόνα
τὴν ψυχήν σου ἔδειξας, μακάριε.

Μνήσθητι τῆς ποίμνης σου, πάτερ ἱεροκῆρυξ,
παρρησίαν, ἔνδοξε, πρὸς Θεὸν κεκτημένος,
215 ἵνα μείνῃ ἀνεπηρέαστος πάντων
τῶν τοῦ διαβόλου κακοτέχνων βουλῶν.

θεοτ. Διὰ σοῦ εἰδώλων ἐρρύσθημεν, θεοτόκε,
διὰ σοῦ σεβόμεθα την ἁγίαν τριάδα,
διὰ σοῦ δυσωποῦμεν συνήθως,
220 ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

---

207 θεϊκὴ] ἀπλανὴς Pn 208 ξηράναντα Cg 209-212 troparium deest in Cy 210 ἐμμορφώσας Σα εὐμορφώσας Pn 212 μακάριε] γρηγόριε Pn ut secundum Σα Cy et ut tertium Pn hoc troparium proferunt: Σὺ τῇ βακτηρίᾳ τῆς θείας διδασκαλίας / τὸν λαὸν ποιμάνας, ἱερομύστα κυρίου, / καὶ διώξας τὰς θεομάχους αἱρέσεις, / στέφανον ἐδέξω τὸν τῆς χάριτος; Cy vero in tertia sede hoc dissimile troparium tradit: Σὺ τῇ ἀχωρίστῳ τριάδι, ἱερομύστα, / ὑπερεντυγχάνεις τῶν λογικῶν σου θρεμμάτων, / ἵνα εὕρωμεν διά σοῦ, ἀθλοφόρε, / ἔλεον καὶ χάριν καὶ ψυχῶν φωτισμόν. 213-216 troparium om. Σα Cy Pn 215 ἀνεπερέαστος Cg 217-220 diversum θεοτ. in Σα Cy Pn: Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα... MR II, 270

IN OCTAVAM EPIPHANIAE ET IN SS. THEOPHILUM ET HELLADIUM

Synaxarium, 377: .....ἄθλησις τῶν ἁγίων μαρτύρων Θεοφίλου διακόνου καὶ Ἑλλαδίου λαϊκοῦ. Οὗτοι ὑπῆρχον ἐκ Λιβύης· συσχεθέντες δὲ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, ἤχθησαν ἐπὶ τοῦ ἀνθυπάτου. Καὶ ἐπιμείναντες τῇ πίστει, ξέονται καὶ δεθέντες χεῖρας καὶ πόδας, πυρὶ κατὰ τῶν μεταφρένων καίονται καὶ ὀστράκοις ὀξέσι κατακεντοῦνται· ἐπὶ πολὺ δὲ τῆς βασάνου παραταθείσης, ἀπέδωκαν τὰς ψυχάς.

Crypt. Δ.α. XV = Cg, ff. 115v-121

Ὁ κανών.

Ἦχος πλ. α'.

ᾠδὴ α'. *Θεὸς ἐφάνη ἐπὶ γῆς*
λυτρωσάμενος τὸ γένος ἡμῶν
ἐξ εἰδωλομανίας·
αὐτῷ μόνῳ ᾄσωμεν·
5 *ἐνδόξως γὰρ δεδόξασται.*

f. 116 || Χριστὸς βαπτίζεται σαρκὶ
καὶ καθαίρει γένος βρότειον
ἐκ παθῶν ἀλογίας·
αὐτῷ μόνῳ ᾄσωμεν·
5 ἐνδόξως γὰρ δεδόξασται.

Χριστὸς βαπτίζεται σαρκὶ
ἐν τοῖς ῥείθροις Ἰορδάνου ἑκὼν

Cg, alternatis odis, duos canones hoc ordine praebet: priorem (ff. 115v-120v) in sanctum Theodosium (inc. Ὡς σοφὸς ταξίαρχος) MR III,206, alterum (ff. 115v-121) quem referimus

tit. Ἕτερος κανὼν μεθεόρτιος καὶ τῶν μαρτύρων heirm. α' EE 146, n. 204, sinaiticus: ultimus vero versus in EE deest 5 post ἐνδόξως orat. detruncatur

ὑπὸ τοῦ Ἰωάννου
καὶ πνεύματι καθαίρει
10 τὰς ἁμαρτίας ἡμῶν.

Ὁ βαπτισθεὶς ὑπὲρ ἡμῶν
καὶ φωτίσας τὰς ψυχὰς ἡμῶν,
Ἰησοῦ εὐεργέτα,
τὸ πνεῦμά σου παράσχου
15 ἡμῖν τοῖς προσκυνοῦσί σε.

ῶν μαρτύρων

Ὁ μεγαλύνας ἐπὶ γῆς
Ἑλλαδίου τὸ μνημόσυνον
Θεοφίλου τε ἅμα,
Χριστέ, δόξα τῷ κράτει σου
20 σὺν πατρὶ καὶ τῷ πνεύματι.

Θεοφανείας, ἀθληταί,
μυστικῶς ἀξιωθέντες, καλῶς
ἐν σταδίῳ τὸν δρόμον
τελέσαντες, ηὕρασθε
25 ζωὴν τὴν ἀτελεύτητον.

εοτ.

Φῶς τὸ ἀπρόσιτον ἡμῖν,
θεοτόκε, ἀπεκύησας
τὸ φωτίζον τὸν κόσμον,
Χριστόν, ὃν δοξάζοντες
30 σὲ πόθῳ μακαρίζομεν.

ᾠδὴ γ΄. *Ἐπὶ τὰ ἔθνη*
ὁ Θεὸς ἐβασίλευσε

Τῷ βαπτισμῷ σου
ἐφωτίσθημεν, κύριε,
116ᵛ ἐπιγνόν||τες τὴν ἄκτιστον

---

heirm. γ΄ EE 135, n. 189, Germani

22-24 cfr. II Tim. 4,7

καὶ ἁγίαν τριάδα ὑμνεῖν
35 καὶ πάσης ἀλογίας
ἐρρύσθημεν καὶ θνητότητος.

Ἐν Ἰορδάνῃ
βαπτισθεὶς ὁ σωτὴρ ἡμῶν,
τὴν τοῦ δράκου ἔθλασεν
40 κεφαλὴν ἐν τῷ ὕδατι
καὶ πάντας ἐκ φθορᾶς
καὶ θανάτου ἐρρύσατο.

Υἱοθεσίας
μετασχόντες ἐνδύματι
45 τῷ σεπτῷ σου βαπτίσματι,
ἀναμάρτητε κύριε,
υἱοὶ καὶ κληρονόμοι
τῆς δόξης σου ἠξιώμεθα.

τῶν μαρτύρων

Τοὺς ἀραμένους
50 τὸν σταυρὸν ἐν τοῖς ὤμοις αὐτῶν
καὶ τῷ κτίστῃ ἀεὶ
ἀκολουθήσαντας μάρτυρας,
Ἑλλάδιον ὁμοῦ
καὶ Θεόφιλον, ἀνυμνήσωμεν.

55 Ἐλέου θείου
καὶ χρηστότητος γέγονας
πρακτικῶς, ὦ Ἑλλάδιε,
ἱλαρῶς, φερωνύμως δοτήρ·
φιλόπτωχος διὸ
60 δὴ καὶ ὤφθης, ὡραιόψυχε.

θεοτ.

Τὸν ἐν τριάδι
προσκυνούμενον Λόγον ἡμῖν
ἀπειράνδρως ἐγέννησας,
θεοτόκε ἀμίαντε,
65 καὶ ἔσωσας, ἁγνή,
τοὺς ὑμνοῦντάς σε τῆς ἀρχαίας ἀρᾶς.

---

heirm. δ΄ EE 135, n. 189, Germani

49-52 cfr. Matth. 16,24-25

f. 117 ᾠδὴ δ'. *Τὰ ἔργα ,*
τῆς οἰκονομίας σου, κύριε

Τὸ φῶς σου,
ὃ ἐν Ἰορδάνῃ ἀνέτειλας,
σωτὴρ ἡμῶν,
70 θεασάμενοι φαιδρῶς,
τὴν βάπτισιν
f. 117v ὑμνολο||γοῦμεν βοῶντες·
« φιλάνθρωπε, δόξα τῇ ἐπιφανείᾳ σου ».

Ὁ κόσμος
75 ἐν τῷ βαπτισμῷ σου ἡγίασται,
πεφώτισται,
φωτοδότα Ἰησοῦ·
ἐπέφανες
καὶ τοῖς ἀνθρώποις συνανεστράφης,
80 σωτήρ, πτωχεύσας· διὸ ὑμνοῦμέν σε.

Ἐβόα
Ἰωάννης τρέμων πρὸς κύριον·
« σύ με, σωτήρ,
βάπτισον, ἁγίασον
85 τὸν δοῦλόν σου·
χειροθετῆσαι γὰρ οὐ τολμῶ σε·
καὶ γὰρ ἐγὼ ἐκ στείρας γεγέννημαι ».

τῶν μαρτύρων Τῷ πλούτῳ
τῷ τοῦ παναγίου σου πνεύματος
90 ἐνέπλησας
τοὺς ἁγίους σου, Χριστέ,
Ἑλλάδιον
σὺν Θεοφίλῳ ἐπαξίως,
τοῖς θαύμασι τὸν κόσμον πλουτίζοντας

95 Τῷ ὅπλῳ
τῷ τοῦ σωτηρίου, ἀήττητοι μάρτυρες,
Ἑλλάδιε
καὶ Θεόφιλε, αὐτοὶ
τὸν δόλιον

---

94 πλουτίζοντες

100 κατατοξεύσαντες Βελίαρ,
ἀγγέλων ἀνεδείχθητε σύσκηνοι.

θεοτ. * Ἡ παρθένος
ἐν γαστρὶ συνέλαβε, κύριε,
καὶ ἔτεκε
105 σὲ τὸν Ἐμμανουήλ·
ἐξῆλθες γὰρ
εἰς σωτηρίαν λαοῦ σου
τοῦ σῶσαι τοὺς χριστούς σου, φιλάνθρωπε.

f. 118 || ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε, σῶσον ἡμᾶς*

Ἡ βάπτισίς σου, κύριε, πᾶσαν τὴν οἰκουμένην
110 ἐκ σκότους ἐρρύσατο
καὶ ἀγνωσίας, φιλάνθρωπε.

Τὴν βάπτισίν σου, κύριε, πάντες ἐν ἐπιγνώσει
δοξάζομεν λέγοντες·
« Χριστὲ σωτὴρ ἡμῶν, δόξα σοι ».

115 Ἐφώτισας, φιλάνθρωπε, πάντας τῷ βαπτισμῷ σου·
διό σοι κραυγάζομεν·
« Χριστὲ σωτὴρ ἡμῶν, δόξα σοι ».

τῶν μαρτύρων Ἐνίκησαν Ἑλλάδιος ἅμα καὶ Θεόφιλος
τὸν δόλιον δράκοντα,
120 πιστῶς ὁμοῦ ἐναθλήσαντες.

Κατέσβεσαν οἱ μάρτυρες κάμινον τῶν βασάνων·
εἶχον γὰρ τὸ ἅγιον
τοῦ κτίστου πνεῦμα δροσίζον αὐτούς.

θεοτ. Τὸ « χαῖρέ » σοι κραυγάζομεν ἅπαντες, θεοτόκε,
125 οἱ διὰ τοῦ τόκου σου
Ἀδὰμ ῥυσθέντες τοῦ πτώματος.

102-108 θεοτ. TR 181 108 post τοῦ cetera om. cd.
heirm. ε' EE 132, n. 183, Joannis

102-105 Is. 7,14

ᾠδὴ ς΄. *Τοῦ κήτους τὸν προφήτην ἐλυτρώσω*

Ἐβαπτίσθη
ἐν σαρκὶ ὁ ἀναμάρτητος,
ἐφωτίσθη
130 δι᾽ ἡμᾶς ὁ ὑπερούσιος
Χριστὸς ὁ Θεὸς ἡμῶν,
ἵνα φωτίσῃ ἡμᾶς.

Ἰωάννης
μετὰ φόβου τε καὶ τρόμου
135 τὸν δεσπότην
ἐν τοῖς ῥείθροις Ἰορδάνου
βαπτίσας, ἀνέκραζεν·
« ἴδε ἀμνὸς τοῦ Θεοῦ ».

Ἰορδάνης
140 ἀπεστρέφετο τὰς ὄψεις,
f. 118ᵛ εἰς φυγὴν ‖ δὲ
καὶ ἡ θάλασσα ἐτράπη
ὁρῶντες τὸν κύριον
γυμνὸν ἑστῶτα ὡς ἄνθρωπον.

τῶν μαρτύρων Ἑλλαδίου,
146 Θεοφίλου τε ἡ μνήμη
τοὺς τελοῦντας
αὐτὴν ῥύεται ἐκ πάσης
ἀσθενείας καὶ θλίψεως
150 καὶ περιστάσεως.

Παρρησίαν
κεκτημένοι πρὸς τὸν κτίστην,

---

heirm. ς΄ EE 135, n. 188, Andreae. 152 κεκτημένος

---

138 Joh. 1,29 139-142 Ps. 113,3

τοῦ ῥυσθῆναι
δυσωπεῖτε, ἀθλοφόροι,
155 ἐξ ὀργῆς καὶ θλίψεως
τοὺς ἀνυμνοῦντας ὑμᾶς.

τριαδ. Τὴν τριάδα
ὀρθοδόξως προσκυνοῦμεν·
ὁ πατὴρ γάρ,
160 ὁ υἱὸς καὶ θεῖον πνεῦμα
τῇ φύσει Θεός ἐστιν·
εἷς ἡ τριὰς καὶ μονάς.

f. 119ᵛ ᾠδὴ ζ΄. *Εὐλογητὸς εἶ, ὁ Θεός, ὁ βλέπων ἀβύσσους*

Εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ ἐν Ἰορδάνῃ
165 τὴν κεφαλὴν συνθλάσας τοῦ δράκοντος
καὶ ὑπερύμνητος καὶ ὑπερένδοξος.

Εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τὸν Ἰωάννην
καὶ Βαπτιστὴν καὶ Πρόδρομον δείξαντα
170 καὶ ὑπερύμνητος καὶ ὑπερένδοξος.

Εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ σάρκα φορέσας
καὶ βαπτισθεὶς καὶ σώσας τὸν ἄνθρωπον
καὶ ὑπερύμνητος καὶ ὑπερένδοξος.

τῶν μαρτύρων Εὐλογητὸς εἶ, ὁ Θεός,
176 ὁ δι᾽ Ἑλλαδίου
καὶ Θεοφίλου σώσας τὸν ἄνθρωπον
καὶ ὑπερύμνητος καὶ ὑπερένδοξος.

157-162 pro τριαδ. mentis evagationis causa amanuensis θεοτ. scripsit 161 θεῷ
heirm. ζ΄ EE 135, n. 188, Andreae 169 δείξαντα pro δείξας metri causa habeas 170. 174. 178. 182. 186. post ὑπερύμνητος orat. detruncat

Εὐλογητὸς εἶ, ὁ Θεός,
180 ὁ τοὺς ἀθλοφόρους
ἐπουρανίοις τάξας σκηνώμασι
καὶ ὑπερύμνητος καὶ ὑπερένδοξος.

θεοτ. Εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ ἐκ τῆς παρθένου
185 σαρκὶ τεχθεὶς καὶ σώσας τὸν ἄνθρωπον
καὶ ὑπερύμνητος καὶ ὑπερένδοξος.

f. 120 ᾠδὴ η'. *Τὸν ποιητὴν τῆς κτίσεως*

Σοῦ βαπτισθέντος, κύριε,
ὁ κόσμος πεφώτισται, ἡγίασται,
τῆς ἐσκοτισμένης
190 ῥυσθεὶς πολυθεΐας.

Ὁ Βαπτιστὴς καὶ Πρόδρομος
δειλιάσας, ἔτρεμεν ὁρῶν σε γυμνὸν
ἐν τῷ Ἰορδάνῃ,
Χριστέ, καὶ κατεπλάγη.

195 Τὸ φῶς σου τὸ ἀπρόσιτον,
ὃ ἐν Ἰορδάνῃ καθυπέδειξας,
σῶτερ, τῷ λαῷ σου
κατάπεμψον ἐξ ὕψους.

τῶν μαρτύρων Σὺν Θεοφίλῳ ἅπαντες
200 τὸν σοφὸν Ἑλλάδιον ὑμνήσωμεν
ὡς ὑπὲρ κυρίου
ἀθλήσαντας νομίμως.

Ὡς παρρησίαν ἔχοντες,
Ἑλλάδιε μάρτυς καὶ Θεόφιλε,
205 ῥύσασθε κινδύνων
ἡμᾶς εἰς τοὺς αἰῶνας.

---

heirm. η' EE 135, n. 188, Andreae

Ὁ βαπτισθεὶς ἐν σώματι
ἁγίασον, σῶσον τὰς ψυχὰς ἡμῶν
ταῖς ἱκεσίαις,
210 Χριστέ, τῶν ἀθλοφόρων.

θεοτ. Ὃν ὑπὲρ φύσιν, ἄχραντε,
καὶ ἔννοιαν τέτοκας, Χριστὸν τὸν Θεόν,
πρέσβευε σωθῆναι
τοὺς πίστει σε ὑμνοῦντας.

f. 120v ᾠδὴ θ'. *Σὲ τὴν θεομήτορα παρθένον ἁγνὴν
καὶ τῶν Χερουβὶμ ἁγιωτέραν
ἐν φωναῖς ᾀσμάτων μεγαλύνομεν.*

215 Σὲ τὸν βαπτισθέντα ἐν σαρκὶ δι' ἡμᾶς
ὑπὸ Ἰωάννου τοῦ Προδρόμου
Ἰορδάνου ῥείθροις μεγαλύνομεν.

Σὲ τὸν διὰ σπλάγχνα οἰκτιρμῶν, ἀγαθέ,
ἐν τοῖς Ἰορδάνου βαπτισθέντα ῥείθροις
220 ὡς σωτῆρα πάντων μεγαλύνομεν.

f. 121 ‖ Φώτισον τοὺς δούλους σου, Χριστὲ ὁ Θεός,
ὁ βαπτισθεὶς ἐν ῥείθροις Ἰορδάνου
καὶ τὸ πνεῦμα πᾶσί σου κατάπεμψον.

τῶν μαρτύρων Χάριν ἰαμάτων εἰληφότες ἀεί,
225 Ἑλλάδιε θεόφρον καὶ Θεόφιλε,
ἀσθενείας πάσης ἡμᾶς ῥύσασθε.

Ἔχοντες πρὸς κύριον πολλὴν τὴν στοργήν,
Θεόφιλε παμμάκαρ καὶ Ἑλλάδιε,
τοὺς ὑμᾶς ἀνυμνοῦντας περισώσατε.

230 Κύριε, πρεσβείαις τῶν ἁγίων σου νῦν
μαρτύρων Ἑλλαδίου καὶ Θεοφίλου
ἡμᾶς ἀνάγκης λύτρωσαι καὶ θλίψεως.

θεοτ. Χαῖρε, κεχαριτωμένη θεοτόκε ἁγνή,
δι' ἧς τῆς σωτηρίας ἠξιώθημεν
235 οἱ πιστῶς τιμῶντες τὴν εἰκόνα σου.

---

heirm. θ' ineditus

11 IAN. *CANON* XXII

IN SANCTUM THEODOSIUM COENOBIARCHAM

Synaxarium, 383-385: ..... Οὗτος ἦν ἐκ κώμης Μαγαρισοῦ τῆς Καππαδοκῶν ἐπαρχίας..... Ἐγένετο δὲ μοναχός· καὶ πρῶτον μὲν ἀπῆλθεν εἰς Ἀντιόχειαν..... εἶτα εἰς τὰ Ἱεροσόλυμα, ἐκεῖθεν δὲ κατήντησεν εἰς τὴν ἔρημον, ἐπὶ τριάκοντα χρόνους ἄρτον μὴ φαγών..... Ὅθεν πλεῖστα θαύματα ἐποίησε καὶ μοναστήρια πολλὰ συνεστήσατο καὶ δαίμονας διὰ προσευχῆς ἐδίωξε..... καὶ ἐν ὅλῳ τῷ κόσμῳ διὰ τὴν ἀρετὴν περιβόητος ἐγένετο .....

Crypt. Δ.α. XXIV = Cy, ff. 133-134ᵛ

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Τὸ τῆς ἐρήμου κάλλιστον θρέμμα,
τῆς οἰκουμένης ὁ φωστὴρ
καὶ καθηγητὴς τῶν μοναστῶν Θεοδόσιος
συνήγαγε νῦν ἡμᾶς
5 πανηγυρίσαι τὴν φαιδρὰν αὐτοῦ μνήμην.

Τὴν ἀξιέπαινον πολιτείαν
καὶ τὴν ἐνάρετον ζωὴν
πάντες τοῦ ὁσίου κατ' ἀξίαν τιμήσωμεν·
μεγάλως γὰρ ἐπὶ γῆς
10 πολιτευσάμενος, ἐμεγαλύνθη.

θεοτ. * Ἡ συλλαβοῦσα τὸν πρὸ αἰώνων
ἄναρχον Λόγον τοῦ πατρὸς
καὶ σαρκὶ τεκοῦσα ὑπὲρ λόγον, πανύμνητε,
ἱκέτευε ἐκτενῶς
15 τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ κινδύνων.

---

heirm. α' EE 229, n. 328, Germani
11-15 θεοτ. MR I, 28   11 Ἡ] Ὡς MR   15 ἐκ τῶν ... MR

ᾠδὴ γ'. *[Οὐκ ἔστιν ἅγιος
ὡς ὁ κύριος]*

Τὴν σάρκα ἐσταύρωσας
σὺν τοῖς παθήμασι τοῖς σοῖς
καὶ τὸν νοῦν ἀνεπτέρωσας
δυνάμει τοῦ πνεύματος·
20 διὸ καὶ μετ' ἀγγέλων
αὐλίζῃ, πανσεβάσμιε,
πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

Τὸν ἄσειστον πύργον σου
οὐ κατέαξεν εἰς γῆν
25 ὁ τῶν δικαίων ἀντίπαλος,
τὸν νοῦν οὐκ ἐσάλευσεν,
οὐκ ἐλυμήνατο, πάτερ,
f. 133ᵛ || τὸν πλοῦτον τὸν ἄσυλον·
Χριστὸν γὰρ εἶχες φύλακα.

θεοτ. 30 * Παρθένος ἔτεκες,
ἀπειρόγαμε,
καὶ παρθένος ἔμεινας,
μήτηρ ἀνύμφευτε,
θεοτόκε Μαρία·
35 Χριστὸν τὸν Θεὸν ἡμῶν
ἱκέτευε σωθῆναι ἡμᾶς.

ᾠδὴ δ'. *[Εἰσακήκοα τὴν ἀκοήν σου, κύριε,
καὶ ἐφοβήθην]*

Ἀριστεύοντι τῷ θεοφόρῳ, κύριε,
κατὰ τῆς πλάνης
καὶ ἀόπλως συμπλακέντι

---

heirm. γ' Οὐκ ἔστιν ἅγιος / ὡς ὁ κύριος cd. (cfr. EE 226, n. 323, Germani), sed metro stropharum minime aptatur (cfr. p. 206)   30-36 θεοτ. MR II,264   33 ἀνύμφευτε] ἀπείρανδρε MR
heirm. δ' Εἰσακήκοα τὴν ἀκοήν σου κύριε cd. (EE 235, n. 337, Stephani Sabaitae), sed metro stropharum minime aptatur

40 ἐν μέσῳ τῆς ἐρήμου δέδωκας χάριν
καὶ θάρσος καὶ ἀνδρείαν,
ἵνα νικήσῃ τὸν ἀντίπαλον.

Τοῖς ἱδρῶσί σου τὸ τῆς ἐρήμου ἄγονον
ἀρδεύσας, πάτερ,
45 τὰς καρδίας τῶν ἀνθρώπων
ἐγεώργησας λόγῳ· πλήθη δραγμάτων
δρεψάμενος, ἀπέθου
εἰς ἀποθήκας τῆς ἀπόνου ζωῆς.

θεοτ. Τὸν ἐκ μήτρας σου ἀφράστως Θεὸν Λόγον
50 τεχθέντα ⟨⏑́ —⟩
ὑπὲρ ἡμῶν δυσωποῦσα
μὴ παύσῃ, θεοτόκε, ὅτι εἰς σὲ
⟨— ⏑́⟩ ἀποσκοποῦμεν
τὴν σωτηρίαν ἐκδεχόμενοι.

ᾠδὴ ε'. *Μυστικῶς ὁ προφήτης προορῶν*

55 Πρὸ ἑωσφόρου λάμψας ἐκ πατρὸς
τὸ ἀνέσπερον φῶς, Ἰησοῦ ὁ Θεός,
τῆς ἁμαρτίας τὴν νύκτα,
ἥλιε Χριστέ, διεσκέδασας.

Τὸν ἀγελάρχην πάντες τὸν σοφὸν
60 καὶ πιστὸν τῆς ἐρήμου οἰκήτορα
οἱ τῆς ἐρήμου πολισταὶ
ἀξιοπρεπῶς μακαρίσωμεν.

Τὴν διπλοΐδα, πάτερ, στολισθεὶς
τῆς ἀμώμου λατρείας, πανάγνοις εὐχαῖς
65 ἱερατεύειν ἐτάχθης
τῇ θεολατρεύτῳ τραπέζῃ Χριστοῦ.

50.53 si vis, quamquam sententia absoluta patet, metricam lacunam implere potes: τεχθέντα ⟨μήτηρ⟩ / ⟨πιστῶς⟩ ἀποσκοποῦμεν
heirm. ε' EE 226, n. 323, Germani

θεοτ. Χαῖρε, πύλη ἁγία νοητή,
δι' ἧς ὁ ἄσαρκος Λόγος, ἐν σοὶ εἰσελθών,
σεσαρκωμένος ἐξῆλθεν
70 ἄφθορον φυλάξας τὴν μήτραν σου.

ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

f. 134 ‖ Θρεμμάτων προηγήσω λογικῶν
πλατύνας τὰς μάνδρας σου,
ποιμὴν Θεοδόσιε,
καὶ πυκνώσας τὰς ἐρήμους τῇ ἀθροίσει αὐτῶν.

75 Ἡ εὔλαλός σου πηκτὶς
κηρύττει τὰ ἔργα σου,
φωστὴρ Θεοδόσιε,
καὶ ἡ ἔρημος βοᾷ σου τὰ παλαίσματα.

θεοτ. * Ἡ μόνη διὰ λόγου ἐν σαρκὶ
80 τὸν Λόγον κυήσασα,
ῥῦσαι δεόμεθα
τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ ζ'. *Ὁ τοὺς παῖδας δροσίσας ἐν καμίνῳ*

Γεωργὲ τῆς ἐνθέου πολιτείας,
φυτουργὲ τῶν ἐν γνώσει
85 πρακτικῶν σου κατορθωμάτων,
ἀεὶ προσεύχου, ὅσιε,
καρποὺς ἀξίους βλαστάνειν ἡμᾶς.

Τοῦ μικροῦ σου ποιμνίου, θεοφόρε,
μνημονεύειν ἀπαύστως
90 πρὸς τὸν κτίστην μὴ ἐπιλάθου,

---

heirm. ς' EE 224, n. 321, Joannis librarius v. 74 in loco v. 78 substituit 75 ποικτὴ 79-82 θεοτ. MR I,183
heirm. ζ' EE 229, n. 328, Germani 83 πολιτείας] ποτείας

---

67 Ez. 44,2

ἵνα ῥυσθῶμεν ἅπαντες
ἐκ πειρασμῶν ταῖς πρεσβείαις σου.

θεοτ. * Τὸν ἐκ σοῦ σαρκωθέντα ὑπὲρ λόγον
δυσωποῦσα μὴ παύσῃ,
95 ἀπειρόγαμε θεοτόκε,
ἐκ τῶν παγίδων ῥύσασθαι
τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ η'. *Τὸν τοῦ παντὸς δημιουργὸν*

Πᾶσα ἡ ἔρημος ὑμνεῖ
τῆς ἐρήμου τὸν ἀρχαῖον πολιστὴν
100 καὶ τὰ ποίμνια πάντα
χορεύει πανηγυρίζοντα.

Τὸν τὴν ἀκρόπολιν ἡμῖν
ὑποδείξαντα τῶν θείων ἀρετῶν
Θεοδόσιον πάντες
105 ὕμνοις εὐφημήσωμεν.

τριαδ. Τριὰς ἀμέριστε, μονὰς
τρισυπόστατε, ὁμότιμε Θεέ,
ἀκατάληπτε πάτερ,
υἱὲ καὶ θεῖον πνεῦμα, εἰρήνευσον τὸν κόσμον.

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει*

110 Ἄγαλμα καὶ ζῶσα εἰκὼν
καὶ στήλη πατέρων
καὶ ὑπόδειγμα, ὅσιε,

93-97 θεοτ. MR III, 353 95 ἀπειρόγαμε] ὑπερύμνητε MR
heirm. η' Τὸν τοῦ παντὸς δημιουργὸν EE in serie heirmorum ἦχ. πλ. δ' non profert, sed eisdem verbis ἦχ. πλ. α' in EE 135, n. 189 invenitur 103 ὑδοδείξαντα 106-109 pro τριαδ. in codice θεοτ. exaratum est 109 εἰρήνευσον τὸν κόσμον: locus illa verba αὐτὸν εἰς τοὺς αἰῶνας, quae heirmum claudunt, hic plane substituit, quod autem in fine ceterorum tropariorum minime evenit
heirm. θ' EE 226, n. 324, Germani

καὶ κανὼν καρτερίας
ἀνεδείχθης τοῖς ἐν ἐρήμῳ πατράσιν·
115 ὅθεν καταχρέως εὐφημοῦμέν σε.

Ἀξιοπρεπῶς σε ὑμνεῖ
ἡ ἔρημος, πάτερ,
ὡς ποιμένα ταύτης
καὶ ἡγεμόνα τῆς ὅλης
120 ὁμηγύρεως τῶν ἐν ταύτῃ ἀσκούντων,
μεθ' ὧν καταχρέως εὐφημοῦμέν σε.

Ὡς τῷ βασιλεῖ καὶ Θεῷ
καὶ κτίστῃ τῶν ὅλων
παρεστώς, ἱκέτευε
f. 134v 125 || ὑπὲρ τῶν ἐκτελούντων
τὴν παγκόσμιον καὶ ἁγίαν σου μνήμην,
οὐρανοπολῖτα πάτερ ὅσιε.

θεοτ. * Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα
ἡμῶν καὶ τεῖχος,
130 σὺ εἶ ἡ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων·
σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,
ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

128-133 θεοτ. MR II,270

14 IAN. *CANON* XXIII

IN SS. ABBATES IN SINA ET RAITHU INTERFECTOS

Synaxarium, 389-391: Ἄθλησις τῶν ὁσίων πατέρων ἡμῶν τῶν ἐν Σινᾷ τελειωθέντων. Οὗτοι οἱ ἅγιοι πατέρες ἀπὸ διαφόρων τόπων ὑπῆρχον· ἀφῆκαν δὲ τὸν κόσμον καὶ συγγενεῖς καὶ πλοῦτον καὶ ἀπῆλθον ἐν τῷ ὄρει Σινᾷ καὶ ἐγένοντο μοναχοὶ δουλεύοντες μόνῳ τῷ Θεῷ..... Τούτοις ὁ διάβολος φθονήσας, διήγειρε τὸ ἄγριον ἔθνος τῶν Βλεμμύων κατ' αὐτῶν... Οἳ καὶ ἐλπίζοντες εὑρεῖν πλοῦτον ἦλθον σκυλεῦσαι τοὺς μοναχούς· ὡς δὲ οὐδὲν εὗρον..... ἐμάνησαν καὶ κατέσφαξαν αὐτοὺς μηδὲν ἀδικοῦντας. Χρόνοις δὲ πολλοῖς πρότερον, ἐν ταῖς ἡμέραις τοῦ Διοκλητιανοῦ, ἀνῃρέθησαν παρὰ τῶν Ἀγαρηνῶν ὅσιοι πατέρες ἐν τῷ Σινᾷ καὶ τῇ Ῥαϊθοῦ...

Crypt. Δ.α. XX = Cx, ff. 19v- 26v
Crypt. Δ.α. XV = Cg, ff. 129v-136
Crypt. Δ.α. V = Ch, ff. 81v- 86v
Crypt. Δ.α. XXIV = Cy, ff. 139v-142

Ὁ κανών· ποίημα Ἀνδρέου.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

Τὸν Ἰορδάνην φλογίζων
ὁ βαπτισθεὶς κύριος,
ἀναχαλκεύει ἐν αὐτῷ
τὸν παλαιὸν ἡμῶν ἄνθρωπον
5 καὶ νεουργεῖ ἐν τοῖς ὕδασιν
ἅπασαν
τὴν γεωθεῖσαν ἐν Ἀδὰμ
τῇ παραβάσει μορφήν.

Τῷ ἁγιάσαντι πάλαι
10 τὴν Βηθλεὲμ αἵμασι

tit. Ἕτερος κανὼν τῶν μαρτύρων Cg Εἰς τὸν ὄρθρον κανὼν Ch Ὁ κανὼν Cy heirm. α' ΕΕ 106, n. 149, Andreae 1-8 troparium om. Cy

τῇ ἀναιρέσει τῶν βρεφῶν,
νῦν δὲ τὸ ὄρος τὸ ἅγιον
τῶν θεοφόρων τοῖς αἵμασιν,
ᾄσωμεν
15 ὡς λυτρωτῇ ἡμῶν Θεῷ,
ὅτι δεδόξασται.

Προεορτάσαντες πίστει
τὴν τοῦ Χριστοῦ κάθαρσιν,
δι' ἧς ἐπέφανεν ἡμῖν,
20 τὴν τῶν πατέρων ὁμήγυριν
πνευματικῶς εὐφημήσωμεν·
δρόμον γὰρ
ἀσκητικὸν ἀθλητικῶς
ἀντικατήλλαξαν.

25 Τοὺς ἐν Σιναίῳ πατέρας
καὶ Ῥαϊθοῦ σήμερον
σφαγιασθέντας τῷ Χριστῷ
ἀσκητικῶς μιμησάμενοι,
μαρτυρικῶς εὐφημήσωμεν·
30 ἄθλων γὰρ
κατηξιώθησαν διπλῶν,
ὡς καὶ οἱ μάρτυρες.

Τοὺς Αἰγυπτίους ὁπλίτας
ἡ Ἐρυθρὰ θάλασσα
35 κατακαλύψασα ποτέ,
f. 20 αἱματουμένη ἐ‖δείκνυτο
τῷ ἐρυθραίῳ τοῦ αἵματος·
νῦν δὲ γῆ
αἵμασι βάπτεται σεπτοῖς
40 ἱεροφόρων ἀνδρῶν.

15 ὡς] τῷ Cg Ch Cy λυτρωτῇ] κυρίω Cy post κυρίω cetera om. Cy 16 δεδόξασθε Cx 17-24 Cy tropario caret 17 πίστει] πάντες Cg 23 ἀθλητικῶν Cx 33-40 troparium in Ch Cy deest 37 τὸ αἱρυθραίον Cx 38 γῆ] ἐν Cx 39 βάπτεται] λευκένεται Cx

33-35 cfr. Ex. 14,28

Οἱ νεκρωθέντες τῷ κόσμῳ
ἀθλητικὴν ἅμιλλαν
ἐπιδειξάμενοι στερρῶς,
μαρτυρικῶς ἐκαρτέρησαν
45 τῶν παλαμναίων τὴν ἔφοδον,
θύματα
προσενεχθέντες τῷ Θεῷ
εἰς ὁλοκάρπωσιν.

Τὸν δι' ἡμᾶς ἑκουσίως
50 ἐπὶ σφαγὴν ἥξαντα
καὶ εὐδοκήσαντα παθεῖν
ἀθλητικῶς μιμησάμενοι,
πρὸς τὸ βραβεῖον ἐφθάσατε
ἅπαντες
55 τῆς ἄνω κλήσεως, πατέρες
μεγαλώνυμοι.

τριαδ. Τὴν ἐν μονάδι τριάδα
χερουβικῶς ἅπαντες
ὁμολογοῦντες οἱ πιστοί,
60 ὡς ἐν τρισὶν ὑποστάσεσι
καὶ ἐν μιᾷ τῇ θεότητι
ἄναρχον
καὶ συναΐδιον αὐτὴν
θεολογήσωμεν.

θεοτ. 65 Σεσαρκωμένον τὸν Λόγον
ἄνευ σπορᾶς τέτοκας
λοχευσαμένη ὑπὲρ νοῦν,
θεογεννῆτορ πανάμωμε,
διπλοῦν τῇ φύσει ὑπάρχοντα,
70 ἕνα δὲ
τῇ καθ' ὑπόστασιν ἑνώσει
γνωριζόμενον.

41-56 troparia om. Cy 55 πατέρες] χριστοῦ Cg διὸ Ch 56 μεγαλώνυμοι] πατέρες τίμιοι Cg καὶ ἐδοξάσθητε Ch 57-64 τριαδ. in Cy desideratur 59 ὁμολογοῦντες] ὑμνολογοῦντες Ch 67 λογχευσαμένη Cy

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι Θεός,
ὁ θανατῶν καὶ ζωογονῶν

Κόσμον ἐκαίνισας
τῷ βαπτισμῷ σου, Ἰησοῦ,
f. 20v 75 ‖ ὁ τοῖς πιστοῖς νέον ἐπὶ γῆς
δείξας παράδεισον ἄλλον,
τοὺς βίους τῶν πατέρων,
ἐξ ὧν τρυγῶμεν ἀσκήσεως πόνους
καὶ ἀθλήσεως καρποὺς πνευματικῶς.

80 Σὺ πᾶσιν ἔδειξας
εἰς ἀναγέννησιν ζωῆς
τὸ ἱερὸν βάπτισμα, σωτήρ,
ὡς ἰατρεῖον ἀνοίξας
τοὺς ἄθλους τῶν πατέρων
85 καὶ τοὺς σωροὺς τῶν ἁγίων λειψάνων
ἰατρεύοντας τὰ πάθη τῶν πιστῶν.

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι Θεός,
ὁ ἀσκητὰς μάρτυρας δεικνὺς
90 τοὺς μιαιφόνῳ μαχαίρᾳ
σφαγέντας ἐν Σιναίῳ
καὶ Ῥαϊθοῦ μακαρίους πατέρας
ἐν ἀσκήσει διαπρέψαντας τὸ πρίν.

Σὺ εἶ Θεὸς ἡμῶν,
95 ὁ ἐν σαρκὶ ἐπιφανεὶς
τοῖς ἐπὶ γῆς δεύτερος Ἀδὰμ
καὶ ἐν Σιναίῳ πατέρας
ἁγίους ἀναδείξας,
ἐκ Ῥαϊθοῦ δὲ φωστῆρας ἐκλάμψας
100 ἀνατέλλοντας ἀκτῖνας τοῖς ἐν γῇ.

---

ode β' deest in Cg Ch Cy heirm. β' EE 105, n. 148, Andreae 85 σωροὺς] ὄρους Cx 92 μακρίους Cx

Φῶς ἡμῖν ἔλαμψας
ὁ ἐκ πατρὸς μονογενής,
ἡ νοητὴ θύρα τῆς ζωῆς,
ἣν οἱ πατέρες ποθοῦντες
105 κατέλιπον τὸν κόσμον
καὶ τὸν σταυρόν σου λαβόντες ἐπ᾽ ὤμων,
συνεσταύρωσαν τὰ μέλη ἑαυτῶν.

τριαδ. f. 21 Πάντες δοξάσωμεν
πατέρα ἄναρχον ‖ Θεόν,
110 ἐξ οὗ Θεὸς εἷς ἐστιν υἱὸς
καὶ ἓν παράκλητον πνεῦμα,
οὐ δοῦλον, οὐδὲ κτίσμα,
ἀλλ᾽ ὁμοούσιον φύσει καὶ δόξῃ
τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ συνεργῷ.

θεοτ. 115 Ἔγνωμεν, ἔγνωμεν
ὅτι αὐτὸς εἶ ὁ Θεός,
ὁ ἐκ πατρὸς ἄναρχος υἱὸς
καὶ ἐκ μητρὸς κατ᾽ οὐσίαν
ἐκλάμψας ἐπ᾽ ἐσχάτων,
120 οὐκ ἀλλοιώσας προσχύσει τὴν φύσιν,
οὐ τὴν πρόσληψιν φαντάσας τῆς σαρκός.

ᾠδὴ γʹ. *Μὴ καυχάσθω ὁ καυχώμενος*

Καθαρσίων ἀνεχόμενος,
ῥύπον οὐκ ἔχων, τὴν φύσιν ἐκάθηρας
καὶ τὸ τῆς ἔχθρας ἄγκιστρον
125 συντρίψας, κύριε,
τοὺς δελεασθέντας ἡμᾶς
ἐπανήγαγες πρὸς τὴν ἀρχαίαν ζωήν.

105 κατέλειπον Cx 120 πρὸς χύσιν Cx
heirm. γʹ ΕΕ 106, n. 149, Andreae; heirm. integer in Ch; Cy tantum quattuor strophas odes γʹ tradit sine lege excerptas 122-133 troparia desunt in Cy 122 Καθαρσιῶν Cg ἀνασχόμενος Cg Ch

Ἐγκαυχώμενοι τῷ κράτει σου
οἱ θεοφόροι στερρῶς, τοῦ ἀλάστορος
130 τὰς παρατάξεις ἔτρεψαν
σφαγιασθέντες σοι
καὶ διπλοῦς ἀγῶνας, σωτήρ,
ἐνδειξάμενοι, διττῶς ἐστέφθησαν.

Τὸν σταυρὸν θωρακισάμενοι
135 οἱ ἀθλοφόροι πατέρες καὶ μάρτυρες,
τὴν τῶν βαρβάρων ἔφοδον
γενναίως ἤνεγκαν,
σὲ ὁρῶντες μέσον, σωτήρ,
ἐνισχύοντα καὶ δυναμοῦντα αὐτούς.

f. 21v 140 Τὸν ἐχθρὸν προκα‖τεπάλαισαν
τῇ ἐγκρατείᾳ καὶ νῦν τῇ στερρότητι
τὴν κατ᾽ αὐτοῦ ἐστήσαντο
νίκην οἱ ὅσιοι,
ἐν ἀνδρείᾳ πάντες ὁμοῦ
145 ὑπομείναντες τὰς ἀνευθύνους σφαγάς.

Τῶν πατέρων ἡ ἀναίρεσις
ἄλλη θυσία, καινὴ καθιέρωται,
ἀσκητικοῖς παλαίσμασιν
εὐωδιάζουσα
150 καὶ ταῖς τῶν ξιφῶν ἐκτομαῖς
ἐπισπένδουσα Χριστῷ τὰ αἵματα.

Τὴν ἀδόκητον ἐπίβασιν
τῶν μιαιφόνων οὐδόλως ἐπτήξατε,
οὐ τὰς σφαγὰς θεώμενοι
155 κατεναρκήσατε
τῶν ἐσπαραγμένων μελῶν,
ἀλλ᾽ ἰσότητι γνώμης ἠνδρίσασθε.

132 σωτήρ] σοι Cx 134 Τῷ σταυρῷ Cy 135 θεοφόροι Cg Ch Cy 139 δυναμοῦντα] στεφανοῦντα Cg Ch Cy 144 ἀνδρείαν Cx 145 σφαγάς] φυγὰς Cx 150 ξίφων Cx 152-157 troparium om. Cg Ch Cy 154 τὰς φαγὰς Cx

Πάντες θύματα οὐράνια
προσενεχθέντες Θεῷ, ἱερώτατοι,
160 ὡς νοητὸν θυμίαμα
ὡλοκαυτώθητε
καὶ ὠσφράνθη κύριος
τῆς ὀσμῆς ὑμῶν ὡς εὐωδίας ὀσμήν.

τριαδ. Τὸν πατέρα προσκυνήσωμεν,
165 υἱὸν καὶ πνεῦμα, τριάδα ἀχώριστον,
χερουβικῶς δοξάζοντες·
ἅγιος, ἅγιος,
ἅγιος γὰρ εἶ, ὁ Θεός,
τρισυπόστατε καὶ συναΐδιε.

θεοτ. 170 Ὦ νεφέλη θεοχώρητε,
ἄφθορε νύμφη, πρὸς ἣν καταβέβηκεν
ὡς ὑετὸς ὁ κύριος
δι᾽ ἀγαθότητα
τὴν ἡμῶν πτωχεύσας μορφήν,
175 τοὺς τιμῶντάς σε ῥῦσαι ἀεὶ τῶν δεινῶν.

ᾠδὴ δ′. *Εἰσακήκοα τὴν ἀκοὴν*
τῆς σῆς οἰκονομίας,
ὅτι ἐκ παρθένου ἐτέχθης
τὴν τεκοῦσαν μὴ φλέξας
f. 22 5 *καὶ ἐδόξα‖σα, σωτήρ,*
τὴν συγκατάβασίν σου.

Ἐνεδύσατο ἡ Ῥαϊθοῦ
σὺν τῷ Σιναίῳ ὄρει

158-169 troparia desunt in Cy 164-169 τριαδ. dissimile in Cg Ch: Τὸν πατέρα πρασκυχήσωμεν, / υἱὸν καὶ πνεῦμα τιμῶντες, δοξάσωμεν / τὴν συμφυῆ καὶ σύνθρονον / τριάδα ἄναρχον, / ἐν μονάδι ἕνα Θεὸν / τρισυπόστατον καὶ συναΐδιον. 175 ῥῦσαι ἀεὶ τῶν δεινῶν] ρύε κινδύνου παντὸς Cy post oden γ′ Cg Ch, et ante canonem Cx, κάθ. praebent: Τὴν ἔρημον πολίσαντες . . . MR III, 224; Cg aliud κάθ. profert: Ὡς ἄσαρκοι δεικνύμενοι . . . MR III, 226

heirm. δ′ EE 105, n. 148, Andreae; heirm. integer invenitur in Cx Cg Ch heirm. 2 σῆς om. EE 5 σωτὴρ] λόγε Cx Cg σῶτερ EE 176-181 troparium in Cy deest

162-163 Gen. 8,21; Ex 29,19

τῇ κατατομῇ τῶν ὁσίων
τὸν πενθήρη χιτῶνα,
180 τὸν βαφέντα ἐκ βαφῆς
αἱμάτων τῶν πατέρων.

Κατεσκεύασε πολυτελῆ
στολὴν τῇ ἐκκλησίᾳ
ὁ διὰ σαρκὸς εὐδοκήσας
185 ἐπιφάναι τῷ κόσμῳ,
ὑφανθεῖσαν μυστικῶς
ἐκ πατρικῶν αἱμάτων.

Τὰ ῥαντίσματα τῶν ἱερῶν
αἱμάτων τῶν πατέρων,
190 ὡς διαφανεῖς μαργαρίτας,
ἡ Χριστοῦ ἐκκλησία
συγκλεισθέντας ὡς χρυσῷ
στολίζεται τῇ πίστει.

Εἰ καὶ ξίφεσι βαρβαρικοῖς
195 κτενόμενοι, πατέρες,
τῆς ζωῆς μετέστητε ταύτης,
ἀλλὰ καὶ πρὸ τῆς πείρας
τῆς πικρᾶς ἐπιφορᾶς
νενεκρωμένοι ἦτε.

200 Ἐσεμνύνατε τὸ ἱερὸν
τῶν μοναζόντων σχῆμα
καὶ κατεκοσμήσατε ὄντως
τῇ ὑμῶν ἀναιρέσει,
θεοφόροι ἀσκηταὶ
205 καὶ μάρτυρες κυρίου.

Ἐνευρώθησαν οἱ ἀσκηταὶ
ξιφήρεις τοὺς βαρβάρους

183 στολὴ Cy τὴν ἐκκλησίαν Cx 188 ἱερῶν] ἱρῶν Cy 190 μαργαρίτας] μαρμαρυγὰς Cy 192 συγκλεισθέντας] συγκλωσθέντας Cg Ch χρυσὸς Cx χρυσὸν Cg Ch 194-199 troparium desideratur in Cg Ch 195 κταιννύμενοι Cx 199 εἶτε Cx Cy 200-235 troparia desunt in Cy 202 ὄντως] τοῦτο Cg Ch

φόνον ἀπειλοῦντας ὁρῶντες·
τὰς ἐλπίδας γὰρ ἄνω
210 προσανέθηκαν Χριστῷ,
δι' ὃν καὶ ἀναιροῦνται.

Εὐφημήσωμεν τοὺς ἀσκητὰς
f. 22v καὶ μάρτυρας ‖ τοῦ λόγου,
οὓς ἡ ὑπερκόσμιος χάρις
215 ἐστεφάνωσε δόξῃ,
ὡς παθῶν μὲν φονευτάς,
δαιμόνων δὲ ἀφεύκτους.

Ἐμεγάλυνας τοὺς ἀσκητὰς
λαμπτῆρας ἀναδείξας
220 τὸ δισσὸν ἐκλάμποντας φάος,
Ἰησοῦ εὐεργέτα,
τῆς ἀσκήσεως τὸ πρὶν
καὶ νῦν τοῦ μαρτυρίου.

Δυσωπούμενος, παμβασιλεῦ,
225 πρεσβείαις τῶν πατέρων,
ἄφεσιν πταισμάτων παράσχου
τοῖς πιστῶς ἀνυμνοῦσι
τὴν ὑπέρφωτον αὐγὴν
τῆς σῆς ἐπιφανείας.

τριαδ. 230 Τρία ἄναρχα θεολογῶ,
συνάναρχα δὲ τρία
φῶτα καὶ ζωὰς ἀχωρίστως,
τὴν ἁγίαν τριάδα
ἐν θεότητι μιᾷ
235 καὶ φύσει καὶ οὐσίᾳ.

θεοτ. Τὸν ἐκλάμψαντα ἐκ τοῦ πατρὸς
υἱὸν πρὸ τῶν αἰώνων
τέτοκας, ἁγνὴ θεομῆτορ,

210 πρὸ ἀνέθηκαν Cx 211 δι' ὃν] διὸ Ch 212-223 troparia om. Ch
217 δαιμόνων] βαρβάρων Cg Cy 217 ἀφύκτους Cg 224 παμβασιλεῦς Cx
232 ζωῆς Cx

φυλαχθεῖσα παρθένος·
240 ἡ γὰρ σύλληψις προῆν
ἐκ πνεύματος ἁγίου.

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, κύριε,*

Ἀνέτειλας, σωτὴρ ἡμῶν,
τὴν μνήμην τῶν ἁγίων σου
ὡς νοητὸν τῷ κόσμῳ ἥλιον,
245 ἀσκήσει καὶ ἀθλήσει,
τῷ διττῷ χαρίσματι,
λογικῶς ἐκλάμπουσαν
τὴν ἱερόμυστον σφαγήν.

Σινᾶ, εὐφραίνου σήμερον
f. 23 250 καί, Ῥαϊθοῦ, ‖ συγχόρευε,
ὅτι χορὸς πατέρων τίμιος
νομίμως στεφανοῦται
καὶ ὁσίοις αἵμασι
τῷ Χριστῷ προσάγεται
255 θυσία ζῶσα, λογική.

Χοροὶ πατέρων, σπεύσατε,
πατέρων ἆθλοι πρόκεινται,
ἀσκητικὸς χορὸς ἀνοίγεται
καὶ σκάμμα ἐπὶ σκάμμα
260 καὶ τροπαίοις τρόπαια
καὶ στεφάνοις στέφανοι
συναναπλέκονται αὐτοῖς.

Διττὸν ἀγῶνα τρέχοντες
διττῶς ἐστεφανώθητε·
265 τοῖς ὀχετοῖς γὰρ τῶν δακρύων
τὰ αἵματα μιγνύντες,

240 πρῶην Cx Cy 243 ἁγίων] ὁσίων Cg Ch Cy
heirm. ε' ΕΗ 106, n. 149, Andreae 251 τίμιος] σήμερον Cx
247 λογκῶς Cx 248 σφαγὴν] γραφὴν Ch
256-290 tropariis caret Cy 258 ἀνοίγεται] ἀνεύεται Cx

τῷ Χριστῷ ἡνώθητε
καὶ ὡλοκαρπώθητε
καθάπερ σφάγια δεκτά.

270 Χοροὶ μαρτύρων, σήμερον
ἀσκητικῶς χορεύσατε
ἀσκητικὸν ὁρῶντες σύλλογον
ὁσίων καὶ δικαίων
τῷ Χριστῷ θυόμενον
275 καὶ καθιερούμενον
εἰς ὁλοκάρπωσιν ζωῆς.

Πρεσβείαις τῶν ὁσίων σου,
Χριστέ, κινδύνων λύτρωσαι
τὴν λογικήν σου ποίμνην ταύτην,
280 φυλάττων ἐν εἰρήνῃ
τὰ πιστά σου θρέμματα
μετὰ τοῦ πατρὸς ἡμῶν,
ὃν ἠρετίσω ἑαυτῷ.

τριαδ. Τριὰς ἁγία, δόξα σοι,
285 μονὰς ἡ τρισυπόστατος,
ἡ ὁμοούσιος θεότης,
ἣν ἄγγελοι ὑμνοῦσι,
Χερουβὶμ δοξάζουσι
καὶ ἡ κτίσις ἅπασα
290 δοξολογεῖ ἕνα Θεόν.

f. 23v θεοτ. || Ὡς πύλην ἀδιόδευτον
καὶ βάτον ἀκατάφλεκτον
καὶ νοητόν σε ὄρος πάντες,
ἐξ οὗ λίθος ἐτμήθη,
295 σαρκὶ ὁ Θεὸς ἡμῶν,
θεομῆτορ ἄχραντε,
ὑμνολογοῦμεν εὐσεβῶς.

---

273 ὁσίως καὶ δικαίως Cx 279 λογικὴν] δολικὴν Cx 283 ὃν] οὗ Cx 288 δοξάζου Cx 294 ἐκ σοῦ Cx Cy λίθος ἐτμήθη] ἐτμήθη λίθος Ch

---

291 Ez. 44,2 292 Ex. 3,2 293-294 Dan. 2,34

ᾠδὴ ς΄. *Ἐκ κοιλίας Ἅιδου κραυγῆς μου*

Νοητοὺς φωστῆρας τῷ κόσμῳ
ἀνέτειλας, οἰκτῖρμον,
300 τοὺς σοφοὺς πατέρας ἡμῶν
τοὺς πρὶν μὲν τῇ ἀσκήσει,
νῦν δὲ τῇ ἀθλήσει τελειωθέντας, σωτήρ.

Ἐγκρατείας πόνοις τὸ σῶμα
ἐστίξατε, πατέρες,
305 καὶ δι' αἵματος τῷ Χριστῷ
ἐτύθητε γενναίως
καὶ νομίμως πάντες ἐστεφανώθητε.

Τὸ τρισσὸν ἐδέξασθε, ὅσιοι,
βάπτισμα προθύμως,
310 τὸ δι' ὕδατος καὶ πυρὸς
καὶ πνεύματος τὸ πρῶτον
καὶ τὸ τῶν δακρύων καὶ τὸ δι' αἵματος.

« Ὡς θυσίαν ζῶσαν, ἁγίαν
προσδέχου, εὐεργέτα,
315 τὰς ψυχὰς τῶν σῶν οἰκετῶν »,
ἐβόων οἱ πατέρες,
ὧν ταῖς ἱκεσίαις, σωτήρ, οἰκτείρησόν με.

Ὁ τοὺς ἐν Σιναίῳ πατέρας
νομίμως στεφανώσας

---

heirm. ς΄ EE 103, n. 145, Joannis; heirm. integer in Ch Cy et idem ac EE servatur; in Cg vv. 2.4.5 dissimiles: 3 καὶ ἀνήγαγές με / 4 ἐξ Ἅιδου κατωτάτου / 5 καὶ ἐρρύσω ἐκ τῆς φθορᾶς τὴν ζωήν μου; Cx vero alium heirm. refert ἦχ. πλ. δ΄ ed. in PG 90, 208 (Ἐκ κοιλίας Ἅιδου κραυγῆς μου / ἤκουσας φωνῆς μου / καὶ ἐρρύσω ἐκ φθορᾶς / τὴν ζωήν μου ὡς φιλάνθρωπος), cuius metro minime strophae aptantur 303 Ἐκρατείας Ch πόνοις] τόνοις Cg Ch τὸ σῶμα] τὸ πνεῦμα Ch σώματα Cy 304 ἐστίξατε] ἐτήξατε Cg Ch Cy 305 τῷ om. Ch Cy 306 γενναῖοι Cg Ch Cy 307 ἅπαντες Cg Ch 308-312 troparium om. Cy 308 ὅσιε primum scripsit deinde ὅσιοι supra lineam correxit Ch 315 ἱκετῶν Cy 316 ἐβόουν Cx Cy 317 οἰκτείρησόν με] ἐλέησον ἡμᾶς Cg Ch 318-327 troparia in Cy desunt 318 πατέρας om. Cg Ch

---

313-315 F. Combefis, Illustrium Christi martyrum lecti triumphi, p. 144:... καὶ πρόσδεξαι θυσίαν εὐάρεστον εἰς ὀσμὴν εὐωδίας πάντων ἡμῶν τὰ πνεύματα...

320 μετὰ τῶν ἐν τῇ ῾Ραϊθοῦ,
συντήρησον τὴν πόλιν,
ἣν ἐκτήσω, μόνε σωτήρ, εἰς ἔπαινόν σου.

τριαδ. Σὺν πατρί, υἱὸν καὶ τὸ πνεῦμα
f. 24 τὸ ἅγιον ‖ ὑμνοῦμεν,
325 ἐν τριάδι ἕνα Θεόν,
τριάδα ἐν μονάδι,
θεολόγοις πίστει φωναῖς δοξάζοντες.

θεοτ. Τὴν θεόδεκτόν σου γαστέρα
πιστῶς δοξολογοῦμεν·
330 τὸν γὰρ κτίστην πάντων ἡμῶν
ἐχώρησας, παρθένε,
οὐρανοπολίτας ἡμᾶς ποιήσασα.

ᾠδὴ ζ'. *Εὐλογητὸς εἶ, ὁ Θεός,*
ἐν τῇ καμίνῳ οἱ παῖδες ὑμνολογοῦντες

Εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τελειώσας τὸν δρόμον τῶν θεοφόρων
335 πατέρων σήμερον καὶ δείξας κοινωνοὺς
τῆς ἐπουρανίου σου βασιλείας.

Εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τοὺς ἁγίους πατέρας, τῇ τῶν βαρβάρων

321 τὴν om. Cx πόλιν] ποίμνην σου Cg Ch 322 εἰς ἔπαινόν σου] πρὸς δόξαν σου Cg Ch 323 υἱῷ Cx 328 γαστέραν Cx 331 ἐχώρεσας Cy 332 οὐρανοπολίτας] πολίτας οὐρανίου Cx ποιήσας Cy post oden ς' κοντάκ. acrostichide Πατράσι Ch profert PAS I, 606; in Cg tantum κουκούλιον et primus οἶκ. inveniuntur sed in eodem codice aliud κοντάκ. Ἐκ τῆς κοσμικῆς ... et οἶκ. Τὰ ἐπὶ γῆς ... legimus, MR III, 229; Cy autem et aliud κοντάκ. Τῶν ἐπιγείων καὶ φθαρτῶν ... et οἶκ. Ἐπέστη σήμερον ... servatur PAS I, 605.
heirm. ζ' EE 105, n. 148, Andreae; heirm. integrum Cx tradit heirm. ὑμνολογοῦντες] ὁμολογοῦντες Cx; in Cg Ch alius heirm. ineditus legitur: Εὐλογητὸς εἶ, ὁ Θεός, / ὁ τοὺς ὁσίους σου παῖδας ἐν Βαβυλῶνι / δροσίσας ἐν μέσῳ τῆς καμίνου τοῦ πυρὸς / καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας. Cy tantum tres strophas odes ζ', quarum ordo 1. 4. 2, et θεοτ. praebet 336 σου om. Cy 338 τῇ] ἡ Cy

ἐφόδῳ σήμερον ὡς πρόβατα σφαγῆς
340 ὁλοκαρπωθέντας, ἱερουργήσας.

Εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ ἐκ μαχαίρας βαρβάρων καὶ ἐκ κινδύνων
ἀεὶ λυτρούμενος τοὺς πίστει ἀκλινεῖ
καθομολογοῦντας τὸ ὄνομά σου.

345 Εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ ἀναδείξας φωστῆρας τῇ οἰκουμένῃ
ὁσίως λάμποντας τοὺς ἐν τῇ ῾Ραϊθοῦ
καὶ ἐν τῷ Σιναίῳ σεπτοὺς πατέρας.

Εὐλογητὸς εἶ, ὁ Θεός,
350 ὁ ἐπὶ γῆς ἀναδείξας ἀγγελικὴν
στρατείαν ἐνσώματον τῶν ὁσίων τὸν χορόν,
τῶν ὑπὸ βαρβάρων ἀναιρεθέντων.

Εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ μεγαλύνας τὴν μνήμην τῶν θεοφόρων
f. 24v 355 πατέρων σήμερον καὶ δοὺς αὐτοῖς, ‖ σωτήρ,
τὴν ἀθανασίαν καὶ ἀφθαρσίαν.

Εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ μονοτρόπους ἐν οἴκῳ καὶ μετὰ τέκνων
μητέρα σώφρονα, ὡς ψάλλει ὁ Δαβίδ,
360 κατοικίζων ἅμα εἰς τοὺς αἰῶνας.

τριαδ. Εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ ἐν μονάδι οὐσίας καὶ ἐν τριάδι
προσώπων ἀτμήτως ὑμνούμενος πιστῶς,
ὃν δοξολογοῦμεν εἰς τοὺς αἰῶνας.

339 ἔφοδος Cy 340 ἱερούργησας Cy 341-344 tropario caret Cy 349-352 troparium om. Cg Ch Cy 353-356 tropario caret Cy 357-360 troparium deest in Cg Ch Cy 359 ὡς] ὁ Cx 361-368 τριαδ. desideratur in Cy

357-360 Ps. 67,7

θεοτ. 365 Εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ ἐκ παρθένου ἀφράστως σεσαρκωμένος
τεχθεὶς καὶ σώσας με, ὃν πάντες εὐσεβῶς
ἀνυμνολογοῦμεν εἰς τοὺς αἰῶνας.

ᾠδὴ η΄. *Τὸν βασιλέα Χριστόν,*
ὃν ὡμολόγησαν

Τὸν βασιλέα Χριστόν,
370 ᾧ προσηνέχθησαν
οἱ γενναῖοι πατέρες
θυσία ζῶσα, ἄμωμος, δεκτὴ καὶ καθαρά,
πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

375 Τὸν εὐεργέτην Χριστόν,
τὸν ἀνυψώσαντα
τῶν πατέρων τὸ κέρας
καὶ δι' αὐτῶν συντρίψαντα τὰ τόξα τοῦ ἐχθροῦ,
πάντα τὰ ἔργα ὑμνεῖτε
380 καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Οἱ νικηταὶ τοῦ ἐχθροῦ
νῦν ἀνεδείχθησαν
ὑπερόπται βαρβάρων
διὰ Χριστὸν τῆς τούτων ἀλογήσαντες ὁρμῆς·
385 ὅθεν διπλοῦς τοὺς στεφάνους
τοῖς ἀθλητικοῖς συνεπλέξαντο βαρβάροις.

εἱρμὸς ἄλλος. *Τὰ σύμπαντα, δέσποτα,*

Ἡ ἔρημος σήμερον
τὴν ἐκκλησίαν προετύπου·
ὡς κρίνον γὰρ ἤνθησε

367 ὃν πάντες εὐσεβῶς om. Cy 368 ὁ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας Cy
heirm. η΄ EE 104, n. 146, Germani 369-386 troparia desiderantur in Cg Ch Cy 374. 380 post ὑπερυψοῦτε orat. detruncatur 386 συν ἀνεπλέξαντοστε Cx
heirm. alter EE 105, n. 147, Andreae 387-406 troparia om. Cy
388 προετύποι Cx Cg

376-377 cfr. Sir. 47,11 389 cfr. Os. 14,6

390 καὶ ἄνθος τῶν κοιλάδων,
τὰ ὄρη ἐσκίρτησαν
καὶ οἱ βουνοὶ ὡς ἀρνία,
Ἰορδάνης ἐστράφη
καὶ ἡ θάλασσα
395 τῷ ἀστέκτῳ σου φόβῳ εἰς χάος,
σωτήρ, μετεφέρετο.

f. 25 ‖ Οἱ ὅσιοι, κύριε,
πνευματικῶς καθοπλισθέντες
πίστιν ἀνυπόκριτον,
400 ἐλπίδα καὶ ἀγάπην,
ἀνδρείως ἀνέλαβον
οὐκ ἀσπίδα, οὐ δόρυ,
οὐδὲ ὅπλα πολέμου,
ἀλλὰ θώρακα,
405 δι' οὗ πάντα τὰ βέλη καθεῖλον
ἐχθροῦ τοῦ ἀλάστορος.

Ποθήσαντες, κύριε,
τὴν ἀνωτάτω βασιλείαν,
κόσμον ἀπηρνήσαντο
410 οἱ ὅσιοι πατέρες,
οἳ καὶ προσηλούμενοι
νοητῶς τῷ σταυρῷ σου,
τῶν βαρβάρων τὰ ξίφη
οὐκ ἐνάρκησαν,
415 κατ' αὐτῶν ἀποτόμως ὁρῶντες
ἀθρόως στιλβούμενα.

Τοῖς δάκρυσιν, ὅσιοι,
ἀνακεράσαντες τὸ αἷμα,
ἓν ἀπετελέσατε
420 θεοσοφίας κρᾶμα,
κρατῆρι κενώσαντες

396 κατεφέρετο Cg Ch 401 ἀνέλαβεν Cx 408 βασιλείαν] πολιτείαν Cy
411 οἱ Cx οἳ Cy 413 ξίφη] πλήθη Cy 415 κατ' αὐτῶν] κατὰ τῶν Cy
416 ἀθρῶον Cx post ἀθρόως addidit ξίφει Cy 417 post δάκρυσιν addidit οἱ Cy 420 θεοσεβείας Cg Ch 421 κρατῆρα Cy

390 cfr. Cant. 2,1 391-396 Ps. 113,3-4

τοὺς σεπτοὺς ὑμῶν ἄθλους
καὶ τραπέζῃ προθέντες
τὰ παλαίσματα
425 καὶ σοφίας κηρύγματι πάντας
πρὸς ταῦτα καλέσαντες.

Ἐσφάττοντο, κύριε,
οἱ ἀσκηταί σου ὡς ἀρνία,
πτῶμα ἐπὶ πτώματι
430 καὶ σκῆνος ἐπὶ σκήνει,
αὐτὸς δὲ ὡς θύματα
λογικὰ προσεδέξω
καὶ ὡς ζῶσαν θυσίαν,
οὐκ ἐρίσαντας,
435 οὐ κραυγάσαντας, οὐδὲ προδόντας
δειλίᾳ τὴν ἔνστασιν.

Αἰτοῦμέν σε, κύριε,
ταῖς ἱκεσίαις τῶν ἁγίων
φύλαξον τὴν ποίμνην σου
440 ἐν πίστει καὶ ἁγνείᾳ
καὶ ῥῦσαι δεόμεθα
ψυχικῶν ἀλγηδόνων
καὶ ἐχθρῶν καὶ πολέμου
f. 25ᵛ καὶ ‖ συντήρησον
445 μετὰ τέκνων πατέρα ποθοῦντα
τὴν σὴν ἀγαθότητα.

τριαδ. Πατέρα σε ἄναρχον
ἀνάρχου Λόγου προσκυνοῦμεν
ἐκ σοῦ συναΐδιος
450 προῆλθεν ὁ υἱός σου,
παρ' οὗ καὶ τὸ ἅγιον
ἐκπορεύεται πνεῦμα
ἀϊδίως, ἀνάρχως,

426 καλέσαντες] ὠλέσαντες Cg 427-456 troparia desunt in Cy 430 ἐπὶ] ἔπε Cx 433 ζῶσα Cx 435 κραυγάζοντας Cg 438 ἁγίων] ὁσίων Cg Ch 440 ἁγνεῖ Cx 443 πολέμου] κινδύνων Cg Ch 449 ἐξ οὗ Ch

πάτερ ἅγιε,
455 ὁ τῷ πνεύματι κτίσας τὰ πάντα
καὶ λόγῳ τοῦ στόματος.

θεοτ. Ἐκύησας, ἄχραντε,
τὸν βασιλέα τῶν αἰώνων
καὶ τοῦτον ἐβάστασας
460 παρθενικαῖς ἀγκάλαις·
διό σε μιμούμενα
Ἰορδάνου τὰ ῥεῖθρα,
ὑπεδέξαντο τοῦτον
καὶ ἐγκόλπιον
465 ὡς ἐν θρόνῳ συνέσχον ἰδόντα
σαρκὶ βαπτιζόμενον.

ᾠδὴ θ'. *Σὲ ὡς χωρίον ἄχραντον τοῦ Λόγου*
καὶ δοχεῖον τῆς χάριτος
καὶ τῆς εὐδοκίας τοῦ πατρὸς ἐργαστήριον
— ἐν σοὶ γὰρ τὸ συνάλλαγμα
5 *τῆς σωτηρίας ἡμῶν ἐξείργασται —*
ᾀσματικῶς, παρθένε ἁγνή, μεγαλύνομεν.

Πάντες προθύμως ᾄσωμεν τοὺς ὕμνους,
ὅτι πίστει ἀσκήσαντες
οἱ ἐν τῷ Σινᾶ καὶ Ῥαϊθοῦ ἡσυχάζοντες
470 μαρτύριον ἐστήσαντο
τῆς συνειδήσεως μέχρις αἵματος·
διὸ διπλῆν πανήγυριν νῦν ἐκτελέσωμεν.

456 καὶ] τῷ Cg 457-466 aliud θεοτ. Cy tradit: Παρθένον σε, ἄχραντε, / καὶ πύλην καὶ νεφέλην, / βάτον ἀκατάφλεκτον / καὶ στάμνον τὴν τοῦ μάννα / καὶ ῥάβδον βλαστήσασαν, / κιβωτὸν καὶ λυχνίαν / καὶ τὰς πλάκας τοῦ νόμου, / ὄρος ἅγιον / προεκήρυξαν πάντες προφῆται / λαλοῦντες ἐν πνεύματι. 465 συνέσχον ἰδόντα] ἐνύγρω συνέσχον Cg Ch

heirm. θ' EE 105, n. 148, Andreae; textum heirm. integrum cdd. praebent heirm. 1 ἄχραντο Cg ἄχραντε Ch 2 τῆς χάριτος] τοῦ πνεύματος Cy EE 5 ἐξήγασται Cy 472 νῦν om. Cy τελέσωμεν Ch

Τίς μὴ θαυμάσῃ, ὅσιοι, ἀκούων
ὅτι ἄκακοι ἄνθρωποι
475 τὴν διὰ τοῦ ξίφους τιμωρίαν ὑπέστησαν!
πραγμάτων μὲν ἀκτήμονες,
μικροῦ δὲ ἄσαρκοι καὶ ἀναίμονες,
f. 26 βαρβαρικαῖς χερ‖σὶ τῷ Θεῷ ἐκαρπώθητε.

Αἵμασι γῆ ἐβάπτετο τιμίοις
480 καὶ τὰ στήθη τοῖς δάκρυσι
τοῖς ἐκ τῶν βλεφάρων τῶν ὁσίων σου, κύριε·
οὐ μόνον δὲ τοῖς δάκρυσιν,
ἀλλὰ καὶ αἵμασιν ἐνδυσάμενοι,
ἐστεφανώθησαν ὑπὸ σοῦ ὡς οἱ μάρτυρες.

485 Νέος ἡμῖν παράδεισος ἐδείχθη
τῶν ὁσίων τὰ λείψανα
καὶ τὰ τῆς ἀσκήσεως αὐτῶν κατορθώματα,
ἐξ ὧν καὶ πορίζόμεθα
καρποὺς ἐνθέους, παθῶν ἰάματα
490 καὶ ἀρετῆς καὶ βίου ὀρθοῦ ὑποδείγματα.

Ἄισμασιν εὐφημήσωμεν καὶ ὕμνοις
τῶν ὁσίων τὰ λείψανα
καὶ τὰ τῶν μελῶν ἀφαιρεθέντα σπαράγματα,
τὴν πρόσχυσιν τοῦ αἵματος
495 τῆς κατὰ νόμον πιστῆς ἀθλήσεως,
ἐπιδειχθεῖσαν ὅτε Θεῷ ἐκαρπώθησαν.

Τὴν μάνδραν ταύτην σκέπασον ἐν πίστει,
τὰ ἐν ταύτῃ σου θρέμματα
μετὰ τοῦ πατρὸς ἡμῶν φυλάττων ἀσάλευτα,

476 μὲν] οἱ Cx τε Cg Ch 478 ἐκαρπώθησαν Cg Ch Cy 479-508 troparia om. Cy 481 τοῖς] τῶν Cx 482 δὲ] γὰρ Ch 483 ἐνδυσάμενοι] ἀνδρισάμενοι Cg Ch 489 παθῶν] ψυχῶν Cg Ch 491-496 pro Ἄισμασιν εὐφημήσωμεν ... hoc troparium Ch tradit: Ὦ ἱερὰ ὁμήγυρις πατέρων, / ὡς Θεῷ παριστάμενοι / μετὰ παρρησίας ἀκλινοῦς, ἱκετεύσατε / ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν / ἐκ τῶν κινδύνων καὶ περιστάσεων / καὶ ἐκ τῶν ἀναγκῶν ἡμῶν ἱκετεύομεν; idem post v. 496 Cg ponet 495 πιστῆς] αὐτῶν Cg 496 ἀπεδείχθησαν Cg ὅτε] τό τε Cx 497 μάνδρα Cg ἐν πίστει] οἰκτίρμον Cg Ch 499 ἀσάλευτον Cx

500 σφραγίσας τῷ τιμίῳ σου
αἵματι, ὅπως τὸν ὀλοθρεύοντα
διαφυγόντες, σωτήρ, σωθησόμεθα.

τριαδ Τριὰς ἁγία, δόξα σοι καὶ αἶνος,
ἡ τοὺς πάντας φωτίζουσα
505 τοὺς ὁμολογοῦντάς σε Θεὸν ὁμοδύναμον·
διδάσκεις, ὑπερούσιε,
τρισὶ προσώποις μίαν θεότητα
χερουβικῶς ὑμνεῖν σε ἀεὶ καὶ δοξάζειν σε.

f. 26v θεοτ. ‖ Θεογεννῆτορ δέσποινα παρθένε,
510 ἡ ἀφθόρως γεννήσασα
τὸν δημιουργόν σου καὶ Θεὸν πάσης κτίσεως,
ἱκέτευε δεόμεθα
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ θλίψεως
καὶ ἐξ ἐχθρῶν βαρβάρων ἀεὶ καὶ θανάτου φθορᾶς.

501 καὶ ζωηφόρῳ δέσποτα αἵματι Ch Cg tantum αἵματι refert 502 ὅπως τὸν ὀλοθρεύοντα διαφύγωμεν Cg Ch 507 μιᾷ θεότητι Cx 509-514 θεοτ. dissimile Cy tradit: Χαῖρε, σκηνὴ καὶ ἔμψυχε νεφέλη / καὶ λυχνία ὁλόφωτε, / χαῖρε, ἀδιόδευτον χωρίον εὐρύχωρον, / ἡ μόνη τὸν Θεὸν ἡμῶν / σεσαρκωμένον ἐκ σοῦ γεννήσασα, / τὸ λογικὸν θυμίαμα καὶ οὐράνιον.

16 IAN. *CANON* XXIV

IN SANCTUM PETRUM VINCULIS AB ANGELO SOLUTUM

Synaxarium, 395: Μνήμη τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου, ἐν ᾗ καὶ τὴν προσκύνησιν ποιούμεθα τῆς τιμίας μερίδος τῶν περιτεθεισῶν αὐτῷ ἀλύσεων διὰ τὸ τῆς πίστεως κήρυγμα.....

Crypt.	Δ.α. XXIV	= Cy,	ff. 145-147
Sabait.	gr. 70	= J,	ff. 132v-135
Marc.	gr. II,166	= Z,	ff. 252-253
Patm.	198	= Πd,	ff. 218v-221

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Πέτρον γεραίρω τὸν καλόν μου προστάτην.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ

* Πέτραν ζωῆς
καὶ ζωηφόρον Χριστὸν τὸν Θεόν,
ὅν, ἐκ πατρὸς δεξάμενος
τὴν ἀποκάλυψιν,
5 ὡμολόγησας, Πέτρε,
τοὺς σὲ προσκαλουμένους
σῶσαι δυσώπησον.

* Ἐπὶ τῆς σῆς
ὁμολογίας, θεσπέσιε,

Canon usque ad oden ζ' ed. in PHG pp. CXIII-CXVII tit. Ἕτερος κανὼν τοῦ ἁγίου ἀποστόλου πέτρου φέρων ἀκροστιχίδα ... et in margine θεοφάνους J Κανὼν εἰς τὴν τιμίαν ἄλυσιν τοῦ ἁγίου ἀποστόλου πέτρου Πd Κανὼν τοῦ ἁγίου Πέτρου, οὗ ἡ ἀκροστιχίς· Πέτρον γεραίρω ... PHG
heirm. α' ΕΕ 37, n. 51, Cosmae 8 σῆς] γῆς Z

8-12 cfr. Matth. 16,16-18

10 τὸν τὸν στερρὸν θεμέλιον
οἰκοδομήσαντα
τῆς αὐτοῦ ἐκκλησίας
τοῖς πίστει σε τιμῶσι
νῦν ἐξιλέωσαι.

15 * Τῶν οὐρανῶν
ὡς βασιλείας τὴν εἴσοδον
πεπιστευμένος, ἔνδοξε,
τοὺς σοὶ προστρέχοντας,
διανοίξας, προσδέχου,
20 συγχώρησιν πταισμάτων
τούτοις αἰτούμενος.

θεοτ. * Ῥήσει σοφῇ
τῶν σῶν χειλέων ἑπόμενοι
περιχαρῶς, πανάμωμε,
25 σὲ μακαρίζομεν
τὴν ἡμῖν γενομένην
αἰτίαν τῆς ἀφράστου
μακαριότητος.

ᾠδὴ γ'. *Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας*

* Οὐρανοὺς ἐν συνέσει ὁ διατείνας,
30 οὐρανὸν λογικόν σε τὴν θείαν δόξαν
πανσόφως διηγούμενον ἀναφαίνει
Χριστός, ᾧ ψάλλομεν·
« σὺ εἶ Θεὸς ἡμῶν

10 τοῦτον στερρὸν θεμέλιον Cy σοῦ τὸν στεῤῥὸν θεμέλιον PHG καὶ βάθρων ἀθεμέλιον Z 11 ᾠκοδομήσαντα PHG 12 αὑτοῦ PHG 14 δίδου εὐίλατον Πd 15 Τὸν οὐρανὸν PHG 16 ὡς] τῆς Πd 18 προστρέχοντας] προσφεύγοντας J Z PHG 21 ἡμῖν δωρούμενος Πd 24 πανάμωμε] Θεοτόκε PHG 25 μακαρίζομέν σε PHG 26 ἡμῶν Cy Z Pd PHG γεννηθῆσαν Πd
heirm. γ' ΕΕ 38, n. 51, Cosmae 30 οὐρανὸν λογικόν σου. ... Cy οὐρανόν σε λογικὸν ... PHG 32 χριστὲ Z 33 post εἶ orat. varie excidunt Cy Z Πd

15-17 Matth. 16,19 29 cfr. Ps. 135,5

καὶ οὐκ ἔστι δίκαιος
35 πλήν σου, κύριε ».

f. 145 * || Νεφέλαις τὸν οὐρανὸν ὁ περιβάλλων
νεφέλην σε σκιάζουσαν ἰαμάτων
καὶ βρύουσαν ἀνθρώποις τὴν σωτηρίαν
Χριστὸς εἰργάσατο,
40 Πέτρε μακάριε,
ἀποστόλων πρόκριτε,
στόμα πυρίπνοον.

* Γῆν ὁ θεμελιώσας ἐπὶ θαλάσσης,
θαλάσσης ἐπιβαίνοντα παραδόξως
45 ἀνέδειξε καὶ χεῖρά σοι ζωηφόρον
Χριστὸς ἐξέτεινεν,
ὃν νῦν δυσώπησον,
ἀποστόλων καύχημα,
σῶσαι τὴν ποίμνην σου.

θεοτ. 50 * Ἐν σοὶ ἐθεωρήθησαν αἱ πορεῖαι,
παρθένε, τοῦ δεσπότου καὶ βασιλέως·
γεγέννηκας γάρ, πάναγνε, ὑπὲρ λόγον
σάρκα γενόμενον
τοῦτον, ᾧ ψάλλομεν·
55 « ὡς οὐκ ἔστιν ἅγιος
πλήν σου, κύριε ».

34-35 οὐ γάρ ἐστιν ἅγιος πλήν σου, φιλάνθρωπε, PHG 36 τὸν οὐρανὸν] οὐρανόν τε J Πd οὐρανὸν γὰρ PHG 37 σκιάζουσαν] πηγάζουσαν PHG 39 εἰργάσατο] ἡγήσατο PHG 42 πυρίμνοον Cy 43 ὁ θεμελιώσας] ἐθεμελίωσας Z 44 θαλάσση Πd 45 ἀνέδειξας Cy ζωηφόρον] βοηθείας Πd 52 γάρ, πάναγνε, ὑπὲρ λόγον] σαρκὶ γὰρ ἀπορρήτως J σαρκικῶς γὰρ καὶ ἀπορρήτως Z ἀσπόρως καὶ ἀποῤῥήτως Πd σαρκὶ γὰρ καὶ ἀποῤῥήτως PHG 54 τοῦτον ᾧ] τούτῳ οὖν PHG post ψάλλομεν addidit Cy: σὺ εἶ θεὸς ἡμῶν et deinde orat. abrumpit 55 ὡς οὐκ] καὶ οὐκ Cy οὐ γὰρ PHG post ἔστιν invocationem varie detruncant Cy Z Πd 56 κύριε] φιλάνθρωπε PHG post oden δ' κάθ. tradit Z: Ὡς κορυφαία τῶν σοφῶν ἀποστόλων (pro Ὡς κορυφαῖον...) MR III,250

36 Ps. 146,8 43 Ps. 23,1-2 43-46 cfr. Matth. 14,28-31

ᾠδὴ δ'. *Ὑμνῶ σε·
ἀκοὴν γάρ, κύριε,*

* Ῥημάτων
ἡ φωνή σου ἔδραμεν
εἰς τὰ πέρατα, φθεγγομένη
60 θείας ζωῆς ῥήματα
καὶ θαύματα διηγουμένη
Χριστοῦ,
τοῦ ἐνδόξως σε τιμήσαντος
καὶ κοφυραῖον θεῖον ἐκτελέσαντος.

65 * Ἀκτῖνα
παμφαῆ σε ἔδειξεν
ἀνατείλας δικαιοσύνης
ὁ ἥλιος, ἅπασαν
φωτίζουσαν τὴν οἰκουμένην,
70 Χριστός,
λαμπηδόσι τοῦ κηρύγματος
καὶ τῶν θαυμάτων αἴγλῃ καταλάμπουσαν.

* Ἰάσεις
ἡ σκιὰ τοῦ σώματος
75 τοῦ ἁγίου σου ἐπετέλει·
δοχεῖον γὰρ γέγονας
τοῦ πνεύματος τοῦ παναγίου,
δι' οὗ
τῶν θαυμάτων τὴν ἐνέργειαν
80 κατεπλουτίσθης, Πέτρε παμμακάριστε.

θεοτ. * Ῥυπῶσαν
τὴν ψυχήν μου πάθεσι,
καθαρότητος γενομένη,

heirm. δ' EE 38, n. 51, Cosmae 63 τιμήσαντος] δοξάσαντος PHG 64 ἐκτελέσαντα Cy 67 ὁ ἀνατείλας ... Cy 68 ὁ] ὡς Cy ἅπασαν om. Z 71 λαμπηδόνα PHG 72 αἴγλην Z PHG 75 ἐπετέλει] ἀνατέλλει PHG 78-79 καὶ τῶν θαυμάτων θείαν ἐνέργειαν PHG 80 παμμακάριστε] παναοίδιμε Πd 82 ψυχὴν] μορφὴν Z Πd 83 γεγενημένη Cy

73-75 Act. 5,15-16

* Λαμπηδόσι Χριστοῦ φωτιζόμενος,
τὴν τῶν ἀποστόλων χορείαν ἐκόσμησας,
135 ἧς κορυφαῖος γέγονας
καὶ προστάτης καὶ θεῖος πρωτόθρονος.

θεοτ. * Ὁ τῶν ὅλων ἐπέκεινα κύριος,
Λόγος ὁ ὑπέρθεος σὰρξ ἐχρημάτισε
δι' εὐσπλαγχνίαν ἄφατον
140 ἐν γαστρί σου σκηνώσας, πανάμωμε.

Κοντάκιον.

Ἦχος β.' *Τὰ ἄνω ζητῶν*

Τὴν πέτραν Χριστοῦ
....

Ὁ οἶκος. *Τράνωσόν μου*

Ὄντως νυνὶ
ἐπέστη τοῖς πᾶσι,
τοῖς ἐγγὺς καὶ τοῖς πόρρω,
ἑορτάσαι φαιδρῶς
5 καὶ προσκυνῆσαι τῷ θαύματι
τῆς σεβασμίας
Πέτρου τοῦ θείου
κορυφαίου ἁλύσεως,
ἐν ᾗ ἐδέθη ὑπὲρ Χριστοῦ, ὡς κακοῦργος
10 φορέσας αὐτὴν ἐν φρουρᾷ·
συμφώνως δεῦτε τὰς ὄψεις
καὶ τὰ χείλη αὐτῇ προσπελάσωμεν

---

134 τῇ τῶν ἀποστόλων χορείᾳ κεκόσμησαι PHG 138 ὁ ὑπέρθεος] ὁ πέρθεος Cy ὁ ὑπάρχων θεὸς Z 140 ἐν] ἐκ Cy πανάχραντε Z
κοντάκ. HC 399; ipsum om. J Πd; Z autem aliud profert: Ἡ πέτρα Χριστὸς ... MR III, 253
heirm. οἴκ. MR V, 396 οἴκ. om. J Πd vv. 1-5 similes sunt ac Z et PHG p. CXLIV a Pitra editis, differunt autem vv. 6-16 3 τοῖς ἐγγὺς] τοῖς ἐν γῇ Cy καὶ πόρρω PHG

εὐωδίαν ἐκ ταύτης λαμβάνοντες·
καὶ γὰρ πάρεστιν ὁ θεῖος ἀπόστολος
15 δωρούμενος ἐκ ταύτης
λύσιν τῶν δυσχερῶν.

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

* Ναμάτων πηγὴ
ἐκ τοῦ οἴκου τοῦ Θεοῦ πορευομένη
σὺ ἀνεδείχθης· τὸ γὰρ πρόσωπον
τῆς ἐκκλησίας κατήρδευσας
145 στάζων τὴν τοῦ πνεύματος δρόσον
καὶ ποτίζων τοὺς ψάλλοντας·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

* Μεθέξει φωτὸς
150 ἀϊδίου τοῦ Χριστοῦ φῶς ἐχρημάτισας
ὅλῳ τῷ κόσμῳ καὶ κατηύγασας
τῆς οἰκουμένης τὰ πέρατα
φέγγει τοῦ κηρύγματος, Πέτρε,
καὶ κραυγάζειν ἐδίδαξας·
155 « εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

f. 146v ‖ Ὁ κλεῖς οὐρανῶν
βασιλείας πιστευθεὶς καὶ ἐξουσίαν
ἔχων τοῦ λύειν ἁμαρτήματα
160 τῶν προστρεχόντων τῇ σκέπῃ σου,
λῦσον τὰς σειρὰς τῶν πταισμάτων,

---

heirm. ζ' EE 39, n. 53, Cosmae 142 πορευομένη] προϊεμένη PHG 143 τὸ γὰρ] καὶ τὸ Πd 144 τὸ τῆς ... PHG 147. 155 εὐλογητὸς] Εὐλογεῖτε PHG post εὐλογητὸς orat. varie excidunt cdd. et PHG 149 Μεθέξει] Ἀΰλου PHG 150 τοῦ om. PHG Χριστοῦ] Θεοῦ PHG 151 ὅλον τὸν κόσμον PHG 152-153 τῆς πάσης οἰκουμένης, τῷ φέγγει / τοῦ κηρύγματος, ὦ Πέτρε, PHG 157-164 troparium desideratur in PHG 158 ἐξουσίας Z 161 λῦσον Cy λύσας ceteri cdd.

157-159 cfr. Matth. 16,19

ὑποδέχου κραυγάζοντας·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. 165 * Ὑπάρχων τὸ πρὶν
ἀπερίγραπτος Θεὸς φύσει τοῦ σώματος
περιεγράφη, ὃ προσείληφε,
κατασκηνώσας σου, πάναγνε,
τὴν ἡγιασμένην γαστέρα·
170 διὸ πίστει σοι κράζομεν·
« εὐλογημένη ἡ Θεὸν
σαρκὶ κυήσασα ».

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Πλήρης φωτὸς ὑπερφυοῦς
ψαλμικῶς ὡς ἀστραπὴ ἔφανας κόσμῳ
175 πανταχόθεν διώκων
τὴν τῶν δαιμόνων ἀχλὺν
καὶ πάντας
φωτίζων, πανόλβιε,
τοὺς ὑπερυψοῦντας
180 Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥάβδον κατέχων τὸν σταυρόν,
τὰς θαλάσσας τῶν ἐθνῶν ἔρρηξας, μάκαρ,
πρὸς οὐράνιον κλῆρον
διαβιβάζων ἡμᾶς
185 τοὺς πίστει
καὶ πόθῳ τιμῶντάς σε
καὶ ὑπερυψοῦντας
Χριστὸν εἰς τοὺς αἰῶνας.

162 κραυγάζοντα Πd 163 post εὐλογητὸς laudem varie intermittunt cdd. 166 τοῦ om. PHG 167 περιγραφῇ νῦν, οὗ προεῖληφεν PHG 168 κατασκήνωσέ σου PHG 169 τὴν ἡγιασμένην σου μήτραν PHG 171 εὐλογητὸς ὁ θεὸς Cy post θεὸς orat. abrumpit Cy 171 εὐλογημένη] Εὐλογεῖτε PHG post Εὐλογεῖτε cetera om. PHG
heirm. η' ΕΕ 35, n. 47, Joannis 173 ὑπερφυῶς Cy 174 κόσμον Πd 179. 187 post ὑπερυψοῦντας orat. detruncant Cy Πd 181 τοῦ σταυροῦ Cy J

Ὁμολογήσας τὸν Χριστὸν
190 ἀληθῶς εἶναι υἱὸν Θεοῦ τοῦ ζῶντος,
ὑπ' αὐτοῦ, θεοφάντορ,
ἐμακαρίσθης σαφῶς
καὶ Πέτρος
ἐκλήθης φερώνυμος,
195 ὡς τῆς ἐκκλησίας
κρηπὶς ἀρραγεστάτη.

Συντομωτάτῃ καὶ στενῇ
τοῦ δεσπότου σου Χριστοῦ διδασκαλίᾳ
κεχρημένος, καθεῖλες
200 τὰς τῶν ῥητόρων πλοκὰς
καὶ λόγων
ματαίων τὸ φλήναφον,
τῆς θεογνωσίας
τὸ φέγγος ἀπαστράψας.

θεοτ. 205 * Τὸν βασιλέα τοῦ παντὸς
ἡ γεννήσασα Χριστόν, τῆς τυραννίδος
τῶν παθῶν λυτρουμένη
τοὺς εὐσεβεῖ λογισμῷ
μητέρα
210 Θεοῦ σε γινώσκοντας,
τῆς ἐν παραδείσῳ
τρυφῆς τυχεῖν δυσώπει.

ᾠδὴ θ'. *Ἀνάρχου γεννήτορος*

Ἀνάρχου γεννήτορος
καὶ χρονικὴν τὴν ὕπαρξιν
215 ἐπ' ἐσχάτων λαβόντος
ἐκ τῆς παρθένου μητρὸς

190 ἀληθῆ Πd τοῦ om. Cy 194 φερώνυμε Πd θεώνυμος Cy 197-204 J unus ex cdd. troparium servat 205-212 θεοτ. ETh 237 206 Χριστὸν] σεμνὴ Z ETh 210 γινώσκοντος Cy γινώσκοντες Πd
heirm. θ' ΕΕ 35, n. 46, Joannis 215 λαβώτος Πd

189-196 cfr. Matth. 16,16-18

τῆς διπλῆς γεννήσεως ὤφθης
παναληθὴς
κῆρυξ, θεορρῆμον·
220 διὸ πάντων πρόκριτος
ἀποστόλων ἐχρημάτισας.

Τυχεῖν ἐφιέμενος
τῆς ὑπὲρ νοῦν θεότητος
καὶ Χριστὸν κατοπτεῦσαι
225 θερμῶς γλιχόμενος,
τούτου τὸ σωτήριον πάθος
περιχαρῶς,
μάκαρ, ἐμιμήσω
διὰ τῆς σταυρώσεως
230 πρὸς αὐτὸν ἀναφερόμενος.

Ἡ ἐπισκιάζουσα
τοῦ πνεύματός σοι χάρις, σοφέ,
καὶ σκιᾶς ἑπομένη
σαφῶς τοῦ σώματος
235 καὶ τοὺς ἀσθενεῖς ἰωμένη
καὶ τοὺς κακῶς
νοσηλευομένους,
αὐτὴ φρουρησάτω με,
θεοφάντορ, ταῖς πρεσβείαις σου.

f. 147 θεοτ. || Ναὸς ἐχρημάτισας
241 καὶ τόπος ἁγιάσματος
τῆς πρὸς σάρκα τοῦ Λόγου
φρικτῆς ἑνώσεως·
ἐν σοὶ γὰρ ἡνώθησαν μόνῃ
245 τὰ φυσικῶς
πρώην διεστῶτα·
διό σε, πανάμωμε,
θεοτόκον καταγγέλλομεν.

---

217 γενέσεως Cy 223 θεώσεως J Z id. om. Πd 227 περιφανῶς
233 σκιαῖς J Z Πd

IN SS. SPEUSIPPUM, ELASIPPUM ET VELESIPPUM

Synaxarium, 396-397: . . . . . ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Σπευσίππου, Ἐλασίππου, Βελεσίππου καὶ Νεονίλλης τῆς μάμμης αὐτῶν. Οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐκ Καππαδοκίας, τρίδυμοι, πωλοδαμνεῖν ἄριστα μεμαθηκότες καὶ τοὺς ἵππους κατὰ τῶν πεδίων κινεῖν. Κατά τι δὲ πάτριον ἔθος ἑορτὴν ἄγοντες Νεμεσίου Διός, τὴν μάμμην αὐτῶν Νεονίλλαν ἐκάλουν πρὸς τὴν ἑστίασιν. Ἡ δέ, καὶ γὰρ ἤδη τὰ περὶ τοῦ Χριστοῦ ἐμεμύητο, τὴν περὶ ἡμᾶς αὐτοῦ γενομένην διεξῆλθεν αὐτοῖς οἰκονομίαν καὶ τὰ εἴδωλα τῶν ἐθνῶν διεχλεύαζεν. Ἡ δὲ ταῦτα διηγήσατο καὶ εὐθὺς αὐτοῖς ἀφορμὴ πρὸς σωτηρίαν ἐγένετο. Ἕκαστος γὰρ ἀνεμνήσθη ἃ ἐν τῇ παρελθούσῃ νυκτὶ ἐθεάσατο· τὰ δὲ ἦν ὁδηγοῦντα πρὸς τὴν εἰς Χριστὸν πίστιν αὐτούς. Καὶ εὐθέως καθαιρέται τῶν εἰδώλων γενόμενοι καὶ τὸν Χριστὸν παρρησίᾳ ὁμολογήσαντες καὶ ὑπὸ τῶν κυρίων αὐτῶν ἐν πυρὶ βληθέντες, τὸν τοῦ μαρτυρίου στέφανον ἔλαβον.

Crypt. Δ.α. XV = Cg, ff. 142-146v
Crypt. Δ.α. V = Ch, ff. 91-93
Crypt. Δ.α. XX = Cx, ff. 35v-39

Ὁ κανὼν φέρων ἀκροστιχίδα· Ἄιδω γεγηθὼς τοὺς πόνους τῶν μαρτύρων· Ἰωσήφ.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ*

Ἀναφανέντες ἐν ὕψει τῆς τοῦ Θεοῦ
ἐκκλησίας, ἔνδοξοι,
ὡς ἀστέρες φωταυγεῖς,

Cg, alternatis odis, duos canones hoc ordine profert: priorem (ff. 141v-146v) in s. Petrum vinculis ab angelo solutum (inc. Πέτρᾳ στηριζόμενοι ..... MR III, 248), alterum (ff. 142-146v) quem huc referimus tit. Ἕτερος κανὼν τῶν μαρτύρων φέρων ... et in margine Ἰωσήφ Cg Τῇ ἑσπέρα κανὼν τῶν ἁγίων μαρτύρων φέρων... Ch

heirm. α' EE 159, n. 224, Joannis 1 Θεοῦ] χριστοῦ Ch 2 ἔνδοξοι] μάρτυρες Ch

τὰ τῆς γῆς πληρώματα αὐγαῖς
5 τῆς ἀθλήσεως ὑμῶν
κατεφωτίσατε.

Δεδοξασμένοι, πανεύφημοι ἀθληταί,
τοῖς οἰκείοις μέλεσιν
ἐδοξάσατε Χριστὸν
10 τὸν παθόντα σώματι· διὸ
τὴν ὑμῶν περιχαρῶς
μνήμην δοξάζομεν.

Ὥσπερ τριπλόκῳ σχοινίῳ τῇ ἀρραγεῖ
πίστει οἱ πανεύφημοι
15 τῆς τριάδος ἀθληταὶ
καρτερῶς ἀθλήσαντες οἱ τρεῖς,
τὴν πληθὺν τῶν δυσσεβῶν
ἐναπηγχόνισαν.

θεοτ. Γῆ ἀγεώργητος ὤφθης στάχυν ἡμῖν
20 γεωργοῦσα, πάνσεμνε,
τὸν τροφέα τοῦ παντός,
Ἰησοῦν τὸν κύριον, ἐξ οὗ
οἱ φαγόντες πρὸς ζωὴν
ἀνακαλούμεθα.

f. 142v ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος, ὡς σύ,*

25 Ἐνεύρου πόθος θεϊκὸς
τοὺς σοφοὺς ἀθλοφόρους
ὑπομένειν βασάνους
καὶ τροποῦσθαι τὸν ἐχθρὸν
καὶ στέφος νικητικὸν

7 πανεύφημοι] ἐνδόξως Ch Cx ὦ ἀθληταὶ Ch οἱ ἀθλητὲ Cx 9 Χριστὸν] θεὸν Ch 10 τὸν παθόντα σώματι] τῶν παθῶν τὰ σώματα Cg τῶν παθῶντα σῶματα Cx 11 περιχαρῶς] περιφανῶς Ch 13 σχοινίῳ] στεφάνῳ Ch 22 ἐξ οὗ] ἐκ σοῦ Cg Cx
heirm. γ' EE 159, n. 224, Joannis 27 ὑπομένειν] ὑποφέρειν Ch Cx

30 ἐκ παλάμης
θείας ὑποδέχεσθαι.

Γαλήνης ἔμπλεον ψυχὴν
κεκτημένοι, ὁπλῖται
τῆς Χριστοῦ ἀληθείας,
35 τὴν ζάλην τῶν θλιβερῶν
καὶ τρικυμίαν δεινῶν
κυβερνήσει
θείᾳ ἀπεκρούσασθε.

Ἡδύνθη λάρυγγι ὑμῶν
40 ὁ ἡδύτατος λόγος
τῆς ὑμᾶς θρεψαμένης
γηραιᾶς καὶ τὴν πικρὰν
κακοπιστίαν, σοφοί,
ἐπινεύσει
45 θείᾳ ἐξεκλίνατε.

θεοτ. Θεὸν σαρκούμενον ἐκ σοῦ
καθορῶντες, παρθένε,
θεοτόκον κυρίως
ὁμολογοῦμεν, ἁγνή,
50 σέ, τὴν αἰτίαν σαφῶς
τῆς τῶν πάντων
οὖσαν ἀναπλάσεως.

Κάθισμα.

Ἦχος γ'. *Τὴν ὡραιότητα τῆς παρθενίας σου*

Νέῳ ἐν σώματι κατεπαλαίσατε,
θεομακάριστοι, τὸν παλαιὸν πτερνιστήν,
τὰς ἀλγηδόνας ὡς τρυφὰς

34 ἀληθείας] ἐκκλησίας Ch 36 δεινῶν] παθῶν Cx 38 ἀποκρούσασθαι Cx
κάθ. Νέῳ ἐν σώματι... deest in Cx; in Ch autem idem κάθ. post oden ζ' invenitur
heirm. καθ. HR 243

τῶν βασάνων ἡγησάμενοι·
5 ὅθεν τὴν ἀνώδυνον
νῦν κληροῦσθε ἀπόλαυσιν,
πάντα πόνον λύοντες
τῶν ψυχῶν ἡμῶν, ἅγιοι,
τῶν πίστει καταχρέως τελούντων
10 μνήμην τὴν ἱερὰν ὑμῶν πάντοτε.

f. 143 ‖ Ἄλλο.
Ἦχος δ΄. *Κατεπλάγη Ἰωσήφ*

Τῆς τριάδος τῷ φωτὶ
πεπυρσευμένοι τὴν ψυχήν,
ἀθεΐας τὸ βαθὺ
σκότος ἐλίπετε σπουδῇ
5 τῆς θρεψαμένης, μακάριοι, παραινέσεσι
καὶ χαίροντες ὁμοῦ πρὸ τῆς ἀθλήσεως
τὰ σκάμματα, σοφοί, ἐπαπεδύσασθε
καὶ τῶν ἐχθρῶν τὸ φρύαγμα νομίμως
ἀγωνισάμενοι καθείλετε
10 καὶ νῦν οἰκεῖτε, στεφανηφόροι
ἀθληταί, τὰ οὐράνια.

ᾠδὴ δ΄. *Χριστός μου δύναμις*

f. 143v ‖ Ὡραίοις στίγμασιν
ὡραϊζόμενοι,
55 ἁμαρτίας τὸ πάχος
καὶ τὴν φθορὰν
ὄντως ἐξεδύσασθε
τῇ ἀφαιρέσει τῆς δορᾶς,
ἀθλοφόροι ἀξιάγαστοι.

καθ. Τῆς τριάδος τῷ φωτὶ deest in Ch Cx heirm. καθ. MR I, 233
9 καθήλατε Cg heirm. δ΄ EE 159, n. 224, Joannis 53 ὡραίοι Cx 57 ἀπεδύσασθε Ch 59 ἀξιάγαστοι] γενναιότατοι Ch Cx

60 Σταυρὸν καὶ θάνατον
καταδεξάμενον
ἐγνωκότες τὸν Λόγον,
τὸν δι᾽ αὐτὸν
θάνατον ὑπέστητε,
65 τὰς ἀθανάτους, ἀθληταί,
ἀντιδόσεις κληρωσάμενοι.

Τὸν θεῖον Σπεύσιππον
καὶ τὸν Βελέσιππον
εὐφημοῦντες ἐν πίστει,
70 τὸν ἱερὸν
μέλψωμεν Ἐλάσιππον,
τοὺς τῆς τριάδος ἀθλητὰς
καὶ φωστῆρας τῶν ψυχῶν ἡμῶν.

Οὐ παρετράπητε
75 τῆς θείας στάσεως
προτροπῇ δυσσεβούντων,
οὐ τοῦ φωτὸς
σκότος προεκρίνατε,
ἀλλ᾽ ἐναθλήσαντες στερρῶς,
80 ἀθλοφόροι, ἐδοξάσθητε.

θεοτ. Ὑπάρχων ἄσαρκος
ὁ ὑπερούσιος
οὐσιώθη ἀφράστως
ἐκ τῶν σεπτῶν,
85 πάναγνε, αἱμάτων σου
καὶ σὰρξ ἀτρέπτως τοῖς βροτοῖς
ὁμιλήσας ἐχρημάτισεν.

---

65 ἀθληταὶ] δι᾽ αὐτοῦ Ch 68 Βελέσιππον] ἐλάσιππον Ch 71 Ἐλάσιππον] βελέσιππον Ch 87 ἐχρημάτισεν] ἀναδέδεικται Ch Cx

---

74-80 Synax. CP., (Selecta) 397 56-57: Ὡς δὲ ἦλθον οἱ κύριοι αὐτῶν ... ἤρξαντο μεταπείθειν αὐτοὺς κολακείαις τε καὶ ἀπειλαῖς. Ὡς δὲ οὐκ ἔπεισαν, πῦρ ἑτοιμάσαντες ἐνέβαλον αὐτούς· καὶ οὕτως ἐτελεύτησαν ....

ᾠδὴ ε΄. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

f. 144 ‖ Σὲ τὸ ἀπαύγασμα τοῦ πατρὸς
ὁ μακαριώτατος χορὸς
90 τῶν ἀθλοφόρων ἐπόθησε
καὶ τῆς δυσσεβείας
σκότος βαθύτατον
ἐμείωσεν, οἰκτῖρμον,
μόνε φιλάνθρωπε.

95 Πίων καθάπερ γῆ ἐκλεκτὴ
σπόρον τὸν σεπτὸν ὄντως, σοφοί.
τῆς διανοίας τοῖς αὔλαξιν
ὑποδεδεγμένοι,
ἑκατοστεύοντα
100 τοῦ μαρτυρίου στάχυν
ἐγεωργήσατε.

Ὁ παλαμναῖος καὶ δυσσεβὴς
ξέων ἀφειδῶς τῶν ἀθλητῶν
τὰ ἱερώτατα σώματα,
105 τὴν τῆς διανοίας
ἀκεραιότητα
καὶ βέβαιον τῆς γνώμης
οὐ παρεσάλευσεν.

θεοτ. Νόμοι τῆς φύσεως ἐπὶ σοί,
110 πάναγνε παρθένε, ἀληθῶς
καινοτομοῦνται· παρθένος γὰρ
μένεις μετὰ τόκον,

heirm. ε′ EE 159, n. 224, Joannis 93 ἐμείωσαν Cx 95 Πίων] Βίον Cg 96 σοφοί] σεπτοί Ch 97 τοῖς] ταῖς Ch 103 ξένων Cx

102-108 H. Grégoire, *Saints Jumeaux et dieux cavaliers,* "Revue de l'Orient chrétien" 9 (1904) 472[3-8]: Καὶ οὕτως οἱ ἄνομοι τοὺς μακαρίους παῖδας εἰς δένδρα ἀντὶ προσώπου κρεμάσαντες, κλῶνας ἀκανθῶν φέρεσθαι τοῦ ξέειν τοὺς παῖδας ἐκέλευον. Οἱ δὲ οὕτως ἐξέσθησαν, ὡς πάντων τῶν μελῶν καταρρυέντων μέχρι καὶ τῶν ὀστέων τὰ δὲ νεῦρα διεσπάσθησαν. Οἱ δὲ τοῦ Χριστοῦ ἄρνες διασπώμενοι ὑπὸ τῶν λύκων, γενναίως ἔφερον ὡς ἀθληταὶ τοῦ Θεοῦ ...

ὡς πρὸ γεννήσεως,
Χριστὸν τὸν νομοδότην
115 ἀποκυήσασα.

ᾠδὴ ς΄. *Τοῦ βίου τὴν θάλασσαν*

Ὁ θεῖος Βελέσιππος
σὺν Σπευσίππῳ τῷ σοφῷ
f. 144v ‖ καὶ Ἐλασσίπῳ σήμερον,
οἱ τῆς τριάδος ἔνδοξοι ἀθληταί,
120 στερρῶς ἐναθλήσαντες,
ἱεραῖς μελῳδίαις εὐφημείσθωσαν.

Ὑψώθητε, μάρτυρες,
πρὸς Θεόν, ὡς ἀληθῶς
ταπεινωθέντες σώμασι
125 καὶ τὴν ἔπαρσιν πᾶσαν τοῦ δυσμενοῦς
στερρῶς κατεβάλετε
καὶ τῆς νίκης στεφάνους ἀνεδήσασθε.

Σαφῶς ἐθανάτωσαν
τὸν ἀπάτῃ δολερῶς
130 τὴν Εὔαν θανατώσαντα
Ἰονίλλα ἡ μάρτυς καὶ σὺν αὐτῇ
ἡ ἀκαταγώνιστος
Νεονίλλα, τῷ ξίφει θανατούμεναι.

θεοτ. Τὰ πάθη θεράπευσον
135 τῆς ἀθλίας μου ψυχῆς,
θεογεννῆτορ πάναγνε,

heirm. ς′ EE 159, n. 224, Joannis 124 σώματι Ch Cx 128 Σαφῶς] Σοφῶς Ch 129 δολερᾷ Ch Cx 131 Ἰονίλλα] νεονίλλα Ch 133 Νεονίλλα] ἰωνίλλα Ch

128-133 Synax. CP., (Selecta) 399[49-50]: Ἰουνίλλα δέ τις γυνὴ ... ὡμολόγησεν ἑαυτὴν χριστιανήν· καὶ εὐθέως τέμνεται τὴν κεφαλὴν μετὰ Νεονίλλας τῆς μάμμης τῶν μαρτύρων ... cfr. H. Grégoire, o.c., 474[3-14]

τὸν λογισμὸν κατεύνασον προσβολαῖς
ἐχθρῶν κυματούμενον
καὶ εἰρήνευσον, κόρη, τὴν καρδίαν μου.

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

f. 145 140 Ὡς οἱ παῖδες τῇ πυρᾷ καθυπεβλήθητε
οἱ τρεῖς ὁμοῦ αὐτάδελφοι,
μὴ φλεχθέντες δέ,
ἀθλοφόροι, νεύσει θεϊκῇ,
ἐμέλπετε ὕμνον τῷ Χριστῷ·
145 « εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Νεανίας τρεῖς ἡ κάμινος ἐδέξατο
ἀφλέκτους συντηρήσασα,
τοὺς δὲ μάρτυρας
150 ἀριθμὸν πληροῦντας τὸν αὐτὸν
λαβοῦσα, ὑψοῖ πρὸς οὐρανὸν
καὶ τῷ τῶν ὅλων παριστᾷ
στεφανηφόρους Θεῷ.

Μακαρίως Νεονίλλα τετελείωται,
155 τοὺς ἀθλοφόρους μάρτυρας
ἐπαλείψασα
καθελεῖν τὸ κράτος τοῦ ἐχθροῦ,
μεθ' ἧς Ἰονίλλα ἐναθλεῖ
καὶ στεφανοῦται ὁ κλεινὸς
160 Νέων προθύμῳ ψυχῇ.

---

137 καταύνασον Cx
heirm. ζ' EE 159, n. 224, Joannis 140 καθυποβλήθηται Cx 144 ἐμέλπετε] ἐψάλλετε Ch Cx 145 post εὐλογητὸς orat. varie detruncant cdd. 148 ἀφλέκτως Cg 158 Ἰονίλλα] ἡ οὐνίλλα Cg νεώνιλλα Cx 160 ψυχῆς Cx

---

140-153 H. Grégoire, o.c., 472-473: Τότε λοιπὸν ἐκέλευον ἐν τῇ πυρᾷ βληθῆναι. Οἱ δὲ τὸ σημεῖον τοῦ σωτηρίου σταυροῦ ἕκαστος τῷ δακτύλῳ ἐζωγράφει ἐπὶ τοῦ πυρὸς καὶ οὕτως τὸ πῦρ ἐκαμαροῦτο καὶ ὑψοῦτο καὶ ὑπεχώρει καὶ οὐχ ἥπτετο αὐτῶν καθόλου... Καὶ οἱ μακάριοι παῖδες ἐβόησαν πρὸς τὸν Θεὸν λέγοντες· « εὐλογοῦμεν, ὑμνοῦμεν, δοξολογοῦμεν πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα ». Καὶ ταῦτα εἰπόντες καὶ τὰς κεφαλὰς κλίναντες, τὰς ψυχὰς τῷ Θεῷ παρέδωκαν μετὰ δόξης...

Αἷμα τίμιον μαρτύρων ἐκκενούμενον
χειμάρρους ἀπεξήρανε
πολυθεΐας
καὶ πιστῶν κατήρδευσε ψυχάς,
165 βοώσας τῷ πάντων ποιητῇ·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ῥόδον ὥσπερ ἀκανθῶν ἐν μέσῳ ηὕρατο
τοῦ βίου τῶν κοιλάδων σέ,
170 ἀειπάρθενε,
Ἰησοῦς ὁ πάντων φυτουργὸς
καὶ σοῦ ἐκ γαστρὸς ἀποτεχθείς,
f. 145v κα‖τευωδίασεν ἡμᾶς
θεογνωσίας ὀδμαῖς.

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

175 Τυραννούντων θωπείας
ἐναπεκρούσασθε
καὶ μαστίγων νιφάσι
περικυκλούμενοι,
στίγμασιν ὑμῶν
180 κατεστίξατε, μάρτυρες,
πᾶσαν τῶν δαιμόνων
πληθὺν εἰς τοὺς αἰῶνας.

f. 146 ‖ Ὑπερεύρυζος ὤφθη
ὑμῶν, μακάριοι,
185 ἡ πρὸς κύριον πίστις
προσομιλούντων σαφῶς
τῇ πυρκαϊᾷ,

---

165 βοώντων Ch 166 post Θεὸς orat. varie abrumpunt cdd. 168 ὥσπερ ἀκανθῶν ἐν μέσῳ] μέσον ἀκανθῶν σε ὄντως Ch εὕρατο Ch Cx 169 σὲ] ἁγνὴ Ch 172 τεχθεὶς ἐκ γαστρὸς τῆς ἀπὸ σοῦ Cx
heirm. η' EE 159, n. 224, Joannis 176 ἐναποκρούσασθε Cg Cx 177 νιφάσι] ἠφάσι Cx 183 ὤφθης Cx 184 μακάριοι] κάριοι Cx

δεχομένων ἐν ταύτῃ τε
ἐν ἀγαλλιάσει
190 ψυχῆς τὸ θεῖον τέλος.

῾Ραντισμῷ τῶν αἱμάτων
γυναῖκες ὅσιαι
τὸν ἀρχέκακον ὄφιν
ἐναπεπνίξατε
195 καὶ τῶν εὐσεβῶν
τὰς καρδίας ἠρδεύσατε
ἀναβλαστανούσας
τῆς εὐσεβείας στάχυν.

῞Ωσπερ τρίγωνος πύργος
200 πέτρᾳ τῆς πίστεως
ἑδρασθεὶς τῶν μαρτύρων
τριὰς ἡ ἔνθεος,
πάσαις μηχαναῖς
ἀλγεινῶν ἀπερίτρεπτος,
205 ὤφθη ἑλεπόλεις
ἀθέων καταστρέφων.

θεοτ. Νοητήν σε λυχνίαν
φῶς τὸ ἀπρόσιτον
δεξαμένην, Μαρία
210 παρθένε, ἔγνωμεν,
πάντων τῶν πιστῶν
τὰς ψυχὰς καταυγάζουσαν
καὶ τῆς ἁμαρτίας
τὸ σκότος ἐκμειοῦσαν.

188 δεχόμενοι Cg 197 ἀναβλυστανούσας Cx 209 μαρίαν Cx 211 τῶν πιστῶν] τὰς ψυχὰς Cx 212 τὰς ψυχὰς] τῶν πιστῶν Cx

207 Zach. 4,2

f. 146v ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

215 ᾿Ισχὺν καὶ κράτος Χριστὸν τιθέμενοι,
τὸν τοῦ ἐχθροῦ
τὸ κράτος θείῳ πάθει ὀλέσαντα,
οἱ καλλίνικοι, ἔνδοξοι μάρτυρες
ἤνεγκαν θαρσαλέως
220 πάθη ἐπίπονα·
ὅθεν ἰατρεύουσιν ἡμῶν
τὰ πάθη πάντοτε.

῾Ως φῶς, ὡς ὄρθρος, ὡς μέγας ἥλιος
τῶν ἀθλητῶν
225 ἡ μνήμη παραδόξως ἐξέλαμψε,
τὴν ὑφήλιον πᾶσαν φωτίζουσα
καὶ τὸ τῆς ἀσεβείας
σκότος διώκουσα
καὶ τὰς διανοίας τῶν πιστῶν
230 καταλαμπρύνουσα.

Στρατὸς μαρτύρων ἁγίων, σύλλογος
πνευματικὸς
ὑμνείσθω εὐσεβῶς μελῳδήμασι,
σὺν Σπευσίππῳ ὁ μέγας Βελέσιππος,
235 Νέων καὶ Νεονίλλα,
θεῖος ᾿Ελάσιππος
σὺν τῇ ᾿Ιονίλλῃ τῇ σεπτῇ
καὶ μεγαλόφρονι.

῾Η γῆ τὴν κόνιν ὑμῶν τοῦ σώματος
240 ὡς θησαυρὸν
κατέχει, ἀθληταί, ἁγιάσματος,

heirm. θ' EE 159, n. 224, Joannis 216 τὸν] καὶ Ch 217 πάθει ὀλέσαντα] σθένει νικήσαντες Ch 218 οἱ καλλίνικοι μάρτυρες ἔνδοξοι Cx οἱ στερροὶ καὶ ἀήττητοι μάρτυρες Ch 226 φωτίζουσαν Cx 230 καταλαμπρύνουσαν Cx 231 Στρατὸς ἁγίων μαρτύρων ... Ch Cx 232 πνευματικοῖς Ch Cx 233 ὑμνείσθω μελωδήμασι σήμερον Ch 237 ἰωνίλλα Ch ἰονίλλα Cx 240 θησαυρὸς Cg

οὐρανὸς δὲ τὰ πνεύματα κέκτηται
θείαις φωτοχυσίαις
καὶ ὡραιότησι
245 περιαυγαζόμενα ἀεί,
θεομακάριστοι.

θεοτ. Φωνὴν βοῶμέν σοι χαριστήριον·
χαῖρε, φωτὸς
ἀΰλου καθαρὸν ἐνδιαίτημα,
250 ἡ αἰτία τῆς πάντων θεώσεως,
χαῖρε, κατάρας λύσις,
χαῖρε, ἀνάκλησις
τῶν κατερραγμένων γηγενῶν,
θεοχαρίτωτε.

242 κέκτηνται Cg 245 περιαυγαζόμενοι Cg περιαυγαζόμενος Cx
246 θεομακάριστε Cx 253 κατεραγμένω Ch 254 θεομακάριστε Ch

IN SANCTUM ANTONIUM

Synaxarium, 397-398: ..... Οὗτος ὁ ἅγιος πατὴρ ἡμῶν τὸ μὲν γένος ἦν Αἰγύπτιος, ἐκ πατέρων καὶ προγόνων τὴν εἰς Χριστὸν πίστιν δεδιδαγμένος..... Ἐπιδοὺς δὲ ἑαυτὸν τῇ ἀσκητικῇ ἀγωγῇ, τοσοῦτον ὑπερέβαλλε πάντας, ὡς ὑποτύπωσις εἶναι τῶν ἐφεξῆς. Καὶ τὸ παράδοξον, ὅτι καὶ πρῶτος ἢ κομιδῇ μετ᾽ ὀλίγους τῆς ὑπὲρ ἄνθρωπον πολιτείας γέγονεν ἀρχηγός· καὶ μόνος σχεδὸν εἰς τὸν ἀκρότατον ἤλασεν ὅρον..... Τοσοῦτον δὲ μόνον εἰπεῖν ἀναγκαῖον, ὅτι ἐν θνητῷ σώματι τοῦ σώματος ἀπανίστατο καὶ τὰς τῶν ψυχῶν ἀνόδους ἑώρα καὶ τοὺς ταύτας εὐθύνοντας δαίμονας, ὃ τῆς νοερᾶς καὶ ἀσωμάτου ἦν φύσεως. Ζήσας δὲ πρὸς τοῖς ἑκατὸν ἔτη πέντε, πρὸς Κύριον ἐξεδήμησε.....

Crypt. Δ.α. XV = Cg, ff. 150v-157
Crypt. Δ.α. V = Ch, ff. 96v-99v
Vat. gr. 2008 = Vm, ff. 9v-10v
Vat. gr. 2069 = Vb, ff. 129v-131

Ὁ κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Ἐν βυθῷ κατέστρωσε ποτὲ*

Μοναστῶν ὑπέρλαμπρος φωστὴρ
φέγγει λαμπρυνόμενος
τρισσοφαοῦς διὰ παντὸς θεότητος,
φώτισον, ἁγίασον
5 τὴν καρδίαν μου καὶ τὸν νοῦν, παναοίδιμε,

Cg, alternatis odis, tres canones hoc ordine refert: primum (ff. 150v-157), quem referimus; secundum (ff. 150v-157v) statim postea invenies; tertium (ff. 151-158) in eundem sanctum Antonium dicatum (inc. Ἀθανασίας καὶ ζωῆς) MR III, 268

tit. Τῇ ἑσπέρα κανὼν παρακλητικὸς Ch Ἕτερος κανὼν παρακλητικὸς τοῦ ὁσίου Vm Εἰς τὸ μεσονύκτιον λέγομεν τὸν αὐτὸν κανόνα τοῦ ὁσίου πατρὸς ἡμῶν ἀντωνίου Vb

heirm. α' ΕΕ 34, n. 46, Joannis

ταῖς σαῖς ἱκεσίαις
πίστει σε καὶ πόθῳ λιτανεύοντα.

Νεκρωθεὶς τῷ κόσμῳ ὁλικῶς
νέκρωσιν ἑκούσιον,
10 τῷ διὰ σὲ παθόντι ἠκολούθησας,
πάτερ ἀξιάγαστε,
ὃν δυσώπησον τῶν παθῶν με λυτρώσασθαι
νῦν τῆς ἀτιμίας
καὶ τῆς τῶν δαιμόνων ἐνοχλήσεως.

15 Ἐγρηγόρως, πάτερ, ἐκζητῶν
ὕμνοις καὶ δεήσεσι
τὸ ὄντως ὂν ἐφετόν, κατεκοίμησας
πάθη τὰ τοῦ σώματος·
ὅθεν πίστει σε ἱκετεύω, Ἀντώνιε,
20 ὕπνου με βαρέος
τοῦ τῆς ῥαθυμίας ἐλευθέρωσον.

θεοτ. Καὶ μὴ θέλων πράττω τὰ δεινά·
ἔχω συνεργοῦσαν γὰρ
διὰ παντὸς τὴν πονηρὰν συνήθειαν·
25 παναγία δέσποινα,
προκατάλαβε ὡς ἐπίστασαι, ῥῦσαί με
τῆς αἰχμαλωσίας
καὶ τῆς τῶν παθῶν ἐπαναστάσεως.

f. 151v ᾠδὴ β′. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ ἐν θαλάσσῃ σώσας

Πῦρ κατεμάρανας,
30 πάτερ Ἀντώνιε,
τὸ τῶν παθῶν δακρύων
ταῖς ἐπικλύσεσιν ὄντως
καὶ ὡς πυρσὸς φωταυγὴς

7 λιτανεύοντος Ch Vm Vb 8-14 troparium om. Vm 11 ἀξιάγασθε Vb
12 με λυτρώσασθαι] ἐκλυτρώσασθαι Cg
heirm. β′ EE 41, n. 55, Joannis

ἀναλάμψας ταῖς θείαις
35 τοῦ πνεύματος αὐγαῖς,
προσεφελκύσω μοναστῶν
τὰς ἀπείρους ἀγέλας
ἐκ κλύδωνος κοσμικοῦ
πρὸς ὅρμον ἀκύμαντον.

40 Στῦλος καὶ ἔρεισμα,
πάτερ Ἀντώνιε,
τῶν μοναζόντων ὤφθης·
διὸ πιστῶς δυσωπῶ σε,
περιτρεπόμενον
45 ἐπηρείαις δαιμόνων,
στηρίξαι με ταῖς σαῖς
πρὸς τὸν πανάγαθον Θεὸν
ἱεραῖς ἱκεσίαις·
προστάτην γὰρ ἀγαθὸν
50 σὲ νῦν περιγράφομαι.

Ἐν τῷ με κρίνεσθαι
μὴ κατακρίνῃς με,
μηδὲ θυμῷ ἐλέγξῃς
τὸν ὑπὲρ πάντας ἀνθρώπους
55 ὄντα κατάκριτον,
δυσωπεῖ σε ἀγγέλων,
μαρτύρων, προφητῶν
καὶ ἀποστόλων ὁ χορὸς
καὶ ὁσίων τὰ πλήθη,
60 Θεέ μου παμβασιλεῦ,
κριτὰ δικαιότατε.

θεοτ. Πῶς ἀποκλαύσομαι
τὴν ῥαθυμίαν μου;
πῶς τὸν ἐνόντα ῥύπον
65 τῆς ἁμαρτίας ἐκπλύνω,
τῇ ἀνομίᾳ συζῶν;

37 ἀπείρου Vb 40-50 troparium in Vm deest

παναγία παρθένε,
προστάτις μου γενοῦ
καί δός μοι χεῖρα πρὸς ὁδὸν
70 ὁδηγοῦσάν με θείαν
ἐν κατανύξει ψυχῆς,
ἀνθρώπων βοήθεια.

ᾠδὴ γ'. *Ἐξήνθησεν ἡ ἔρημος ὡσεὶ κρίνον*

Ἐπόλισας τὴν ἔρημον μοναζόντων
πλήθεσι,
75 πρωτοπολίτης ἄριστος,
θεοφόρε, ταύτης γενόμενος,
ὡς τῆς ἄνω πολίτης μητροπόλεως.

Ἀγῶνας ἐν ἀσκήσει ὑπερμεγέθεις
ἤνυσας
80 καὶ τῶν δαιμόνων, ὅσιε,
f. 152 μεθοδείας πᾶσιν ἐγύ||μνωσας,
ἐξ ὧν ἡμᾶς ῥυσθῆναι καθικέτευε.

Τοῦ πνεύματος δοχεῖον τοῦ παναγίου
γέγονας,
85 τῆς πονηρίας πνεύματα
ὑποτάξας θείαις δυνάμεσιν,
ἀσκητῶν ὡραιότης, πάτερ ὅσιε.

θεοτ. Τὴν ἄχραντον μητέρα σου εἰς πρεσβείαν,
κύριε,
90 εἰλικρινῶς προσάγω σοι·
δι' αὐτῆς με, σῶτερ, ἐλέησον
καὶ γαλήνην παράσχου τῇ καρδίᾳ μου.

---

68 προστάτης Vm
heirm. γ' EE 34, n. 46, Joannis 78-82 troparium in Vm desideratur

f. 152v Κάθισμα.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

* Ἑωσφόρον, ὅσιε,
τῇ οἰκουμένῃ
ὁ τῆς δόξης ἥλιος
ἐπ' ἀρεταῖς σε τεθεικώς,
5 ὑπεραστράπτεις, Ἀντώνιε·
φῶς γὰρ ὑπάρχεις
δικαίοις ἀΐδιον.

Ἄλλο.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν καὶ Λόγον*

Τὴν ψυχήν σου δεσμεύσας
....

Ἕτερον.

Ἦχος πλ. δ'. *Ὀρθοδοξίας, ὁδηγέ,*

* Ταῖς τῶν δακρύων σου πηγαῖς
τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας
καὶ τοῖς ἐκ βάθους στεναγμοῖς
εἰς ἑκατὸν τὸν σπόρον σου ἐκαρποφόρησας
5 καὶ γέγονας φωστὴρ τῇ οἰκουμένῃ

κάθ. Ἑωσφόρον, ὅσιε, quod deest in Ch Vm Vb, in TRM III ριθ' ut κοντάκ. editum et in sanctum Pachomium dicatum 5 ὑπεραστράπτει TRM Ἀντώνιε] Παχώμιε TRM 6 ὑπάρχει TRM 7 ἀΐδιον] ἀεὶ θ⟨εῖον⟩ TRM κάθ. Τὴν ψυχήν σου δεσμεύσας MR III, 266; idem om. Ch Vm Vb unus ex cdd. Cg κάθ. Ταῖς τῶν δακρύων σου πηγαῖς (cfr. Ταῖς τῶν δακρύων σου ῥοαῖς) tradit, quod officio apolytikii editum invenitur in HR 128; MR I, 38, 283; MR III, 204, 404 etc., in diversos autem sanctos dicatum

Ch Vb post oden γ' et Vm ante canonem aliud κάθ. Ἐξ Αἰγύπτου ἤστραψας ... proferunt, quod in MR III, 309 editum invenies, sed in sanctum Euthymium dicatum

---

II κάθ. 4 Matth. 13,8.23 Marc. 4,8.20 Luc. 8,8 ss.

λάμπων τοῖς θαύμασι·
πάτερ Ἀντώνιε,
πρέσβευε Χριστῷ τῷ Θεῷ
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ δʹ. *Ἐλήλυθας*
ἐκ παρθένου οὐ πρέσβυς, οὐκ ἄγγελος

Τὴν θάλασσαν
f. 153 τῶν παθῶν ἐγκρατείας διέρρη‖ξας
95 τῇ ῥάβδῳ, Ἀντώνιε,
καὶ μοναστῶν διεβίβασας
ἄπειρα συστήματα
ἐπαγγελίας πρὸς χθόνα
θείᾳ χάριτι.

100 Βυθίζει με
ἡδονῶν πολυκύματος θάλασσα
δαιμόνων κακώσεσι
ῥιπιζομένη ἑκάστοτε·
σῶσόν με, οἰκτείρησον
105 ταῖς Ἀντωνίου πρεσβείαις,
ὑπεράγαθε.

Τὰ τραύματα
τῆς ψυχῆς μου θεράπευσον, ὅσιε,
τὸν νοῦν μου εἰρήνευσον
110 καὶ τὴν καρδίαν μου φώτισον
θείαις μεσιτείαις σου
ὡς ἀγαθός μου προστάτης,
ἀξιάγαστε.

θεοτ. Κυήσασα
115 εὐσπλαγχνίας τὴν ἄβυσσον, ἄχραντε,

καθ. 8 post Θεῷ orat. detruncat Cg
heirm. δʹ ΕΕ 34, n. 46, Joannis 94 ἐγκρατείας τὰ πάθη διέρρηξας Vm
100-106 troparium om. Vm 113 ἀξιάγασθαι Vb

παθῶν μου τὴν ἄβυσσον
καὶ ἁμαρτίας τὸ πέλαγος
ξήρανον πρεσβείαις σου
καὶ οὐρανίου γαλήνης
120 καταξίωσον.

f. 153v ᾠδὴ εʹ. *Ὁ φωτισμός*

Ὅλος φωτὶ
συνεκράθης τῷ θείῳ
καὶ ταῖς ἐκεῖθεν,
πάτερ, πηγαζούσαις φωτοχυσίαις
125 νοῦν καὶ καρδίαν
ἱερῶς κατηυγάσθης
καὶ φωτίζεις, πάτερ Ἀντώνιε,
τοὺς τὴν φωτοφόρον σου μνήμην γεραίροντας.

Ἀπὸ παθῶν,
130 ἀπὸ πάσης κηλῖδος
ἁμαρτημάτων,
βίου τε σκανδάλων καὶ ἐπηρείας
τῆς τῶν δαιμόνων
μεσιτείαις σου θείαις
135 λύτρωσαί με, πάτερ Ἀντώνιε,
τὸν ὑπὸ τὴν σκέπην τὴν σὴν καταφεύγοντα.

Βίβλῳ ζωῆς
ἐγγραφεὶς ὡς ὁσίως
τε καὶ δικαίως,
140 πάτερ θεοφόρε, πολιτευμένος,
ἁμαρτιῶν μου
τὸ χειρόγραφον, μάκαρ,
f. 154 τῇ πρεσβείᾳ ‖ τῇ σῇ διάρρηξον,
ὅπως εὐχαρίστῳ ψυχῇ μακαρίζω σε.

---

heirm. εʹ ΕΕ 34, n. 46, Joannis 129-136 tropario caret Vm
140 πολιτευόμενος Vb 141 μου om. Vb

θεοτ. 145 Ἡ πρὸς Θεὸν
μεσιτεία, ἡ σκέπη
τῶν δεομένων,
τῶν ἁμαρτανόντων ἡ σωτηρία
σῶσόν με, σῶσον
150 ἀπολλύμενον, κόρη·
τρικυμία παθῶν χειμάζει με,
μή με ὑπερίδῃς, ἁγνὴ ὑπεράγαθε.

ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Τὸν Θεσβίτην Ἠλίαν μιμούμενος,
f. 154v ἔρημον κατῴ‖κησας χαίρων, Ἀντώνιε,
155 ἐξομαλίζων ἅπασι
τὴν τραχεῖαν ὁδὸν τῆς ἀσκήσεως.

Ἀνοδίαις ἀεί με πλανώμενον
καὶ ἐν ἐρημίᾳ παθῶν αὐλιζόμενον,
ταῖς σαῖς πρεσβείαις, ὅσιε,
160 εἰς ὁδοὺς μετανοίας εἰσάγαγε.

Καθ' ἑκάστην τοῖς χείρω προβαίνοντα
καὶ τῇ ἀμελείᾳ τὸν νοῦν σκοτιζόμενον,
μή με παρίδῃς, κύριε·
ὁ κλεινὸς δυσωπεῖ σε Ἀντώνιος.

θεοτ. 165 Ὡς κριτὴν δικαιότατον τέξασα
μέλλοντά με κρίνεσθαι κατὰ τὰ ἔργα μου,
σαῖς ἱκεσίαις λύτρωσαι
καταδίκης, παρθένε πανύμνητε.

145-152 θεοτ. vide in p. 64 146 ἡ] σου Ch Vb καὶ Vm 152 ὑπεράγαθε] ἀειπάρθενε Ch Vm Vb

heirm. ς' EE 34, n. 46, Joannis 157-160 troparium deest in Vm; post oden ς' Cg, deleto folio, pauca verba κοντακ. et odes ζ' refert; Ch autem, cuius ausilio hymnum et oden restituimus, integrum textum servat

---

153-154 III Regn. 17,1-5

Κοντάκιον.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

* Ἐν τῷ ὕψει κύριος
τῆς ἐγκρατείας
ἀληθῶς σε ἔθετο
ὥσπερ ἀστέρα ἀπλανῆ
5 φωταγωγοῦντα τὰ πέρατα,
θαυματοφόρε
Ἀντώνιε ὅσιε.

Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

* Τὸν τοῦ κυρίου ἐραστήν,
τῶν μοναστῶν τὸ κλέος,
10 θαυμάτων τὸ ταμεῖον,
Ἀντώνιον τὸν μέγαν
ἀνευφημήσωμεν, πιστοί·
οὗτος γὰρ τῷ φέγγει
τῶν ἀγώνων ἑαυτοῦ
15 ὡς ἥλιος ἐξέλαμψε
φωτίζων τοὺς ἐν σκότει ὑπάρχοντας,
πάθη ἁμαρτίας
ἐκδιώκων καὶ δαιμόνων
τὴν ζοφερὰν
20 πλάνην ἀνενδότως·
διὸ καὶ ποταμοὺς
πηγάζει θαυμάτων·
ὡς ἐκ κρήνης θεϊκῆς
θείως ἐκβλύζων,

κοντάκ. et οἶκ. MR III, 294, sed in sanctum Macarium; ipsa desunt in Vm 1 ὕψει] οἴκῳ MR 3 ἀληθῆ Cg 6 θαυματουργὲ Vb Πάτερ Πατέρων MR 7 Ἀντώνιε] Μακάριε MR 10 τὸν ταμίαν MR 11 Ἀντώνιον] Μακάριον MR 12 πιστῶς MR 14 αὐτοῦ MR 17 παθῶν καὶ ἁμαρτίας MR 18 καὶ ἐκδιώκων τῶν δαιμόνων MR 22 πηγάζει] πλουσίων MR 23 θεϊκῆς] λογικῆς MR 24 ἐκβλύζων ἀεννάως MR

25 πάντων τὰς ψυχὰς
ἀρδεύει τῶν ἐκβοώντων·
« θαυματοφόρε
Ἀντώνιε ὅσιε ».

ᾠδὴ ζ'. *Ἀντίθεον πρόσταγμα*

Πυρὶ δροσιζόμενος
170 τῆς ἐγκρατείας,
σαρκὸς ἐναπέσβεσας
τὴν κάμινον, Ἀντώνιε,
καὶ δρόσον ἰάσεων,
πάτερ, ἀνέβλυσας,
175 φλόγα ἀποπαύουσαν δεινῶν
ἀρρωστημάτων πνεύματος χάριτι.

Πυρὶ φλογιζόμενον
τῆς ἁμαρτίας
καὶ καύσει τηκόμενον
180 τῆς ῥαθυμίας, ὅσιε,
ῥανίσιν ἀνάψυξον
τῶν σῶν δεήσεων
καὶ τῆς αἰωνίου με φλογὸς
καὶ τοῦ ἀστέκτου πυρὸς ἐξάρπασον.

185 Ἀλείπτης γενόμενος
τῶν μοναζόντων,
πρὸς θεῖά με σκάμματα
ἀσκήσεως ἐπάλειψον,
δαιμόνων κακίας με
190 ἀπολυτρούμενος
καὶ τῆς ἀμελείας μου κλοιὸν
ἐπικουφίζων, πάτερ, βαρύτατον.

---

26 ἀρδεύει] ῥωννύει MR 27 Πατέρων Πάτερ MR 28 Ἀντώνιε] Μακάριε MR ὅσιε om. Vb
heirm. ζ' ΕΕ 34, n. 46, Joannis 177-184 troparium om. Vm

θεοτ. Θεέ μου καὶ κύριε,
ὁ διὰ σπλάγχνα
195 ἐλέους φορέσας με
παρθένου σωματούμενος,
αὐτὸς παρακλήσεσι
ταῖς τοῦ ὁσίου σου
πλῆσον τὴν καρδίαν μου φωτὸς
200 καὶ εὐφροσύνης, ἵνα δοξάζω σε.

f. 156 ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Καταβαλὼν τὸν δυσμενῆ
τῶν ἀγώνων σου πυγμαῖς,
ποσὶν ὡραίοις
κατεπάτησας, πάτερ,
205 ἀκαταπαύστως βοῶν·
« ὑμνεῖτε
τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

210 Κατατρυφήσας ἀληθῶς
τὴν ἐγκράτειαν, σοφὲ
πάτερ, εἰς κόρον,
τῆς τρυφῆς ἠξιώθης
τῆς οὐρανίου· διὸ
215 πεινῶσαν
τὴν ψυχήν μου ἔμπλησον
βρώσεως ἐνθέου,
Ἀντώνιε θεόφρον.

Καθυπεσκέλισας ἐχθρῶν
220 ἀοράτων τὰς ὁρμὰς
τὰς ὀλεθρίους·
ἀλλὰ δέομαι, πάτερ,

---

199 πλῆσον] πλάσον Vb
heirm. η' ΕΕ 35, n. 47, Joannis 201-208 troparium deest in Vm
207 post ἔργα orat. varie abrumpunt Cg Ch

περιτρεπόμενον νῦν
ἐκ τούτων
225 καὶ δελεαζόμενον,
στήριξόν με πέτρᾳ
Θεοῦ τῶν προσταγμάτων.

f. 156v θεοτ. * ‖ Σὺ εἶ ἡ πύλη τῆς ζωῆς
ἡ ἀνοίγουσα πιστοῖς,
230 θεογεννῆτορ,
τὰς εἰσόδους, ἡ μόνη
ἀπελπισμένων ἐλπίς·
διό μοι
τὰ σπλάγχνα σου ἄνοιξον
235 καὶ ἐκ τῶν πυλῶν με
ἐξάρπασον τοῦ Ἅιδου.

f. 157 ᾠδὴ θ'. *Ἀνάρχου γεννήτορος*

Υἱὸς διὰ πίστεως
Θεοῦ, πάτερ, γεγένησαι
καὶ τὴν γῆν τῶν πραέων
240 ἐκληρονόμησας,
πρᾶος γεγονὼς καὶ ἰδέαις
τῶν ἀρετῶν
περιηνθισμένος
καὶ θείοις χαρίσμασι
245 προφανῶς ὡραϊζόμενος.

Καὶ λόγοις καὶ πράγμασι
κεκοσμημένος, ὅσιε,
ὑπερκόσμιον δόξαν
χαίρων ἀπείληφας·
250 ὅθεν δυσωπῶ τῆς ψυχῆς μου
τὴν ἐμπαθῆ,

228-236 θεοτ. ETh 232 230 τῆς μετανοίας ETh 232 ἀπελπισμένων cdd. ἀπηλπισμένων ETh
heirm. θ' EE 35, n. 46, Joannis 246-254 troparium om. Vm

228 Ez. 44,2

πάτερ, ἀκοσμίαν
εὐχαῖς μεταποίησον
καὶ καλῶν ἰδέαις φαίδρυνον.

255 Ἡ μνήμη σου, ὅσιε,
τὰ πέρατα ἐφώτισε
καὶ χοροὺς μοναζόντων
πίστει ἐφαίδρυνεν,
ἣν ἐπιτελοῦντας ἐκ πόθου
260 τοὺς ὑμνητὰς
τοὺς σούς, θεοφόρε,
ἐξ ὕψους εὐλόγησον
καὶ κινδύνων ἐλευθέρωσον.

Ψυχή μου, ἐπίστρεψον,
265 πρὸ τέλους μετανόησον·
ὁ κριτὴς ἐπὶ θύραις
ἤδη ἐφέστηκε·
στέναξον ἐκ βάθους καὶ κλαῦσον
ὀδυνηρῶς,
270 πρὸς τοῦτον βοῶσα·
« φιλάνθρωπε, φεῖσαί μου
τῇ πρεσβείᾳ τοῦ ὁσίου σου ».

θεοτ. Ἁγία θεόνυμφε,
ἁγία μητροπάρθενε,
275 ἡ ἐλπὶς ἡ βεβαία
τῶν προστρεχόντων σοι,
στήριξον ἡμῶν τὰς καρδίας
ἐν ἀρραγεῖ
πέτρᾳ θελημάτων
280 Χριστοῦ τοῦ Θεοῦ ἡμῶν
καὶ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

17 IAN. *CANON* XXVII (1)

IN SANCTUM ANTONIUM

Sinait. gr. 598 = Σα, ff. 120 ss.
Crypt. Δ.α. XV = Cg, ff. 150v-157v

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τὸν Ἰσραὴλ ἐκ δουλείας*

Τὸν πολιστὴν τῆς ἐρήμου,
τῶν ἀσκητῶν τὸ καύχημα
καὶ καθαιρέτην τοῦ πονηροῦ,
τὸν σοφὸν Ἀντώνιον
5 ἀξίως ἀν⟨υμνήσωμεν⟩.

Τὸν ἐγκρατείᾳ καὶ πόνοις
τῶν παθῶν τὸν τάραχον
τελείως καταργήσαντα,
τὸν σοφὸν Ἀντώνιον
10 ἀπαύστως ἀνυμνήσωμεν.

Ὡς ζηλωτὴς Ἰωάννου
καὶ Ἠλ⟨ιού, Ἀ⟩ντώνιε,
παρὰ Θεοῦ τετίμησαι·
σὺν αὐτοῖ⟨ς πρέσβ⟩ευε
15 σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Σα et Cg diversam eiusdem canonis structuram servant, qua re traditiones disiunctas proferimus tit. Ἕτερος κανὼν τοῦ ὁσίου ἀντωνίου Cg
heirm. α' ΕΕ 226, n. 324, Germani 5.12.14. litterae quas restituimus in Σα evanuerunt 5 ἀνυμνήσωμεν] εὐφημήσωμεν Cg

Ταῖς ἱκεσίαις τοῦ ὁσίου
Ἀντωνίου, κύριε,
τοὺς οἰκτιρμούς σου ὡς ἀγαθὸς
τῷ λαῷ σου δώρησαι
20 καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

θεοτ. * Διὰ παντός, θεοτόκε,
τὸν ἐκ σοῦ ἱκέτευε
ἀρρήτῳ λόγῳ σαρκωθέντα
Θεὸν πάσης περιστάσεως
25 λυτρώσασθαι τοὺς δούλους σου.

ᾠδὴ β'. *Μεγαλωσύνην δῶμεν καὶ δόξαν*

Χριστοῦ θεράπον, σὲ δυσωποῦμεν
ἱκέτευε ἐκτενῶς τοῦ σωθῆναι ἡμᾶς.

f. 120v ‖ Ταῖς ἱκεσίαις τοῦ ἀσκητοῦ σου
εἰρήνευσον, ὁ Θεός, τὴν ζωὴν ἡμῶν.

30 Φύλαξον ἡμᾶς ταῖς ἱκεσίαις
Ἀντωνίου, ὁ Θεός, ὡς φιλάνθρωπος.

εἱρμὸς ἄλλος. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

Κύριε, ταῖς εὐχαῖς Ἀντωνίου
ἐκ πάντων τῶν δυσχερῶν ἐξελοῦ ἡμᾶς.

τριαδ. Δόξα σοι, βασιλεῦ τῶν αἰώνων,
35 ὁ ἐν τριάδι Θεὸς ἀνυμνούμενος.

21-25 θεοτ. MR VI,532 oden β' om. Cg
heirm. β' ΕΕ 227, n. 326, Andreae ante v. 26 et in margine γερμανοῦ scriptum invenitur post v. 31 primum troparium Χριστοῦ θεράπον . . . Σα repetit eundem textum heirm. alteri in ΕΕ 44 n. 59, et ΕΕ 168, n. 236, sed pertinentem ἦχ. β' et ἦχ. πλ. β', invenimus 32-37 troparia om. Cg

θεοτ. Παρθένε, μήτηρ ⟨τοῦ Θεο⟩ῦ Λόγου,
ἱκέτευε ἐκτενῶς τοῦ σωθῆναι ⟨ἡμᾶς⟩.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος*
ὡς ὁ κύριος

Ὡς χρέος ἐτήσιον
καὶ κλητὴν ἑορτὴν
40 τοῦ θεοφόρου ἅπαντες
ἀπαύστως τιμήσωμεν
Ἀντωνίου τὴν μνήμην,
ἐν ὕμνοις δοξάζοντες
Χριστὸν τὸν ζωοδότην Θεόν.

45 Μεγάλως ἠρ⟨ίστευσας
ἐπὶ⟩ τῆς γῆς ἀληθῶς
καὶ ἀξίως τετίμησ⟨αι,
ἁγί⟩ων τὸ καύχημα,
τοῦ Χριστοῦ ὁ θεράπων·
50 Ἀντών⟨ιε ὅσ⟩ιε,
πρέσβευε σωθῆναι ἡμᾶς.

Οὐκ ἔστιν, Ἀντώνιε,
⟨μον⟩αζόντων χορὸς
ἐν σπηλαίοις καὶ ὄρεσι
55 ⟨καὶ ἐν⟩ ἐρήμοις
ἢ ἐν ταῖς ἐκκλησίαις,
ὃς οὐκ εὐφ⟨ραίνετ⟩αι,
πάτερ, ἐν τῇ μνήμῃ σου.

Εἰκόνα κατέλιπες
60 ⟨ἐ⟩πὶ γῆς θαυμαστὴν
τοῖς ποθοῦσι τὰ μέλλοντα

36.37.45-46.47-48.50.53.55.57.60 litterae quas restituimus in Σα evanuerunt

heirm. γ' EE 226, n. 323, Germani, sed metro stropharum minime aptatur   43 δοξάζοντες] τιμήσωμεν Cg

ὑπὲρ τὰ ὁρώμενα,
τοῦ Χριστοῦ ὁ θεράπων,
τὴν πολιτείαν σου,
65 πανεύφημε Ἀντώνιε.

Τὸν δρόμον ἐτέλεσας,
μοναζόντων ὁ κανών,
καὶ τὴν πίστιν ἐτήρησας·
ὅθεν καὶ στέφανος
70 ἀναμένει σε δόξης,
ὃν σοι δωρήσεται,
Ἀντώνιε, Χριστὸς ὁ Θεός.

f. 120v θεοτ. * ‖ Ὡς πύλην σωτήριον
καὶ παράδεισον τερπνὸν
75 καὶ φωτὸς ἀϊδίου
νεφέλην ὑπάρχουσαν,
τὴν ἁγίαν παρθένον
ὑμνήσωμεν ἅπαντες·
πρεσβεύει γὰρ σωθῆναι ἡμᾶς.

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου, Λόγε, ὁ προφήτης*

80 Εὐαγγελικῶν ῥημάτων ἐπακούσας,
πάντα τὰ τερπνὰ κατέλιπες τοῦ κόσμου
καὶ τὸν σταυρόν σου ἀράμενος τῷ κυρίῳ,
ὅσιε πάτερ, ἠκολούθησας.

Ὅλον σεαυτὸν ἀνέθου τῷ κυρίῳ,
85 ὅλον σεαυτὸν ἐσταύρωσας τῷ κόσμῳ
πρὸς τὸ βραβεῖον, Ἀντώνιε θεοφόρε,
ἀποσκοπῶν τῆς ἄνω κλήσεως.

73-79 θεοτ. TR 669   79 λέγοντες τὸ χαῖρε αὐτῇ TR
heirm. δ' EE 224, n. 321, Joannis

66-72 II Tim. 4,7-8   73 Ez. 44,2   80-83 cfr. Matth. 16,24-25

Ἀποστολικῶς τὸν δρόμον ἐκτελέσας,
χάριν ἐκ Θεοῦ, Ἀντώνιε, ἐδέξω
90 τοῦ προορᾶν τὰ γινόμενα καὶ ἰᾶσθαι
τῶν ἀσθενούντων τὰ νοσήματα.

θεοτ. * Χαίροις παρ' ἡμῶν, ἁγία θεοτόκε,
χαῖρε, ἡ χαρὰν κυήσασα τῷ κόσμῳ,
χαῖρε, ἡ μόνη ἀντίληψις τῶν ἀνθρώπων
95 καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε,*

Τοὺς πόθῳ ἐκτελοῦντας τὴν μνήμην σου
τὴν ἁγίαν
ῥῦσαι ταῖς πρεσβείαις σου
κινδύνων, πάτερ Ἀντώνιε.

100 Ἐφώτισεν ὁ βίος σου, ὅσιε,
τοὺς ἀνθρώπους,
πάντας προσκαλούμενος
πρὸς ἀρετῶν τελειότητα.

Μεγάλων χαρισμάτων, Ἀντώνιε,
105 ἠξιώθης·
εὗρε γὰρ τὴν οἴκησιν
ἐν σοὶ τὸ πνεῦμα τὸ ἅγιον.

Μὴ παύσῃς ἱκετεύων, Ἀντώνιε,
τὸν σωτῆρα
110 σῶσαι τὰς ψυχὰς ἡμῶν
τῶν ἐκτελούντων τὴν μνήμην σου.

θεοτ. * Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε,
θεοτόκε·
σὺ γὰρ τὸν Θεὸν Λόγον
115 σαρκὶ τῷ κόσμῳ ἐκύησας.

92-95 θεοτ. MR II,266
heirm. ε' EE 226, n. 324, Germani
112-115 θεοτ. MR I,183

ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Ὡς πάσης παρεπίδημος τῆς γῆς,
f. 121v τὴν ἔρημον || ᾤκησας·
τὸ σὸν γὰρ πολίτευμα
ἀπεγράψω ἐν οὐρανοῖς,
120 παμμακάριστε.

Ὡς ἔχων παρρησίαν πρὸς Θεόν,
ἀπαύστως, Ἀντώνιε
ὅσιε, πρέσβευε
τοῦ γενέσθαι καὶ ἡμᾶς
125 κληρονόμους Θεοῦ.

Ἐνέκρωσας τὰ πάθη τῆς σαρκὸς
διὰ τῆς ἀσκήσεως,
Ἀντώνιε ὅσιε,
τὴν ἐνέργειαν λαβὼν
130 τὴν τοῦ πνεύματος.

θεοτ. * Ἡ μόνη διὰ λόγου ἐν σαρκὶ
τὸν Λόγον κυήσασα,
ῥῦσαι δεόμεθα
τῶν παγίδων τοῦ ἐχθροῦ
135 τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

Ὁ τὸν σοφὸν
Ἀντώνιον σκεπάσας
ἐν πειρασμοῖς
καὶ θλίψεσι ποικίλαις,
140 εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

---

heirm. ς' EE 224, n. 321, Joannis
heirm. ζ' EE 226, n. 323, Germani
131-135 θεοτ. MR I,183
140 post αἰῶνας orat. detruncatur in Σα

Ὁ νικητὴν
τὸν Ἀντώνιον δείξας
καὶ δι' αὐτοῦ
145 διάβολον αἰσχύνας,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὁ πολιστὴν
τῆς ἐρήμου γενέσθαι
150 Ἀντώνιον,
οἰκτῖρμον, εὐδοκήσας,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

εἱρμὸς ἄλλος. *Παῖδες Ἑβραίων ἐν καμίνῳ*

Κλῖμαξ ἐμπράκτου θεωρίας
155 ἀνεδείχθη σου, Ἀντώνιε, ὁ βίος·
δι' αὐτῆς γὰρ Θεῷ
ὡμίλησας κραυγάζων·
« εὐλογητὸς εἶ, κύριε
ὁ Θεός, εἰς τοὺς αἰῶνας ».

160 Στῦλος ὁλόφωτος ὠράθης
τῇ τοῦ πνεύματος φλογὶ προσομιλήσας
καὶ ἡγήσω λαῶν,
Ἀντώνιε, βοώντων·
« εὐλογητὸς εἶ, κύριε
165 ὁ Θεός, εἰς τοὺς αἰῶνας ».

Μέσον καμίνου σιδηραίας
ἀκατάφλεκτος, Ἀντώνιε, ὑπῆρξας,
παθοκτόνῳ φωτὶ
λαμπόμενος καὶ μέλπων·
170 « εὐλογητὸς εἶ, κύριε
ὁ Θεός, εἰς τοὺς αἰῶνας ».

145 τὴν πλάνην καταργήσας Cg 146 post τοὺς laudem intermittit Cg heirm. alter EE 220, n. 315, Joannis 154-177 troparia om. Cg

f. 118 τριαδ. ‖ Μίαν θεότητος οὐσίαν
τρισυπόστατον, Ἀντώνιε, κηρύξας,
τῆς τριάδος τὸν ἕνα
175 ἐν δυσὶ ταῖς οὐσίαις
θεολογῶν, ἐκραύγαζες·
« ὁ Θεός, εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Τὸν τοῦ παντὸς δημιουργὸν*

Τὸν μεγαλύναντα Θεὸν
Ἀντωνίου τὸ μνημόσυνον,
180 ἱερεῖς, εὐλογεῖτε,
λαός, ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν ἐρήμῳ εὐσεβῶς
καὶ ἀνδρείως ἀσκήσαντα,
τὸν Ἀντώνιον πάντες
185 ἀπαύστως ἀνυμνήσωμεν.

Ἐπιτελοῦντες οἱ πιστοὶ
Ἀντωνίου τὴν ἐτήσιον
ἑορτήν, ἀνυμνοῦμεν
τὸν μόνον παντοδύναμον.

190 Διὰ παντὸς ὑπὲρ ἡμῶν
ἱκετεύων, πάτερ ὅσιε,
τὸν σωτῆρα μὴ παύσῃ
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

θεοτ. Τὸν ἐπ' ἐσχάτων δι' ἡμᾶς
195 ἐκ παρθένου γεννηθέντα Θεόν,
ἱερεῖς, εὐλογεῖτε,
λαός, ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

heirm. η' EE 135, n. 189, Germani, sed ἦχ. πλ. α' tribuitur ad latus v. 190 et in margine folii γερμανοῦ scripsit librarius

εἱρμὸς ἄλλος. *Νικηταὶ τυράννου*

Ὡς ψυχὴν καὶ σῶμα,
νοῦν τε καθηράμενος ἔρωτι θείῳ,
200 τῆς τριάδος, πάτερ,
ἔνθεον, Ἀντώνιε,
γέγονας σκῆνος,
« εὐλογεῖτε » μέλπων « τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

205 Ἀρετῆς ἀσκήσας
καρτερῶς, Ἀντώνιε, πᾶσαν ἰδέαν,
ἀσκητῶν ἀλείπτης
φρουρηθεὶς ἀναίμακτος
γέγονας, μάρτυς,
210 « εὐλογεῖτε » μέλπων « τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ἐν ἀζύγῳ, πάτερ,
ἀρετῶν ὀχήματι ἁρματηλάτης
ὡς Ἠλίας ἤρθης
215 ἀπὸ γῆς, Ἀντώνιε,
οὐρανοφοίτης,
« εὐλογεῖτε » μέλπων « τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

Θαυμαστὸς ὁ βίος,
220 ὄντως ὑπερθαυμαστός σου καὶ ἡ πίστις,
εὐσεβείας φύλαξ·
ἔφυς γάρ, Ἀντώνιε,
τριάδος λάτρης,
« εὐλογεῖτε » μέλπων « τὰ ἔργα τὸν κύριον
225 καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

---

heirm. alter EE 221, n. 316, Joannis 198-225 troparia om. Cg 210.224 post κύριον orat. intermittit Σα 217 post ἔργα laudem excidit Σα

212-215 IV Regn. 2,11

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Τὸν ἀπεκδυσάμενον τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ
f. 118ᵛ || καὶ ἀμφιεσάμενον
Χριστοῦ τὴν πανοπλίαν,
ὡς πρεσβεύοντα τὴν ἡμῶν σωτηρίαν
230 Ἀντώνιον πάντες μεγαλύνομεν.

Τοὺς τῶν ἀρετῶν χαρακτῆρας δι' ἐγκρατείας
εὐσεβείας χρώμασι
σεαυτῷ ἐμμορφώσας,
ἀληθῶς τοῦ Θεοῦ κατ' εἰκόνα
235 τὴν ψυχήν σου ἔδειξας, μακάριε.

Τὴν οὐρανομήκη σου, ὅσιε, πολιτείαν,
ἣν τοῖς σοῖς προσήγαγες
πόνοις τῷ κυρίῳ
ἀκλινῶς τὴν στενὴν διοδεύσας,
240 ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

θεοτ. * Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος,
σὺ εἶ ἡ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων,
σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,
245 ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

εἱρμὸς ἄλλος. *Ἔφριξε πᾶσα ἀκοὴ*

Ἔφθασεν ἡ πανευκλεὴς
καὶ πανεύφημός σου μνήμη καὶ εὔσημος
τῆς γῆς τὰ πέρατα
καὶ διεδόθη

---

heirm. θ' EE 226, n. 324, Germani vv. 231-235 cfr. canonem XX, 209-212 237 προσήγαγες] ποσὶν ἤγαγες Cg 238 πόνοις οἱ τῶ ... Cg 240 ἀντώνιε σὲ πάντες μεγαλύνομεν Cg 241-245 θεοτ. MR II,270 242 ἡ om. cd.
heirm. alter EE 222, n. 317, Joannis 246-281 troparia om. Cg

250 ταῖς τῶν πιστῶν ἀκοαῖς,
προειρηκότος ἀψευδῶς
τοῦ πάντων δεσπόζοντος
Χριστοῦ, πανόλβιε,
καὶ τελέσαντος αὐτοῦ τὴν ὑπόσχεσιν.

255 Μέμνησο νῦν παρεστηκὼς
τῷ δεσπότῃ παρρησίᾳ θεόφρονι
τῶν τὴν σεβάσμιον
ἐπιτελούντων
μνήμην σου, ὅσιε,
260 καὶ καθοδήγησον αὐτοὺς
τὴν τῆς σῆς ἀσκήσεως
ὁδὸν πορεύεσθαι
συνειδότι καθαρῷ, παμμακάριστε.

Ἵλεων σὺ καὶ εὐμενῆ
265 τὸν σωτῆρα κεκτημένος, Ἀντώνιε,
καὶ σοῦ πειθόμενον
ταῖς ἱκεσίαις
καὶ ταῖς δεήσεσι,
f. 122 τοῦτον εὐίλατον ‖ ἡμῖν
270 πρεσβεύων ἀπέργασαι
τοῖς ἑορτάζουσι
τὴν σεπτήν σου ἑορτὴν καὶ πανίερον.

θεοτ. * Σῶσόν με, μήτηρ τοῦ Θεοῦ,
ἡ γεννήσασα Χριστὸν τὸν σωτῆρα, μόνον
275 Θεὸν καὶ ἄνθρωπον,
διπλοῦν τὴν φύσιν,
οὐ τὴν ὑπόστασιν,
μονογενῆ μὲν ἐκ πατρός,
ἐκ σοῦ δὲ πρωτότοκον
280 πάσης τῆς κτίσεως·
διὸ πάντες σε ἀεὶ μεγαλύνομεν.

273-281 θεοτ. MR II,192 273 Μῆτερ MR 279 πρωτότοκον] ἀπάτορα MR 280 καὶ ἀναλλοίωτον MR

IN SANCTUM ANTONIUM

Crypt. Δ.α. XV = Cg, ff. 150ᵛ-157ᵛ
Sinait. gr. 598 = Σα, ff. 120 ss.

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τὸν Ἰσραὴλ ἐκ δουλείας*

1-5 Τὸν πολιστὴν τῆς ἐρήμου,
.... = Σα 1-5

f. 151 6-10 Τὸν ἐγκρατείᾳ καὶ πόνοις
.... = Σα 6-10

11-15 Ταῖς ἱκεσίαις τοῦ ὁσίου
.... = Σα 16-20

θεοτ. Τῶν Χερουβὶμ ἁγιωτέρα
καὶ πλατυτέρα τῶν οὐρανῶν
ἐδείχθης, θεοτόκε ἁγνή·
τὸν γὰρ ποιητὴν τοῦ παντὸς
20 ἐν μήτρᾳ σου ἐχώρησας.

f. 152 ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς ὁ κύριος*

Τὸ πρᾶον, μακάριε,
κεκτημένος τοῦ Δαβίδ,

tit. Ἕτερος κανὼν τοῦ ὁσίου ἀντωνίου Cg 20 ἐχώρεσας Cg
heirm. α' EE 226, n. 324, Germani
heirm. γ' EE 226, n. 323, Germani

21-24 I Regn. 17,49-51

ὡς Γολιὰθ τὸν ἀλλόφυλον
εὐχαῖς ἐσφενδόνησας,
25 τῶν παθῶν τὰς κινήσεις
καὶ ταύτας ἀπέτεμες
μαχαίρᾳ τῇ τοῦ πνεύματος.

Τὸν νόμον ἐπλήρωσας
τοῦ νομοθέτου σου Χριστοῦ
30 τὸν σταυρόν σου ἀράμενος
ἐπ' ὤμων, Ἀντώνιε,
καὶ τῶν ἀγγέλων τὸν ὕμνον
ἐκραύγαζες· « ἅγιος,
ἅγιος εἶ, κύριε ».

35-41 Ὡς χρέος ἐτήσιον
.... — Σα 38-44

θεοτ. Θεὸν μόνη ἔτεκες
λαθοῦσα φύσεως νόμους,
παρθένος μόνη διέμεινας,
45 λοχείαν ἐξέφυγες
καὶ τὰ μητέρων οὐκ ἔγνως·
Θεόν, παρθένε, τέτοκας·
πρέσβευε σωθῆναι ἡμᾶς.

f. 153 ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου, Λόγε, ὁ προφήτης*

Σήμερον, πιστοί, Ἀντώνιος ὁ μέγας
50 ὅλην ἑαυτῷ τὴν ἔρημον τοῦ βίου
τῶν ἀρετῶν τὴν ἀκρόπολιν προδεικνύει,
τὴν ἀρετὴν τῆς πολιτείας αὐτοῦ.

Ἄλλον ἀληθῶς παράδεισον εἰργάσω,
πάτερ φυτουργέ, τὴν ἔρημον ἐκείνην,
55 τῶν μοναστῶν τὰ συστήματα γηπονήσας
ταῖς πρακτικαῖς καλλιεργείαις σου.

καθ., qua post oden γ' Cg profert, in p. 283 invenies
heirm. δ' ΕΕ 224, n. 321, Joannis

28-31 cfr. Matth. 16,24

Νέον Ἰσραὴλ εἰργάσω τὴν καρδίαν,
ὅλην πρακτικὴν τὴν θάλασσαν τοῦ βίου
τῇ κατὰ νοῦν θεωρίᾳ, ὅσιε πάτερ,
60 διαπεράσας ἐν ἀβρόχῳ ποδί.

θεοτ. Σὺ τὸν θησαυρὸν τῆς χάριτος τεκοῦσα,
μόνη γυναικῶν διέμεινας παρθένος,
τῆς παρθενίας τὸν πλοῦτον μὴ συληθεῖσα,
θεογεννῆτορ, ἡ ἐλπὶς τῶν πιστῶν.

f. 154 ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε,*

65 Τῆς θείας ὀπτασίας, Ἀντώνιε,
ἠξιώθης
ὡς Μωσῆς ὁ δίκαιος
ἐπὶ τοῦ ὄρους εὐχόμενος.

Ἠλίαν μιμησάμενος, ὅσιε,
70 τὸν προφήτην,
ἔλαβες τὸ χάρισμα
τοῦ θεραπεύειν νοσήματα.

Τὴν ἔρημον οἰκήσας, Ἀντώνιε
θεοφόρε,
75 τὴν πλάνην κατήργησας
τὴν τῶν δαιμόνων, μακάριε.

θεοτ. 77-80 * Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε,
.... = Σα 112—115

f. 154v ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Τὴν θάλασσαν τοῦ βίου διελθὼν
ἀβρόχως, Ἀντώνιε,
τὸ σκάφος προσώρμισας

---

heirm. ε' ΕΕ 226, n. 324, Germani 77-80 θεοτ. MR I,183
heirm. ς' ΕΕ 224, n. 321, Joannis

65-68 Ex. 3,1-6

τῶν ἀγωγίμων ἀρετῶν
85 τῷ λιμένι Χριστοῦ.

Ἐπλήθυναν κοιλάδες λογικαὶ
τὴν πόαν τῆς πίστεως,
παμμάκαρ Ἀντώνιε,
καρπὸν ἐνθέων ἀρετῶν
90 περιφέροντες.

Τὴν ἔρημον τοῦ βίου διελθὼν
τὰς πόλεις ἐκένωσας,
μάκαρ Ἀντώνιε,
τύπος γενόμενος ἡμῖν
95 πρὸς ἀρετὴν καὶ εἰκών.

θεοτ. Ὃν ἔτεκες δεσπότην καὶ Θεὸν
ἀσπόρως, πανάμωμε,
μὴ παύσῃ πρεσβεύουσα
τοῦ εἰρηνεῦσαι τὴν ζωὴν
100 τῶν ὑμνούντων σε.

f. 156 ‖ ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ τὴν γῆν θεμελιώσας*

Ὁ τῷ σοφῷ
Ἀντωνίῳ παρασχὼν
τὴν δύναμιν
τοῦ ἁγίου πνεύματος,
105 εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ἐνίκησε
τὴν πλάνην τῶν εἰδώλων
Ἀντώνιος
110 ἐν ἐρήμῳ βοῶν σοι·

90 περιφέροντες (sic) cd. pro περιφέρουσαι 92 ἐκαίνωσας cd.
heirm. ζ' EE 226, n. 323, Germani 105.111.123 post τοὺς laudem detruncat cd.

« εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

113-118 Ὁ νικητὴν
.... = Σα 142-147

θεοτ. * Ὁ ἐν γαστρὶ
120 τῆς παρθένου οἰκήσας
καὶ ἐν αὐτῇ
τὸν Ἀδὰμ ἀναπλάσας,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

f. 156v ᾠδὴ η'. *Τὸν τοῦ παντὸς δημιουργὸν*

125 Τὸν ἀναδείξαντα ἡμῖν
Ἀντωνίου τὸ μνημόσυνον
καὶ φαιδρύναντα τοῦ κόσμου
τὰ πέρατα εὐφημήσωμεν.

Μακαριζέσθω παρ' ἡμῶν
130 καταξίως Ἀντωνίου ὁ βίος·
ἡμῖν γὰρ γέγονε τύπος
καὶ πρόγραμμα θείων πράξεων.

Τὸν χαρισάμενον ἡμῖν
Ἀντωνίου τὸν ἐνάρετον βίον,
135 ὁδηγοῦντα ἡμᾶς πρὸς
μετάνοιαν, προσκυνήσωμεν.

θεοτ. Χαῖρε, ἡ στάμνος ἡ χρυσῆ,
ἡ τὸ μάννα δεξαμένη, τὸν Χριστόν,
χαῖρε, ἄνανδρε μήτηρ,
140 ἡ τέξασα τὸν Θεὸν ἡμῶν.

119-124 θεοτ. MR V, 116
heirm. η' EE 135, n. 189, Germani, sed ἦχ. πλ. α' pertinentem declarat
127 φαιδρύνας cd.

f. 157 ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Τὴν οὐρανομίμητον πολιτείαν σου, πάτερ,
καὶ τὴν ἔνθεον ἀρετὴν
τίς κατ' ἀξίαν ὑμνήσει;
ὅτι ἄγγελος τοῖς ἐν γῇ ἀνεδείχθης
145 καὶ ἐν οὐρανῷ ἄσαρκος ἄνθρωπος.

Ἄισατε, χοροὶ μοναζόντων, τῷ ἀγελάρχῃ
καὶ χερσὶν ἅπαντες
ἐπικροτεῖτε τὸ θαῦμα
f. 157v τῆς ἐνθέου || καὶ πρακτικῆς πολιτείας
150 τοῦ ἀεὶ πολίσαντος τὴν ἔρημον.

Ἀξιοπρεπῶς σε ὑμνεῖ ἡ ἔρημος, πάτερ,
καὶ τῶν μοναζόντων
πανηγυρίζει ὁ δῆμος,
ὅτι τύπος θεοσεβείας ἐγένου
155 πρακτικῶς, μακάριε Ἀντώνιε.

156-160 Τὴν οὐρανομήκη σου, ὅσιε, πολιτείαν
.... = Σα 236-240

θεοτ. Χαῖρε, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τὸ τεῖχος
χαῖρε, ἡ ὁλόφωτος
τοῦ ἡλίου νεφέλη,
χαῖρε, ὄχημα τῆς θεότητος ὅλη,
165 χαῖρε, κιβωτὲ τοῦ ἁγιάσματος.

---

heirm. θ' ΕΕ 226, n. 324, Germani

---

165 Ps. 131,8 162-163 cfr. Is. 19,1

IN SS. ATHANASIUM ET CYRILLUM

Synaxarium, 399: Μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων γενομένων Ἀλεξανδρείας Ἀθανασίου καὶ Κυρίλλου. Τούτων ὁ μὲν ἅγιος Ἀθανάσιος ἦν ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου· καὶ ἐν τῇ πρώτῃ κατὰ Νίκαιαν συνόδῳ μήπω τεταγμένος ἐν ἐπισκόποις, λόγοις σοφίας καὶ γραφικαῖς ἀποδείξεσι τὸν Ἄρειον κατήσχυνε ..... Ἐπίσκοπος καταστάς, παρὰ Κωνσταντίνου ἐν διαφόροις ὑπερορίαις ἐλαύνεται καὶ ἐπὶ δύο καὶ τεσσαράκοντα χρόνοις τοῖς διωγμοῖς ἐναθλήσας, πρὸς Κύριον ἐξεδήμησεν. Ὁ δὲ ἅγιος Κύριλλος ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ..... Γέγονε δὲ προστάτης τῆς ἐν Ἐφέσῳ ἁγίας τρίτης συνόδου καὶ τὸν δυσσεβῆ καθεῖλε Νεστόριον, βλάσφημα πολλὰ κατὰ τῆς ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου δογματίσαντα. Ἐν πολλοῖς οὖν κατορθώμασι διαλάμψας, πρὸς Κύριον ἐξεδήμησεν.....

Crypt. Δ.α. XV = Cg, ff. 160-164
Crypt. Δ.α. V = Ch, ff. 104-108v
Vat. gr. 2069 = Vb, ff. 131v-133v

Ὁ κανών.

Ἦχος γ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*
τῷ ποιήσαντι

Ἄισωμεν τῷ κυρίῳ
τῷ καθοπλίσαντι
τοῖς ἐνθέοις δόγμασι
τὸν μέγαν ἱεράρχην,
5 φυτουργὸν γενόμενον

---

tit. Εἰς τὸν ὄρθρον κανὼν Ch Vb
heirm. α' ΕΕ 78 n. 111, Germani; heirm. integrum Ch praebet, discrepantem vero ab ΕΕ in extremis versibus: heirm. αὐτῷ δῶμεν δόξαν / ἐνδόξως γὰρ δεδόξασται] αὐτῷ μόνῳ ᾄσωμεν / ὅτι δεδόξασται ΕΕ

τῇ αὐτοῦ ἐκκλησίᾳ
καὶ τῶν βλασφήμων τὰς ἀκάνθας
δι' αὐτοῦ κατεμπρήσαντα·
ἐνδόξως γὰρ δεδόξασται.

10 Κορυφουμένης πάλαι
τῆς δυσσεβοῦς μανίας
τοῦ Ἀρείου, τέμνοντος
Χριστοῦ τὴν ἀλουργίδα,
τὸν μέγαν ἐπώνυμον
15 τὸν τῆς ἀθανασίας
ἀνέδειξε Χριστὸς ὁ Θεὸς
τῆς σεπτῆς ἐκκλησίας αὐτοῦ
ὡς ἀσφαλῆ κρηπῖδα ἡμῶν.

* Ὡς ἀθάνατον
20 ἐν τῇ ἐκκλησίᾳ
κεκτημένον εὔκλειαν
f. 160v || ἐν θεοπνεύστοις λόγοις
πάντες Ἀθανάσιον
τιμήσωμεν ἐν ὕμνοις,
25 ὅνπερ καὶ μετὰ θάνατον
ἐδόξασε Χριστὸς ὁ Θεὸς
ὡς οἰκεῖον θεράποντα.

Ἀθανάσιον,
τῆς ἀθανασίας
30 τὴν πηγὴν τὴν βρύουσαν
τὰ ῥεῖθρα τῶν δογμάτων,
πάντες εὐφημήσωμεν,
Χριστὸν δοξολογοῦντες
τὸν τοῦτον ἀναδείξαντα
35 ὑπέρτιμον καλλώπισμα
τῆς σεπτῆς ἐκκλησίας αὐτοῦ.

* Εἰς θεωρίας βάθος
κατοπτεύσας, πάτερ,

6 τῆς αὐτοῦ ἐκκλησίας Ch Vb 7 καὶ om. Cg Vb τὰς om. Ch Vb 14 ἐπώνυμον] τῆς πίστεως Cg 15 τὸν om. Ch Vb 19-27 troparium MR V, 10 21 κεκτημένοι cdd. 24 ἐν ὕμνοις] ἀξίως MR 28-36 troparium deest in Ch Vb 37-45 troparium MR V, 10 38 ἐκταθεὶς τὰς φρένας MR

ἐν ἁγίῳ πνεύματι,
40 Κύριλλε ἱεράρχα,
τὸν πλοῦτον ἀνίχνευσας
τῶν θείων νοημάτων
καὶ τὸν κόσμον ἐπλούτισας
τῶν θησαυρῶν τῆς γνώσεως
45 τριάδα προσκυνεῖν εὐσεβῶς.

Λογικὸν λαμπτῆρα
καὶ θεμέλιον
ὁ Χριστὸς ἐδραίωσε
τῆς αὐτοῦ ἐκκλησίας
50 Κύριλλον τὸν πάνσοφον
καὶ μέγαν φωστῆρα
ἐκδιδάσκειν τὸ ποίμνιον
τριάδα προσκυνεῖν εὐσεβῶς
μονάδα ἀδιαίρετον.

55 Πιστῶς ἡ ἐκκλησία
συνευφραίνεται
τῇ πανσέπτῳ μνήμῃ σου,
πρόμαχε τῆς τριάδος,
παγκόσμιε Κύριλλε,
60 ὑπὸ σοῦ διδαχθεῖσα
κυρίως θεοτόκον ὑμνεῖν
τὴν ἁγνὴν θεομήτορα·
διό σε μακαρίζομεν.

τριαδ. Τριὰς ἡ ἐν μονάδι
65 οὐσίας ὑμνουμένη,
πάτερ, υἱὲ σὺν πνεύματι
τῷ ὑπερπαναγίῳ,
ἄναρχε, ἀΐδιε,
ἄκτιστε θεότης,
70 ἡ τοῦ παντὸς πηγὴ καὶ ζωή,
σὲ ἀνυμνοῦμεν πάντες πιστῶς,
τῶν χριστιανῶν αἱ φωναί.

40 ἱερομύστα πάτερ MR 51 μέγα Cg 64-72 τριαδ. deest in Cg, quamquam cd. signum praesentiae ipsius τριαδ. monstrat; textum auctoritate cdd. Ch Vb constituimus 71 σὲ] σὺ Vb πάντες, cdd.: ad sensum cum vocabulo φωναί coniungitur

θεοτ. * Ὑμνοῦμέν σε, παρθένε
θεοτόκε ἁγνή,
75 χερουβικὸν ὄχημα,
ἐξ ἧς Θεὸς ἐτέχθη·
σὺ γὰρ μόνη γέγονας
πηγὴ ἀφθαρσίας
πηγάζουσα πᾶσι ζωήν,
80 ἀφ' ἧς οἱ ἀρυόμενοι
ἰάματα λαμβάνομεν.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν τὸν βασιλέα.

Δώσωμεν
μεγαλωσύνην κυρίῳ
καὶ τῶν ὁσίων τιμήσωμεν τὴν μνήμην.

f. 161 85 ‖ Τὸν ἄσειστον
στῦλον τῆς ἐκκλησίας
ὡς ἀληθείας ἑδραίωμα ὑμνοῦμεν.

Πρόσχημα
φερωνύμως ἐδείχθης
90 τῆς ἐκκλησίας ἀθάνατον, θεόφρον.

Εὐχαῖς ὑμῶν,
θεοφόροι πατέρες,
τὴν τῶν δογμάτων φυλάξατε γαλήνην.

Τῶν λόγων σου
95 ἡ θεόπνευστος ῥύσις
τὰς θεομάχους διέλυσεν αἱρέσεις.

73-81 θεοτ. MR V, 10
heirm. β' EE 78, n. 110, Germani Ch Vb strophas odes β' hoc ordine tradunt: 1, 2, 3, 6, 9, 4, 7, 8 93 φυλάξαντες Vb 94-96 aliud troparium in Ch Vb legitur: Τὰς φάλαγγας / τῶν αἱρέσεων, πάτερ, / ἀπομειώσας τοῖς δόγμασιν ἐκλάμπεις.

Κατήγγειλας
τὴν τριάδα ἐν κόσμῳ
καὶ τοὺς ἀνθρώπους ἐκόσμησας τῇ πίστει.

τριαδ. 100 Δόξα σοι,
βασιλεῦ τῶν αἰώνων,
ὁ ἐν τριάδι ὑμνούμενος ἀπαύστως.

θεοτ. * Ἄχραντε
θεοτόκε παρθένε,
105 ὑπὲρ τοῦ κόσμου ἱκέτευε ἀπαύστως.

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

* Αἱ ἀστραπαὶ τῶν λόγων σου, ἱεράρχα,
τὴν διδαχὴν ἠμαύρωσαν τοῦ Ἀρείου·
διδασκαλίας γὰρ γέγονας
ὀφθαλμὸς τῶν πιστῶν.

110 * Ἐξυφανθέντα πόνοις σου καὶ ἱδρῶσιν
ἐνεδύσω, ὅσιε, τὸν ποδήρη
τῆς ἀληθείας, ἐν χάριτι
ἱερουργήσας Θεῷ.

* Ὡς ταξιάρχης παρατάξεως θεολέκτου,
115 συνασπισμὸν διέκοψας θεομάχων
τῇ μαχαίρᾳ τοῦ πνεύματος,
Ἀθανάσιε.

Τὸν τῆς τριάδος κήρυκα εὐφημοῦμεν
ὡς καρποὺς προφέροντα εὐσεβείας
120 θεοπρεπῶς, Ἀθανάσιον
τὸν ἀοίδιμον.

---

99 ἐκόσμησας] ἐστήριξας Ch Vb 103-105 θεοτ. MR VI, 113
heirm. γ' EE 78, n. 110, Germani, sed metro stropharum minime aptatur; heirm. integrum Ch tradit 106-113 troparia MR V, 10 106 Ταῖς ἀστραπαῖς Ch Vb MR 107 τὴν διδαχὴν ἠμαύρωσαν] τὴν δολερὰν ἠμαύρωσας Ch Vb τὴν τυφλὴν ἠμαύρωσας MR 108 διδασκαλίαν ἐγένου γὰρ Ch Vb διδασκαλίαν γενόμενος MR 109 ὁ ὀφθαλμὸς . . . Ch Vb 113 Θεῷ] Χριστῷ MR 114-117 troparium MR V, 10; idem om. Ch Vb 117 ὁπλισάμενος MR

150 Πάντες Κύριλλον,
τὴν ἀστραπὴν τῶν θείων δογμάτων,
ἐν ᾠδαῖς ἀνευφημήσωμεν
οἱ πιστοὶ καταχρέως.

Σὺ διέρρηξας
155 τοῦ Νεστορίου σύνδεσμον, πάτερ,
καὶ ἐδίωξας τὸ βλάσφημον
τῆς Χριστοῦ ἐκκλησίας.

Τὸν Νεστόριον
δι' εὐσεβείας ἀπονεκρώσας,
160 ὀρθοδόξων ὑποπόδιον
τοῦτον ἔδειξας, πάτερ.

τριαδ. Μία δύναμις,
μία θεότης καὶ ἐξουσία
τρισυπόστατος, τρισήλιος,
165 ἡ τριὰς ἡ ἁγία.

θεοτ. * Μήτηρ ἄχραντε,
εὐλογημένη, ἁγνὴ παρθένε,
τοὺς ὑμνοῦντάς σε περίσωζε
ἀπὸ πάσης ἀνάγκης.

ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, υἱὲ τοῦ Θεοῦ,*

170 Ἀθανασίας γέγονας στήλη, μακάριε,
ἧς τὰς εὐχροίας ἐμβλέποντες τοῖς λόγοις σου,
τῆς ἀθανασίας
φωτιζόμεθα τὰ δόγματα, πανένδοξε.

---

150 in margine κυρίλλου legitur in Cg 156 τὸ] ὡς Ch Vb 165 ante τριὰς om. ἡ Vb 166-169 θεοτ. MR V, 11 166 μῆτερ Ch Vb 168 τούς] τοῦ Vb

heirm. ε' EE 78, n. 110, Germani; heirm. integer in Ch datur – Ch Vb hoc ordine strophas odes ε' tradunt: 1,2,5,3,4,6,7 173 τὰ δόγματα om. Vb

f. 162 ‖ Κυμαινομένην θάλασσαν τὴν τῶν αἱρέσεων
175 ἐν τῇ γαλήνῃ τῶν λόγων σου ἐστόρεσας,
πέλαγος δογμάτων
κεκτημένος, Ἀθανάσιε πατὴρ ἡμῶν.

Τὴν Νεστορίου ἤλεγξας φρενοβλαβίαν, σοφέ,
καὶ τοὺς ἐν σκότει καθεύδοντας ἐφώτισας,
180 Κύριλλε παμμάκαρ,
τοῦ Χριστοῦ ἱερουργὲ καὶ τῶν ὁσίων αὐτοῦ.

Τῇ παρατάξει, Κύριλλε, τῇ τῆς σοφίας σου
τοῦ Νεστορίου κακόνοιαν διέρρηξας,
εἰς ὀρθοδοξίαν
185 ὁδηγήσας τοὺς πιστούς, ὡς καὶ τοὺς μάγους ἀστήρ.

* Πύργος φανείς, μακάριε, ἀκατάβλητος
τῇ ἐκκλησίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν,
πάσας τοῦ Ἀρείου
ἀσεβεῖς μηχανουργίας διεσάθρωσας.

τριαδ. 190 Τριὰς ἁγία, δόξα σοι εἰς τοὺς αἰῶνας, ἀμήν,
ἡ ἐν πατρὶ καὶ υἱῷ καὶ θείῳ πνεύματι
θεολογουμένη
ὡς ἀμέριστος μονὰς καὶ τρισυπόστατος.

θεοτ. * Οἱ ἐξ ἐθνῶν ὑμνοῦμέν σε, θεοτόκε ἁγνή,
195 ὅτι Χριστὸν τὸν Θεὸν ἡμῖν τέτοκας,
τὸν ἐκ τῆς κατάρας
τοὺς ἀνθρώπους διὰ σοῦ ἐλευθερώσαντα.

ᾠδὴ ϛ'. *Ἐβόησα*
ἐν στεναγμοῖς ἀσιγήτοις

Ἀθάνατον
λογισμὸν κεκτημένος

---

178 κυρίλλου in margine Cg scripsit φρενοβλάβειαν Ch Vb σοφὲ om. Ch Vb 181 καὶ τῶν ὁσίων αὐτοῦ] ἀξιάγαστε Ch ἀξιάγασθε Vb 182 post Κύριλλε om. τῇ Ch Vb 186-189 troparium MR V, 11 187 τῆς ἐκκλησίας MR 189 ἀσεβεῖς om. MR 194-197 θεοτ. TR 670 195 ἡμῖν τέτοκας] ἡμῶν ἔτεκες TR

heirm. ϛ' EE 79, n. 111, Germani; heirm. integrum Ch praebet, discrepantem autem in nonnullis verbis heirm. EE vv. 4-5: καὶ ἐπήκουσέ μου / ἐξ ᾅδου κατωτάτου] καὶ εἰσήκουσέ μου / ἐξ ὄρους ἁγίου αὐτοῦ Ch

Τὴν Νεστορίου ἔλυσας τυραννίδα
καὶ τῆς πλάνης ἤλεγξας θρυαλλίδα,
Κύριλλε μάκαρ, θεόμιλε
125 καὶ θεοδίδακτε.

Κύριλλε πάτερ, πάνσοφε ἱεράρχα,
τὸν Χριστὸν δυσώπησον ὑπὲρ πάντων
τῶν ἐκτελούντων τὴν μνήμην σου
ῥυσθῆναι πάσης ὀργῆς.

τριαδ. 130 Χερουβικῶς ὑμνήσωμεν τὴν τριάδα
σὺν ἀγγέλοις κράζοντες ἀσιγήτως·
« ἅγιος, ἅγιος, ἅγιος,
τριάς, μονὰς ὁ Θεός ».

θεοτ. Ὁ ἐν Ἐδὲμ παράδεισος σὺ ὑπάρχεις
135 καὶ τροφὴ καὶ σκέπη τῶν πενομένων
καὶ θλιβομένων ἀντίληψις,
θεοτόκε ἁγνή.

Κάθισμα Ἀθανασίου.

Ἦχος γ΄. *Τὴν ὡραιότητα*
τῆς παρθενίας σου

f. 161ᵛ || Καθὼς προώρισεν
ὁ προκαλέσας σε,
ἀθανασίας σὺ
πρόσχημα γέγονας,
5 ὡς θανατώσας εὐσεβῶς
Ἀρείου τὰ φρονήματα·
ἄτρωτος γὰρ γέγονας
ἀληθείας ὑπέρμαχος,
πάτερ Ἀθανάσιε,

122 κυρίλλου in margine scriptum legimus in Cg 123 θρυσυλλίδα Vb
134 Ὁ] Ἡ Cg
heirm. καθ. HR 234

10 ὀρθοδόξων τὸ καύχημα·
διό σε καταχρέως ὑμνοῦντες,
τελοῦμεν τὴν θείαν μνήμην σου.

⟨Κάθισμα⟩ Κυρίλλου.

Ἦχος γ΄. *Θείας πίστεως ὁμολογίᾳ*

Πλοῦτος γνώσεως τῆς ἐκκλησίας
....

ᾠδὴ δ΄. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην,
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, οἰκτῖρμον.

* Ἀνεπλήρωσας
ἐν τῇ σαρκί σου, Κύριλλε πάτερ,
140 τοῦ κυρίου τὰ παθήματα
ὑπὲρ τῆς ἐκκλησίας.

* Διωκόμενος
ἐκ τῶν ἀθέων, ὅσιε πάτερ,
ἀπεδίωξας τῆς ποίμνης σου
145 ἀρειόφρονα πλάνην.

Σὺ διέκοψας
τὰς πολυθέους, ὅσιε πάτερ,
κεφαλὰς τὰς τῶν αἱρέσεων,
Ἀθανάσιε μάκαρ.

κάθ. Πλοῦτος γνώσεως ... HC 401; ipsum κάθ. deest in Ch Vb
heirm. δ΄ EE 78, n. 110, Germani, discrepans autem in extremo verso: καὶ ἐξέστην οἰκτίρμον] καὶ ἐδόξασά σε EE; Ch, unus ex cdd., textum heirm. integrum profert 138-145 troparia MR V, 10 139 Κύριλλε] ὅσιε Ch Vb MR 143 ἐκ τῶν] ὑπὸ MR 146-149 diversum troparium Ch Vb praebent: Τῶν αἱρέσεων / τὰς κεφαλὰς διέκοψας, πάτερ, / τῇ ἐκστάσει τῆς σοφίας σου / διὰ πνεύματος θείου.

200 καὶ τὴν ψυχήν σου πρὸς Θεὸν
καθαρὰν ὡς ἀληθῶς,
Ἀθανάσιε πάτερ,
κόσμον ἐφώτισας
διδαχαῖς ὀρθοδόξοις.

205 Ἀνέβλυσας
ποταμούς, θεοφόρε,
ἐκ τῆς καρδίας σου σαφῶς
διδαγμάτων εὐσεβῶν
καταρδεύων ἐν αὐτοῖς,
210 ὥσπερ παράδεισον,
τὴν Χριστοῦ ἐκκλησίαν.

Ἐπέστρεψας
ἐκ τῆς πλάνης τὸν κόσμον
φωταγωγήσας εὐσεβῶς,
215 τῆς τριάδος λατρευτὰ
καὶ ἀγγέλων σύσκηνε·
διὸ πρεσβείαις σου
σῶζε τοὺς σὲ τιμῶντας.

Τὴν ἄκτιστον
220 καὶ ἁγίαν τριάδα,
πάτερ, κηρύξας εὐσεβῶς,
ἀνεδείχθης ἀληθῶς
ὀρθοδόξων ὁδηγός,
ταῖς σαῖς δεήσεσι
225 πάντας κατακοσμήσας.

f. 162v || Ἐκήρυξας,
πανσεβάσμιε πάτερ
Κύριλλε, πᾶσι τοῖς ἐν γῇ
θεοτόκον ἀνυμνεῖν
230 τὴν παρθένον Μαριὰμ
καὶ κατέβαλες
Νεστορίου τὸ θράσος.

---

226 in margine κυρίλλου in Cg scriptum est

Ἐδίωξας
τῆς Χριστοῦ ἐκκλησίας
235 τοὺς δυσσεβεῖς αἱρετικοὺς
καὶ ἑδραίωσας στερρῶς
τοὺς ὀρθοδόξους ἐν αὐτῇ
καὶ πάντας ἥνωσας
τοῦ Χριστοῦ τῇ ἀγάπῃ.

τριαδ. 240 Δοξάσωμεν
σὺν υἱῷ τὸν πατέρα
καὶ τὸ πανάγιον πνεῦμα,
διαιροῦντες εὐσεβῶς
καὶ ἑνοῦντες συμφυῶς
245 ὡς τρία ἄναρχα
ἐν μονάδι οὐσίας.

θεοτ. Θεός ἐστιν
ὁ τεχθεὶς ἐκ παρθένου
εἰς ἀναγέννησιν ἡμῶν
250 καὶ ἐφώτισεν ἡμᾶς
εἰς ἐπίγνωσιν αὐτοῦ
καὶ δοξάζομεν
τὴν αὐτοῦ εὐσπλαγχνίαν.

Κοντάκιον.

Ἦχος α'. *Τὰ θεόβρυτα τῆς λογικῆς σου*

Τὰ θεόφθογγα τῆς ἐμμελοῦς σου
....

ὁ οἶκος. *Τέρπεται σήμερον*

Ἄλλον σε ἥλιον
....

κοντάκ. Τὰ θεόφθογγα... et οἴκ. Ἄλλον σε ἥλιον... PAS I,349

Ἄλλο.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Ἱεράρχαι μέγιστοι

. . . .

⟨Ὁ οἶκος.⟩ *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

f. 163 ‖ Ἀκαταλήπτῳ σου χειρὶ

. . . .

ᾠδὴ ζ'. *Τρεῖς παῖδες ἐν καμίνῳ*

* Ὡς σίμβλον τὴν καρδίαν
255 ἀρετῶν ἐργασάμενος,
ἀναβλύζεις γλυκασμὸν ὀρθοδοξίας ἡμῖν,
ὃν τρυγῶντες βοῶμεν·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

260 * Ἀθέους δυναστείας
οὐ κατέπτηξας, ὅσιε,
εὐσεβοῦς δὲ παρρησίας ἐφιέμενος,
πνευματικῶς ἀνεβόας·
« εὐλογητὸς εἶ, ὁ Θεός,
265 ὁ τῶν πατέρων ἡμῶν ».

Αἱρέσεων χειμῶνα
τῇ γαλήνῃ τῶν λόγων σου
διαλύσας, τοῖς πιστοῖς ἔαρ ἐποίησας

κοντάκ. Ἱεράρχαι μέγιστοι et οἶκ. Ἀκαταλήπτῳ σου... MR III,284 heirm. ζ' EE 79, n. 111, Germani 254-265 troparia MR V, 12 255 ἀρετῶν] τῶν καλῶν MR 258 post Θεὸς orat. detruncat Cg 260 Ἀθέων δυναστείαν MR 262 ἐφιέμενος] ἐμπιπλάμενος MR 263 πνεύματι MR 264. 270. 276 post εὐλογητὸς laudem varie abrumpunt Cg Ch

ὀρθοδόξως βοῶσιν·
270 « εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

* Τοῦ πνεύματος ὑπάρχων
ἀδιαίρετος, ὅσιε,
διετήρησας ἀμέριστον τὸ κήρυγμα
275 τῆς τριάδος κραυγάζων·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Τὴν πλάνην Νεστορίου
διεσκέδασας, Κύριλλε,
280 τῷ σημείῳ τοῦ σταυροῦ καθοπλισάμενος
καὶ ἀπαύστως ἐβόας·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

τριαδ. Τριάδα παναγίαν
285 ἐν μονάδι θεότητος
διαιροῦντες εὐσεβῶς καὶ ἑνοῦντες πιστῶς,
σὺν ἀγγέλοις βοῶμεν·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. 290 * Ἐτέχθης ἐκ παρθένου
ὡς εὐδόκησας, κύριε,
καὶ ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν·
διὰ τοῦτο βοῶμεν·
« εὐλογητὸς εἶ, ὁ Θεός,
295 ὁ τῶν πατέρων ἡμῶν ».

272-277 troparium MR V, 12 278 in margine κυρίλλου legitur in Cg 282. 288. 294 post εὐλογητὸς invocationem varie intermittunt Cg Ch 290-295 θεοτ. MR V, 12 291 κύριος Cg

ᾠδὴ η'. *Τὸν ἐξ ἀνάρχου τοῦ πατρὸς*

* Καὶ ἐν τοῖς πράγμασι σαφῶς
ἀνεδείχθης Ἀθανάσιος,
τῇ οἰκουμένῃ τῆς ἀθανασίας
δόγματα φθεγξάμενος·
300 διὸ Χριστὸν εὐσεβῶς
σὺν ἀγγέλοις καὶ ἡμεῖς
ὑμνοῦμεν, εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

f. 163v 305 * ‖ Τὴν τριάδα εὐσεβῶς
δογματίσας ὁμοούσιον,
τὴν τοῦ Ἀρείου καὶ τοῦ Σαβελλίου
ἤλεγξας κακόνοιαν·
διὸ φυγόντες αὐτῶν
310 ἐναντίαν συμπλοκήν,
ὑμνοῦμεν, εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
Χριστὸν εἰς τοὺς αἰῶνας.

Τὸν δοξάσαντα Θεὸν
315 ἐπὶ γῆς τὸν Ἀθανάσιον
καὶ διὰ τούτου τὰς τῶν ἐναντίων
φάλαγγας τροπούμενον
οὐράνιοι ἄγγελοι
καὶ ἡμεῖς οἱ ἐπὶ γῆς
320 ὑμνοῦμεν, εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

heirm. η' EE 79, n. 111, Germani; heirm integrum Ch profert, discrepantem vero ab EE in nonnullis verbis heirm. EE v. 2 πρὸ αἰώνων Θεὸν] υἱὸν καὶ θεὸν Ch 6 ἀληθινὸν] ἐκ τοῦ θεοῦ Ch 296-304 troparium MR V, 12 296 ἐν om. MR 302-304 post εὐλογοῦμεν orat. varie abrumpunt Cg Ch 305-313 troparium MR V, 12 309 τὴν αὐτῶν MR 311. 320. 329 post εὐλογοῦμεν orat. varie detruncant cdd.

Τῆς εὐσεβείας ποταμὸς
ἀνεδείχθης, Ἀθανάσιε,
325 τὴν οἰκουμένην δόγμασιν ἐνθέοις
ἐκπληρώσας, ὅσιε,
ἐξ ὧν ποτιζόμενοι,
τὴν ἀέναον πηγὴν
ὑμνοῦμεν, εὐλογοῦμεν
330 καὶ ὑπερυψοῦμεν
Χριστὸν εἰς τοὺς αἰῶνας.

Κύριλλον πάντες οἱ πιστοὶ
εὐφημήσωμεν ἐν ᾄσμασιν,
ὅτι καθεῖλε βλάσφημον μανίαν
335 τὴν τοῦ Νεστορίου ποτέ,
καθοδηγήσας ἡμᾶς
ἐν ᾠδαῖς πνευματικαῖς
δοξάζειν, εὐλογεῖν τε
καὶ ὑπερυψοῦν τὸν
340 Χριστὸν εἰς τοὺς αἰῶνας.

τριαδ. Πατέρα ἄναρχον Θεὸν
καὶ συνάναρχον υἱὸν τοῦ Θεοῦ
καὶ θεῖον πνεῦμα δοξάσωμεν πάντες,
ἓν τὰ τρία λέγοντες,
345 ὡς μίαν θεότητα
ὑποστάσεσι τρισὶν
ἀφύρτως ἡνωμένην
ἐν τρισὶ καὶ μιᾷ
προσώποις καὶ οὐσίᾳ.

θεοτ. 350 * Τὸν ἐνοικήσαντα, πιστοί,
ἐν κοιλίᾳ τῆς παρθένου μητρὸς
καὶ γεννηθέντα ἐξ αὐτῆς ἀφράστως
καὶ πάλιν μετὰ γέννησιν
παρθένον φυλάξαντα,

324 Ἀθανάσιε] ἀξιάγαστε Ch ἀξιάγασθε Vb 326 ὅσιε] κύριλλε Ch Vb 332 in margine κυρίλλου in Cg legitur 338 δοξάζειν] κραυγάζειν Ch Vb 338-340 post εὐλογεῖν τε laudem varie intermittunt Ch Vb 339 ὑπερυψοῖν Cg 348-349 ἐν τρισὶ προσώποις / μιᾶ δὲ τῇ οὐσία Ch Vb 350-358 θεοτ. MR V, 12

355 ὡς Θεὸν ἀληθινὸν
ὑμνοῦμεν, εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
Χριστὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*

Σὲ τὸν ἀναδείξαντα κόσμῳ
360 ὁδηγὸν εὐσεβείας
Ἀθανάσιον, Χριστέ,
τὸν ἱεράρχην,
ὡς Θεὸν καὶ σωτῆρα
ἡμῶν μεγαλύνομεν.

365 Θεῖον ποταμόν σε ἰδόντες
τοῦ Χριστοῦ, ἱεράρχα,
ἀναβλύζοντα ἡμῖν
ἐνθέους λόγους
διὰ πνεύματος θείου,
370 ἐν ὕμνοις μεγαλύνομεν.

* Ἔσοπτρον Θεοῦ τὴν ψυχήν σου
ἀκηλίδωτον δείξας,
f. 164 ‖ πρακτικῶς καὶ λογικῶς
τῇ οἰκουμένῃ
375 ἀπαστράπτεις τὰς θείας
ἐμφάσεις, Ἀθανάσιε.

* Σάλπιγξ γνωστικῆς εὐφωνίας
ἀνεδείχθης, θεόφρον,
τὰ φρονήματα ἡμῶν
380 ἀνδρείας λόγοις

356 post εὐλογοῦμεν cdd. varie laudem detruncant
heirm. θ' EE 79, n. 111, Germani; heirm. integrum in Ch invenies
359 κόσμον Cg 371-376 troparium MR V, 13 375 ἀστράπτεις Vb MR
376 versus desideratur in Vb Ἀθανάσιε] παμμακάριστε MR 377-382 troparium MR V, 13

κατὰ τῶν θεομάχων
ἐχθρῶν διεγείρουσα.

Κύριλλον τὴν πάντων ἀκόνην
τῶν πατέρων ὑμνοῦμεν,
385 ὅτι ἔφραξε στόμα
τοῦ Νεστορίου
τὸ λαλοῦν βλασφημίας
κατὰ σοῦ τοῦ Θεοῦ ἡμῶν.

τριαδ. Ἄναρχος τριὰς ἀνυμνείσθω
390 καὶ μονὰς κατ' οὐσίαν
ὁ πατὴρ καὶ ὁ υἱὸς
καὶ θεῖον πνεῦμα
εἰς αἰῶνας, ἀμήν,
ὑπὸ πάσης πνοῆς.

θεοτ. 395 * Χαῖρε, τῶν εἰς σὲ προστρεχόντων
τὸ ἀπόρθητον τεῖχος,
χαῖρε, εὔδιε λιμὴν
τῶν σὲ σεβόντων,
χαῖρε, μήτηρ Χριστοῦ
400 τοῦ Θεοῦ ἀειπάρθενε.

382 ἐχθρῶν] ἀνδρῶν MR post versum 388 hoc troparium Ch Vb praebent: Θεῖοι ἱεράρχαι κυρίου, / Ἀθανάσιε μάκαρ / σὺν Κυρίλλῳ τῷ σοφῷ, / παντὸς κινδύνου / ταῖς πρεσβείαις ὑμῶν / ἡμᾶς ἐκλυτρώσασθε. 395-400 θεοτ. Pent. II λζ'

18 IAN. *CANON* XXVIII (2)

IN SS. ATHANASIUM ET CYRILLUM

Paris. Suppl. gr. 32 = Sa, ff. 182-182v

Ὁ κανών.

Ἦχος γ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*

Τὸν λογικὸν λαμπτῆρα
καὶ θεμέλιον
ὁ Χριστὸς ἑδραίωσε
τῇ αὐτοῦ ἐκκλησίᾳ,
5 Κύριλλον τὸν πάνσοφον
καὶ μέγαν φωστῆρα,
ἐκδιδάσκειν τὸ ποίμνιον
τριάδα σέβειν ἅπαντας
ὁμότιμον καὶ ἄτρεπτον.

10 Ἡ ἐν Ἐφέσῳ πρῶτον
θεία σύνοδος
ἀριστέα ἔχει σε,
ἱερομύστα πάτερ,
ταξιάρχα Κύριλλε,
15 μυστοπόλε παμμάκαρ·
διὸ καὶ ὀνομάζει σε
τῆς εὐσεβείας πρόμαχον
κατὰ πάσης αἱρέσεως.

τριαδ. Τὴν Νεστορίου πλάνην
20 κατηδάφισας,

heirm. α' EE 78, n. 111, Germani; heirm. integrum tradit cd. et eundem ac EE vv. 1-9 cfr. canonem XXVIII (1), 46-54 et Commentarium

ἱεράρχα Κύριλλε,
δυνάμει τῆς τριάδος
καὶ πάντας ἐδίδαξας
ἐν μιᾷ οὐσίᾳ
25 καὶ δύο ὑποστάσεσιν
ὑπάρχειν ἀσυγχύτως Χριστόν,
Θεὸν ὁμοῦ καὶ ἄνθρωπον.

θεοτ. Ἡ ἀνωτέρα πάσης
ἀγγελικῆς ἀξίας,
30 θεογεννῆτορ ἄχραντε,
ἡ κεχαριτωμένη,
τὴν ποίμνην σου φύλαττε
κινδύνων καὶ βαρβάρων·
ἐν σοὶ γὰρ βασιλεύουσα,
35 ἐν σοὶ τὸ κράτος ἔχουσα,
ἐν σοὶ καὶ περισώζεται.

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

Ἡ θεοκῆρυξ σάλπιγξ τῆς ἀληθείας,
τῶν πιστῶν ὁ πρόμαχος καὶ προστάτης
ἀνευφημείσθω Κύριλλος, ὁ ἱεράρχης Χριστοῦ.

40 Τὴν Νεστορίου ἔλυσας τυραννίδα
καὶ τῆς πλάνης ἤλεγξας θρυαλλίδα,
Κύριλλε πατὴρ ἡμῶν καὶ θεοδίδακτε.

Τὴν ξυνωρίδα πάντες τῆς εὐσεβείας
ἱεραῖς τιμήσωμεν ὑμνῳδίαις,
45 Ἀθανάσιον ἅπαντες καὶ τὸν Κύριλλον.

θεοτ. Χαῖρε, μήτηρ ἄχραντε καὶ παρθένε,
ἡ Θεὸν χωρήσασα καὶ τεκοῦσα·
καὶ μετὰ τόκον μείνασα ἀειπάρθενος.

heirm. γ' EE 78, n. 110, Germani; textum heirm. integrum profert cd. vv. 40-42 cfr. canonem XXVIII (1), 122-125 47 χωρέσασα 48 μείνασαν ἀειπάρθενον

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως ὁμολογία*

Στῦλος γέγονας ὀρθοδοξίας

....

ᾠδὴ δ'. *Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην,*
κατενόησα τὰ ἔργα σου καὶ ἐδόξασά σε.

Πάντες Κύριλλον, τὴν ἀστραπὴν τῶν θείων δογμάτων,
50 ἐν ᾠδαῖς ἀνευφημήσωμεν οἱ πιστοὶ καταχρέως.

Σὲ τὸν πρόμαχον τῆς εὐσεβείας πάντες ὑμνοῦμεν·
ὑπὸ σοῦ γὰρ διδασκόμενοι τὴν τριάδα ὑμνοῦμεν.

Δεῦτε σήμερον τοὺς θείους πύργους τῆς εὐσεβείας,
Ἀθανάσιον καὶ Κύριλλον, μακαρίσωμεν πάντες.

τ. 55 Ἀνυμνοῦμέν σε τὴν μετὰ τόκον πάλιν παρθένον
καὶ δοξάζομέν σε, ἄχραντε, ὅτι σώζεις τὸν κόσμον.

ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, υἱὲ τοῦ Θεοῦ,*

Τῇ παρατάξει, Κύριλλε, τῆς σοφίας σου
τὴν Νεστορίου κακόνοιαν διέρρηξας,
εἰς ὀρθοδοξίαν
60 ὁδηγήσας τοὺς πιστούς, πάτερ, τοῖς λόγοις σου.

Τὴν Νεστορίου ἤλεγξε φρενοβλάβειαν θερμῶς
καὶ τοὺς ἐν σκότει καθεύδοντας ἐφώτισε
Κύριλλος ὁ μέγας,
τοῦ Χριστοῦ ἱερουργὸς καὶ τῶν ἁγίων αὐτοῦ.

κάθ. MR V, 9

heirm. δ' EE 78, n. 110, Germani vv. 49-50 cfr. canonem XXVIII (I), 150-153

heirm. ε' EE 78, n. 110, Germani; textum heirm. integrum servat cd. vv. 657-60.61-64 cfr. canonem XXVIII (1), 182-185. 178-181

65 Τῆς εὐσεβείας πρόμαχος ἀκατάβλητος
πᾶσιν ἐδείχθης, θεόφρον πάτερ Κύριλλε,
τὰς τοῦ Νεστορίου
θεηλάτους βλασφημίας τροπωσάμενος.

θεοτ. Τὴν τῆς μητρός σου δέησιν πρόσδεξαι, κύριε,
f. 182ᵛ 70 ‖ αὐτὴν προσφερομέν σοι εἰς ἱκεσίαν, Χριστέ,
ὑπὲρ τῆς οἰκουμένης,
ἵνα σώσῃς ἐκ φθορᾶς τοὺς ὑμνοῦντάς σε.

ᾠδὴ ς'. *Ἐβόησα ἐν στεναγμοῖς ἀσιγήτοις*

Τιμήσωμεν οἱ πιστοὶ καταχρέως
τὸν ἱεράρχην τοῦ Χριστοῦ,
75 ὡς διδάξαντα ἡμᾶς
ὀρθοδόξως προσκυνεῖν
τὴν ὁμοούσιον καὶ ἁγίαν τριάδα.

Ἐκήρυξας τὴν ἁγίαν τριάδα,
Κύριλλε πάτερ, εὐσεβῶς
80 καὶ ἐφώτισας λαοὺς
τοῦ δοξάζειν ὡς Θεὸν
ἀδιαίρετον ἐν μιᾷ τῇ οὐσίᾳ.

Ἀθάνατον λογισμὸν κεκτημένος
καὶ τὴν ψυχήν σου πρὸς Θεὸν
85 καθαρὰν ὡς ἀληθῶς,
Ἀθανάσιε σοφέ,
κόσμον ἐφώτισας ὀρθοδόξοις διδαχαῖς.

θεοτ. Ὑμνοῦμέν σε, θεοτόκε παρθένε,
τὴν τὸν ἀχώρητον Θεὸν
90 συλλαβοῦσαν ἐν γαστρὶ
καὶ τεκοῦσαν ἐν σαρκί,
τὸν συναΐδιον τῷ πατρὶ καὶ τῷ πνεύματι.

---

heirm. ς' EE 79, n. 111, Germani; heirm. integrum invenies 75 διδάξαντας vv. 83-87 cfr. canonem XXVIII (1), 198-204 90 συλλαβοῦσα 91 τεκοῦσα

Κοντάκιον.

Ἦχος δʹ. *Ἐπεφάνης σήμερον*

Ἱεράρχαι μέγιστοι

....

⟨Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*⟩

Ἀκαταλήπτῳ σου χειρὶ

....

ᾠδὴ ζʹ. *Τρεῖς παῖδες ἐν καμίνῳ*

Θεὸν σεσαρκωμένον
τὸν υἱὸν ὡμολόγησας
95 ἐκ τῆς παρθένου Μαρίας, Κύριλλε ἔνδοξε·
καθεῖλες τὸ κράτος •
τοῦ Νεστορίου τὸ ληρῶδες, παμμακάριστε.

Τοῦ πνεύματος τὴν αἴγλην
ἐν καρδίᾳ δεξάμενος,
100 διετήρησας ἀμέριστον τὸ κήρυγμα
τῆς τριάδος κραυγάζων·
« εὐλογητὸς εἶ, ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν ».

Τῆς πρώτης ἐν Ἐφέσῳ
συμμαχίας τὸν πρόμαχον
105 ἐξ ἀνθέων τῶν ᾀσμάτων στεφανώσωμεν
ὡς καθαιρέτην τῆς πλάνης
καὶ ταξιάρχην τοῦ Χριστοῦ, τὸν μέγαν Κύριλλον.

* Ἐτέχθης ἐκ παρθένου
ὡς ηὐδόκησας, κύριε,

κοντάκ. et οἶκ. MR III,284
heirm. ζʹ EE 79, n. 111, Germani 102. 112 post εὐλογητὸς laudem detruncat cd. 107-112 θεοτ. MR V, 12, cfr. et canonem XXVIII (1), 290-295 109 εὐδόκησας MR

110 καὶ ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν·
διὰ τοῦτο βοῶμεν·
« εὐλογητὸς εἶ, ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ ηʹ. *Τὸν ἐξ ἀνάρχου τοῦ πατρὸς*

Κύριλλον ἅπαντες πιστοὶ
εὐφημήσωμεν ἐν ᾄσμασιν,
115 ὅτι καθεῖλε βλάσφημον μανίαν,
στύγη τῶν αἱρέσεων,
ὡδήγησε δὲ ἡμᾶς
ἐν ὁδῷ πνευματικῇ
κραυγάζων· « εὐλογεῖτε
120 καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Δαβιτικῶς καταβαλὼν
τῇ σφενδόνῃ τῶν δογμάτων σου
τὴν Νεστορίου ἀλλόφυλον φρένα,
125 Κύριλλε μακάριε,
καθωδήγησας λαοὺς
τριαδικῶς ἐκβοῶν·
« ὑμνεῖτε, εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
130 αὐτὸν εἰς τοὺς αἰῶνας ».

Δογματίσας εὐσεβῶς
τὴν τριάδα ὁμοούσιον,
σὺν τῷ Ἀρείῳ καὶ τοῦ Σαβελλίου
ἤλεγξας κακόνοιαν·
135 διό, φυγόντες αὐτῶν
ἐναντίαν συμπλοκήν,
ὑμνοῦμεν, εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

---

heirm. ηʹ EE 79, n. 111, Germani vv. 113-121 cfr. canonem XXVIII (1), 332-340 115 καθεῖλες 116 στυγῇ 119.128 post εὐλογεῖτε orat. abrumpitur 123 σφενδόν 124 φρέναν 126 καθοδηγήσας 138. 147 post ὑπερυψοῦτε orat. detruncatur

140 Τὸν ἀνατείλαντα ἡμῖν
ἐκ πατρὸς πρὸ ἑωσφόρου υἱὸν
καὶ σαρκωθέντα ἐκ τῆς θεοτόκου
ἄγγελοι δοξάζουσιν
ὡς σύνθρονον τοῦ πατρὸς
145 καὶ δεσπότην τοῦ παντός,
ἡμεῖς δὲ εὐλογοῦμεν
καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*

Κύριλλον τὴν πάντων ἀκόνην
150 τῶν πατέρων ὑμνοῦμεν,
ὅτι ἔφραξε στόμα τῆς ἀσεβείας
Νεστορίου λαλοῦντος βλασφήμως πρὸς θεότητα.

Κλέος ἱερέων ἐδείχθης
καὶ ποιμὴν τῶν ποιμένων,*
155 ἱεράρχα τοῦ Χριστοῦ, Κύριλλε πάτερ·
διὸ πάντων ἡμῶν μνείαν ποιοῦ πρὸς κύριον.

Δεῦτε τοὺς φαιδροὺς μαργαρίτας
τῆς τοῦ Χριστοῦ ἐκκλησίας,
Ἀθανάσιον πάντες σὺν τῷ Κυρίλλῳ,
160 ἱεραῖς μελῳδίαις συμφώνως μεγαλύνωμεν.

Σὲ τὸν προαιώνιον Λόγον,
ἐκ πατρὸς γεννηθέντα
καὶ ἐπ' ἐσχάτων ἡμερῶν ἐκ τῆς παρθένου
σαρκωθέντα, τοῦ σῶσαι ἡμᾶς μεγαλύνομεν.

---

heirm. ϑ' EE 79, n. 111, Germani; textum heirm. integrum tradit cd.
vv. 149-152 cfr. canonem XXVIII (1), 383-388

IN SANCTAM XENEM

Synaxarium, 419-420: Μνήμη τῆς ὁσίας Εὐσεβείας τῆς μετονομασθείσης Ξένης. Αὕτη γέγονεν ἐκ τῆς μεγαλοδόξου πόλεως Ῥώμης, γένους ἐντίμου καὶ ζηλωτοῦ. Τῶν οὖν γεννητόρων αὐτῆς γάμῳ ταύτην ἐκδοῦναι βουλομένων καὶ τῶν κατὰ τὸν γάμον πάντων εὐτρεπισθέντων, ἐξ αὐτῆς τῆς παστάδος μεθ' ἑτέρων δύο γυναικῶν παιδισκῶν ἀποφυγοῦσα καὶ διὰ θαλάσσης τὴν πορείαν ποιησαμένη, ἄλλους ἐπ' ἄλλοις ἀμείψασα τόπους, τὴν πόλιν τῶν Μυλασσῶν κατέλαβε, μᾶλλον δὲ παρὰ τοῦ μοναχοῦ καὶ θεσπεσίου Παύλου, ὃς αὐτῇ θεόθεν ἐν Ἀλεξανδρείᾳ φανεὶς ὁδηγὸς γέγονεν τῶν κρειττόνων, εἰς τὴν τοιαύτην πόλιν κατέστη· μικρὸν εὐκτήριον ἐπ' ὀνόματι τοῦ ἁγίου καὶ ἐνδόξου πρωτομάρτυρος πηξαμένη Στεφάνου, ἅμα ταῖς δυσὶ θεραπαινίσι καί τινων ὀλίγων παρθένων συνελθουσῶν, πολλὴν ἄσκησιν ἀρετῆς ἐπεδείξατο, διὰ πάσης καρτερίας καὶ ἀποχῆς τῶν κατ' αἴσθησιν ἡδονῶν εἰς τὴν οὐράνιον ἑαυτὴν ἀνάγουσα πολιτείαν. Καλῶς οὖν διελθοῦσα τὸν βίον, μετὰ τὴν ὁσίαν ἐκείνην καὶ μακαρίαν τελευτὴν ἄνωθεν ἔσχε τὴν μαρτυρίαν. Καὶ γὰρ μεσούσης ἡμέρας ἡλίου τὰ κατὰ γῆν φωτίζοντος, δι' ἀστέρων ὤφθη σταυρός, ὃν συνέκλειε καὶ εἰς τὸ μέσον συνεῖχεν ἑτέρων ἀστέρων χορός, ὡς δοκεῖν αὐτὸν στέφανον εἶναι τῆς μακαρίας Εὐσεβείας, τῆς μακρᾶς νηστείας καὶ χαμευνίας καὶ ἀγρυπνίας καὶ ἀφθορίας πρὸς Θεοῦ ἀντιδοθέντα ..... Ἐγνώσθη δὲ τὰ κατὰ τὴν ὁσίαν, μιᾶς τῶν θεραπαινίδων ἐν τῷ μέλλειν τελευτᾶν διηγησαμένης τὴν τῆς μακαρίας πατρίδα καὶ τὸ τοῦ γένους ἐπίσημον καὶ τὴν ἐκ γενέσεως προσηγορίαν καὶ ὅτι λαθεῖν σπουδάζουσα Ξένην ὠνόμασεν ἑαυτήν, Εὐσέβεια πρότερον ὀνομαζομένη.

Crypt. Δ.α. XXIV = Cy, ff. 163v-164v

Ὁ κανών.

Ἀκροστιχίς: Τὴν Εὐσέβειαν καὶ Ξένην μέλπω ξένος· Μητροφάνης.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Τῷ θείῳ τοῦ ἀμηχάνου κάλλους σου
τρωθεῖσα ἔρωτι,

---

acrostichis in rubrica praetermissa sed e litteris tropariorum deducta, nonnullis lapsis strophis, sic superest: την ε⟨.....⟩ιαν ⟨.⟩αι ξενη⟨.⟩ μελπω ξ⟨.⟩νος μητροφάνης (cfr. Commentarium)
heirm. α' EE 94, n. 133, Joannis

τὸν τῆς σαρκὸς ἐφαύλισε, Χριστός,
καὶ ὀπίσω τῶν μύρων τῶν σῶν
5 ἡ σὴ νεᾶνις ἔδραμεν,
ἧς ταῖς πρεσβείαις σῶσον πάντας ἡμᾶς.

Ἠὐγάσθης ταῖς ἀπροσίτοις λάμψεσι
τὴν σὴν διάνοιαν
τοῦ νοητοῦ ἡλίου καὶ σφοδρῶς
10 ἐβδελύξω τοῦ κόσμου παντὸς
τὰς θελκτικὰς τερπνότητας,
ὦ Εὐσέβεια καλλιπάρθενε.

Ναμάτων τῆς ἀφθαρσίας κύλικα
πλήρη σὺ πέπωκας
15 καὶ τῆς ἁγνείας οἶκον σεαυτὴν
ἐδομήσω καὶ στύλοις ἑπτὰ
ἐρηρεισμένη πέφηνας
τοῖς τῆς σοφίας, παναοίδιμε.

Ἐφεῦρεν ἡ ἀνθρωπότης, δέσποινα,
20 τὴν ἀπολύτρωσιν
τῆς πάλαι κατάρας διὰ σοῦ·
τὸν γὰρ ἄσπορον ἄσταχυν,
ὡς ζωηφόρος ἄρουρα,
τῆς εὐλογίας σὺ ἐβλάστησας.

ᾠδὴ γ΄. *Εὐφραίνεται ἐπὶ σοὶ*

25 Ἰλύος τῆς κοσμικῆς
ὑψηλοτέραν τὴν ψυχὴν ἔδειξας
καὶ τὸν φθαρτὸν πλοῦτόν σου
πένησιν, ὁσία, διένειμας.

---

3 Χριστὸς pro Χριστὲ habeas 4 μύρω τὸν σῶν 14 πλήρις
heirm. γ΄ EE 94, n. 133, Joannis

27-28 Th. Nissen, *S. Eusebiae seu Xenae Vita*, «Anal. Boll.» 56 (1938) 108 7-8: ... καὶ διεσκόρπιζεν δι' ἑαυτῆς καὶ διὰ τῶν δύο τούτων αὐτῆς παιδισκῶν τοῖς δεομένοις τὸν πλοῦτον...

15-18 Prov. 9,1

Ἀπέδρας τῆς σαρκικῆς
30 περιφανείας τὸ λαμπρόν, ἔνδοξε,
καὶ τὴν στοργὴν ἅπασαν
τῶν γεγεννηκότων διέλαθες.

Νενύμφευσαι τῷ Χριστῷ
καὶ νυμφοστόλος δὲ σαφῶς γέγονας
35 τῆς πρὸς αὐτὸν σχέσεως
ταῖς θεραπαινίσι σου πρότερον.

⟨Κ — ´ — — — ´
— — — ´ — — — ´ ´ — —
— — — ´ ´ — —
40 — — — — ´ — — ´ — —⟩

θεοτ. Ἀνέτειλεν ἐκ τῆς σῆς
δικαιοσύνης νοητὸς ἥλιος
μήτρας, ἁγνὴ δέσποινα,
καὶ τοὺς γηγενεῖς κατεφαίδρυνεν.

ᾠδὴ δ΄. *Ἐπαρθέντα σε ἰδοῦσα*

45 Ἱλαστήριον ἐμφρόνως
τὴν σὴν καρδίαν
τεκτηναμένη, τέθυκας,
ὥσπερ ἱερεῖον,
ὅλον σου τὸν βίον Θεῷ,
50 ψυχὴν καὶ τὸν ζυγὸν
σώματος αὐτῷ ἀφιερώσας.

Ξενωθεῖσα τῶν ἰδίων
καὶ τῶν φυσάντων
ἐκμακρυνθεῖσα, πρόσφορον
55 ἀντονομασίαν
εὗρες πειρωμένη λαθεῖν·

27-40 troparium desideratur
heirm. δ΄ EE 94, n. 133, Joannis 54 πρὸς φόρον

διὸ ἐπικέκλησαι
Ξένη καταλλήλως τοῖς πράγμασιν.

'Ερηρεισμένη, ὁσία,
60 ἐπὶ πέτραν
τὴν νοητήν, οὐκ ἔδωκας
εἰς ἄλλον τὸν πόδα,
οὔτε μὴν ἐνύσταξεν
ὁ φυλάττων σε
65 ἄγγελος κυρίου τὸ σύνολον.

θεοτ. || Νεκρωθεῖσαν τὴν φύσιν
ἐξ ἁμαρτίας
τὴν τῶν ἀνθρώπων, πάναγνε,
ἀνίστησι πάλιν
70 ὁ ἐκ σοῦ τεχθεὶς ἀρχηγός,
Χριστός, τῆς ζωῆς ἡμῶν,
ἄνθρωπος, Θεὸς ὑπερούσιος.

ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*

'Ηγρύπνησας ἀεὶ
τὴν λαμπάδα κατέχουσα
75 ἀσκήσεως τῷ ἐλαίῳ
δαψιλῶς ἀνημμένην,
Εὐσέβεια φερώνυμε.

⟨Ν — ⁄ — — — —
— — ⁄ — — ⁄ — —
80 — ⁄ — — — — ⁄ —
— — ⁄ — — ⁄ —
— ⁄ — — ⁄ — — —⟩

Μετάρσιον τὸν νοῦν
ταῖς παννύχοις σου στάσεσιν,

heirm. ε' EE 94, n. 133, Joannis 78-82 troparium desideratur

83-87 Th. Nissen, o.c., 111³⁴⁻³⁶-112¹: Τῇ ὑπερβολῇ τοίνυν τῆς ἐγκρατείας τοσαύτη ἦν ἀγρυπνία ἐν αὐτῇ, ὡς ἀπὸ ἑσπέρας μέχρι τῆς ὥρας τῶν εὐχῶν ... ἑστάναι διὰ πάσης νυκτός... καὶ προσεύχεσθαι...

85 ἃς πέφηνας ἀνενδότως,
προσευχαῖς καρτεροῦσα
καθάπερ τις ἀσώματος.

'Επότισας ἀεὶ
τῶ⟨ν⟩ δακρύων τοῖς νάμασι
90 τὴν ἄρουραν τῆς ψυχῆς σου
καὶ πολύχουν ἐδρέψω
σωτηρίας τὸν ἄσταχυν.

θεοτ. Λαβίδα μυστικὴν
'Ησαΐ⟨ας⟩ κατεῖδέ σε,
95 ἐν ᾗπερ ὁ θεῖος ἄνθραξ
τοῖς βροτοῖς ὁμιλήσας
τὴν φύσιν ⟨ἐ⟩καινούργησεν.

ᾠδὴ ς'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Πάροικος
ἐπὶ τῆς γῆς καὶ ξένη γεγένησαι,
100 ἀλλ' οἱ χοροὶ τῶν ἀγγέλων
ἐκκλησίας σε
τῶν πρωτοτόκων
συμπολίτην
ἐν οὐρανοῖς, ὁσία, ἐγνώρισαν.

105 "Ωρισας
τῶν ἀρετῶν ἄριστον στάδιον
διαδραμεῖν μέχρι τέλους
καὶ τὸν τούτων κύκλον
ταῖς σαῖς πορείαις
110 διατρέχειν
περιφανῶς, ὡς πόλον ἥλιος.

89 τῶν] τῶ 94 'Ησαΐας] ἠσαΐ 95 θείας 97 ἐκαινούργησεν] καινούργησεν
heirm. ς' EE 94, n. 133, Joannis

93-95 Is. 6,6 98-104 cfr. Eph. 2,19

Ξένος σου,
καλλιπάρθενε κόρη, διέγνωσται
τῆς ἐγκρατείας ὁ τόνος·
115 ἐν γὰρ ἄρτῳ μόνῳ
καὶ σποδιᾷ σε
μεμιγμένῳ
τοῖς σοῖς δάκρυσιν ἔθρεψας πάντοτε.

⟨Ε —́ — —
120 — — — —́ — —́ — — —́
— — — —́ — — —́ —
— — —́ — —́ —
— — — —́ —
— — —́ —
125 — — — —́ — —́ — — —́ — —⟩.

Νέον σε
οὐρανὸν τοῦ προτέρου γινώσκομεν
εὐρυχωρότερον ὄντως·
τὸν γὰρ πᾶσιν ὄντα
130 ἀχώρητον
σαρκωθέντα,
θεοτόκε, ἀτρέπτως ἐχώρησας.

ᾠδὴ ζʹ. *Ὁ διασώσας ἐν πυρὶ*

Ὄλβιος πάλαι μὲν σαφῶς
γέγονας καὶ κύδιστος λίαν
135 περιφανείαις κοσμικαῖς·
ἀλλὰ νῦν ἀπεφάνθης πολύολβος
καὶ πολλῷ μᾶλλον ἔνδοξος,
ἰσαγγέλῳ πολιτείᾳ τετιμημένος.

---

116 σε] σα 119-125 troparium desideratur
heirm. ζʹ EE 101, n. 142, Cosmae 137 ἔνδοξος] ἔνδος

117-118 Th. Nissen, o.c., 111[23-29]: Ἐρχομένη δὲ ἐπὶ τροφὴν οὐ λαχάνου ἐγεύετο, οὐκ ὀσπρίου, οὐκ οἴνου, οὐκ ἐλαίου, οὐκ ὀπώρας τινός, οὐδὲ πᾶν, ὃ διὰ πυρὸς ἔχει τὴν χρῆσιν, εἰ μὴ μόνον βραχύ τι ἄρτου καὶ τοῦτον βρέχουσα τοῖς οἰκείοις δάκρυσιν. Τὴν ἐναπομένουσαν σποδιὰν ἐν τῷ θυμιατηρίῳ, ταύτην συμμάσσουσα μετὰ τοῦ ἄρτου οὕτως ἤσθιεν καὶ τοῦτο ἐπὶ πάντα τὸν τῆς ζωῆς αὐτῆς ἐποίει χρόνον....

Στῦλος ἐφάνης ἀρετῶν
140 κατηγλαϊσμένος, θεόφρον,
τῆ⟨ς⟩ ἐγκρατείας τῷ φωτὶ
καὶ παρθένων χοροῦ καθοδηγούμενος
εἰς τὴν ἄνω μητρόπολιν,
εἰς τὴν γῆν τὴν τῶν πραέων καὶ βασιλείαν.

145 Μετὰ τοῦ Παύλου ἀληθῶς
σκύβαλα ἡγήσω τὰ πάντα,
ἵνα κερδίσῃς τὸν Χριστόν,
f. 164v τὸν ‖ σωτῆρα τῶν ὅλων καὶ κύριον
καὶ νυμφίον ἀθάνατον
150 καὶ Θεὸν τῶν πατέρων.

θεοτ. Ἦλθεν ὃν πάλαι Ἰακὼβ
πνεύματι ἁγίῳ προεῖπεν
ἐναποκεῖσθαι τῶν ἐθνῶν
προσδοκίαν, Χριστός, ἐκ νηδύος σου·
155 καὶ ἐξέλιπον ἄρχοντες
ἐκ φυλῆς τοῦ Ἰούδα, παρθενομῆτορ.

ᾠδὴ ηʹ. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Τὸν τραχηλιάσαντα τὸν πρὶν
κατὰ τοῦ κτίσαντος
καὶ παντοκράτορος
160 δεινὸν ὑψαύχενον ἔρρηξας
πρὸς τὴν γῆν διὰ πρᾳότητος
καὶ ταπεινώσεως, σοφὴ
κόρη, κραυγάζουσα·
« εὐλογεῖτε
165 πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

---

heirm. ηʹ EE 94, n. 133, Joannis 141 τῆς] τῆ 151 ὃν] ὁ
160 ἔρριξας 164-165 laudem intermittit cd.

151-156 Gen. 49,10 157-159 cfr. Iob 15,25

Ῥώννυσιν ὁ πόθος τοῦ Χριστοῦ
καὶ τὴν τοῦ θήλεος
ὄντως ἀσθένειαν
καὶ ἀνδριόφρονα δείκνυσι
170 καὶ γενναίαν καὶ ἀήττητον,
ὡς ἡ ὁσία ἐμπεδοῖ
πίστει κραυγάζουσα·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

175 Ὅλην ὁλικῶς σου τὴν ζωὴν
καθιερώσασα
Θεῷ τῷ κτίσαντι,
φθαρτοῖς μὲν ἄφθαρτα, πάνσοφε,
ἀντηλλάξω καὶ θανάτῳ ζωήν·
180 καὶ γὰρ ἐνέκρωσας αὐτὴν
καὶ πρὸ θανάτου ἀεὶ
κραυγάζουσα·
« πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

θεοτ. Φάνηθί μοι, δέσποινα, ἰσχὺς
185 καὶ καταφύγιον
καὶ σκέπη, πάναγνε,
καὶ θερμὴ ἀντίληψις πάντοτε
καὶ παράκλησις τῷ δούλῳ σου
καὶ πειρασμῶν καὶ λυπηρῶν
190 ῥῦσαί με ψάλλοντα·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

ᾠδὴ θ'. *Εὔα μὲν τῷ τῆς παρακοῆς*

Ἀποπερατώσασα καλῶς
τὸν δρόμον καὶ τὴν πίστιν συντηρήσασα,

173.183.191 invocatio detruncatur 180 ἐνέκρωσε
heirm. θ' EE 98, n. 139, Joannis et Stephani

193-196 cfr. II Tim. 4,7-8

195 στέφανον δόξης μεταστᾶσα
ἀπείληφας προδήλως κατάστερον,
ἐν κύκλῳ σταυροῦ σχῆμα φαινόμενον
ἐν τῷ αἰθέρι σοῦ καθύπερθεν.

Νεκροῖς μὲν ὡς ἄνθρωπος σαφῶς
200 σὺ πέφηνας, ἐν Θεῷ δέ, καλλιπάρθενε,
ζῇς ἀληθέστερον καὶ μένεις
ἰάσεις πολυτρόπως τῆς τοῦ βίου
νῦν κακώσεως <‿́ — — ‿́ — —
— — — ‿́ — — — ‿́ — — —.>

205 Ἤνοικταί σοι πύλη οὐρανῶν
καὶ κλῆρός σε τῶν παρθένων ὑπεδέξατο,
ἔστης κρατοῦσα δὲ λαμπάδα
φαιδρὰν ἐκ δεξιῶν τοῦ νυμφίου σου
καὶ τῇ καταστολῇ τῶν ἀγώνων σου
210 πεποικιλμένη ὡς βασίλισσα.

θεοτ. Σύγχρονος ἀνθρώποις γεγονὼς
ὁ ἄχρονος φιλανθρώπως, θεονύμφευτε
κόρη, προῆλθεν ἐκ γαστρός σου
καὶ ἔχθραν πολυχρόνιον ἔλυσε
215 συνάψας ἐν οὐρανοῖς τὰ ἐπίγεια·
ὅθεν σε πάντες μεγαλύνομεν.

203 post κακώσεως cetera scriba praetermisit

25 IAN.

CANON XXX (1)

IN SANCTUM GREGORIUM NAZIANZENUM

Synaxarium, 421-422: .....Οὗτος ὁ τρισμακάριος καὶ μέγας Γρηγόριος ὁ θεολόγος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου καὶ Οὐάλεντος..... πατέρες δὲ αὐτῷ ..... Γρηγόριος καὶ Νόννα, οἳ τὰ εἴδωλα πρότερον δι᾽ ἄγνοιαν ἐσέβοντο. Γεννήσαντες δὲ τὸν ἅγιον Γρηγόριον, ὑπὸ τοῦ ἁγίου Πνεύματος δι᾽ ὕδατος καὶ πνεύματος ἀνεγεννήθησαν. ..... Τοσοῦτον οὖν μόνον εἰπεῖν ἀναγκαῖον, ὅτι, εἰ ἔδει γενέσθαι ἐν ἀνθρώποις εἰκόνα τινὰ καὶ στήλην κατὰ μέρος ἐκ πασῶν συγκειμένην τῶν ἀρετῶν, τοῦτο ἦν ὁ μέγας Γρηγόριος. Βίου γὰρ λαμπρότητι τοὺς κατὰ πρᾶξιν εὐδοκίμους ὑπερβαλὼν ἐπὶ τοσοῦτον εἰς θεωρίαν προήχθη, ὡς πάντας ἡττᾶσθαι τῆς σοφίας αὐτοῦ τῆς τε ἐν λόγοις τῆς τε ἐν δόγμασιν· ὅθεν καὶ τὴν θεολόγος προσηγορίαν ἐκτήσατο.....

Mess. gr. 136 = Mf, ff. 47v-58
Crypt. Δ.α. XV = Cg, ff. 192-199.

Ὁ κανών· Ἀνδρέου.

Ἦχος δ'.

ᾠδὴ α'. *Ὁ πατάξας Αἴγυπτον*
καὶ Φαραὼ τὸν τύραννον
βυθίσας ἐν θαλάσσῃ
λαὸν διέσωσε δουλείας
5 *μωσαϊκῶς ᾄδοντα*
ᾠδὴν ἐπινίκιον,
ὅτι δεδόξασται.

Θεολόγοις ᾄσμασι
τὸν θεολόγον ἅπαντες
ὑμνήσωμεν, βοῶντες·

---

tit. Οὗτος ὁ κανὼν ψάλλεται εἰς τὸν ὄρθρον in summo folio manus posterior scripsit in Mf Ἕτερος κανὼν et in margine ἀνδρέου Cg
heirm. α' EE 106, n. 150, Andreae; integrum heirm. praebet Mf
heirm. 4 διέσωσας EE

« σοφίας τρόφιμε καὶ μύστα
5 τῆς ἀληθοῦς γνώσεως,
Γρηγόριε, πρέσβευε
ὑπὲρ τῆς ποίμνης σου ».

Ἀκλινὴς θεμέλιος
τῆς ὀρθοδόξου πίστεως
10 καὶ πρόβολος ὑπάρχων,
ὡς λίθοις, ὅσιε, τοῖς λόγοις
τῆς ἀληθοῦς γνώσεως
συνέχεις τὰς καρδίας,
οἰκοδομῶν εἰς Χριστόν.

15 Στῦλος καὶ ἑδραίωμα
f. 47 τῆς ἐκκλη||σίας γέγονας
καὶ βάσις τῶν δογμάτων
καὶ σάλπιγξ εὔηχος καλοῦσα
τοὺς τῆς ὀρθῆς πίστεως
20 ὁπλίτας συμμαχῆσαι
τῇ ἐκκλησίᾳ Χριστοῦ.

Ὡς τῶν δικαίων σύσκηνος
τὰς ἀρετὰς ἐζήλωσας·
τοῦ Ἄβελ μὲν τὰ δῶρα,
25 Ἐνὼς τὴν ἔνθεον ἐλπίδα
συναγαγών, ὅσιε,
Ἐνὼχ τε τὴν ἐκ κόσμου
ξένην μετάθεσιν.

Ὡς κιβωτὸν διέσωσας
30 κατακλυσμοῦ αἱρέσεων
Χριστοῦ τὴν ἐκκλησίαν
ἀσφάλτῳ πίστει κεχρισμένην,
πνευματικὰ σπέρματα

---

27 ἐκ κόσμου] ἐν κόσμῳ Cg 30 αἱρέσεως Cg

---

15 I Tim. 3,15 24 Gen. 4,4 25 Gen. 4,26 27-28 Gen. 5,24

ἐν ταύτῃ συντηρήσας
35 ὀρθοδοξίας ἡμῖν.

Τὴν τῆς πλάνης θάλασσαν
διατεμὼν τοῖς λόγοις σου,
διήγαγες ἐμφρόνως
λαὸν γνωσθέντα τῇ τριάδι
40 καὶ φωτισμὸν γνώσεως
ὡς γῆν ἐπαγγελίας
ἐκληροδότησας.

f. 47ᵛ || Τῆς γραφῆς τὴν ἄβυσσον
ἀνακαλύψας, ἤνοιξας
45 οὐρανοῦ καταρράκτας
κἀκεῖθεν ἔβλυσας τῷ κόσμῳ
τὴν λογικὴν ἄβυσσον
τῆς θείας σου σοφίας,
πάτερ Γρηγόριε.

τριαδ. 50 Χερουβικῶς δοξάσωμεν
τριάδα ὁμοούσιον,
τὴν μίαν βασιλείαν·
τρισὶ προσώποις δηλουμένην,
οὐσιωδῶς σέβοντες
55 τὰ τρία σὺν ἀλλήλοις·
εἷς γὰρ Θεὸς ἡ τριάς.

θεοτ. Ἐκύησας ἄσπορον
υἱόν, παρθένε· τίκτουσα
πῶς μένεις μετὰ τόκον
60 παρθένος ἄφθορος καὶ μήτηρ;
ὄντως καινὸν θέαμα
ἡ σύλληψις, ὁ τόκος·
ἡ παρθενία φρικτή.

---

34 ἐν αὐτῇ Mf 35 ἡμῖν] χριστοῦ Mf 36-49 troparia desunt in Cg
50 δοξάζομεν Cg 57 Ἐκύησας] Ἐν κοιλίᾳ Cg 58 παρθένος Cg

36-39 cfr. Ex. 14,21-22

ᾠδὴ γ΄. *Ἐστερεώθη*
ἡ καρδία μου ἐν κυρίῳ

f. 48 || Τῶν οὐρανίων
65 θεηγόρος ὤφθης δογμάτων,
ἀπηχήσας
τῇ καθαρᾷ σου γλώσσῃ
τῆς τριάδος εὐσεβῶς τὸ ἄναρχον φῶς
ἐν τρισὶν ἡλίοις
70 ἀδιαιρέτως, Γρηγόριε.

Ὡς γραμματέως
ὀξυγράφου κάλαμος, πάτερ,
ἀνεδείχθη
ἡ εὐσεβής σου γλῶσσα,
75 τρισυπόστατον ἡμῖν φωνοῦσα Θεὸν
καὶ καλλιγραφοῦσα,
οὐ συναιροῦσα, οὐ τέμνουσα.

Τὰς στειρωθείσας
καρποφόρους δείξας καρδίας,

---

heirm. γ΄ EE 105, n. 148, Andreae; textum heirm. integrum Mf tradit
65 δογμάτων] διδαγμάτων Cg 68 ἄναρχον] ἄχρονον Cg 69 ἡλίοις] προσώποις Cg

---

64-70 S. Gregorii Theol., Orat. XXXI, PG 36,136ᵇ⁻ᶜ: Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ὁ Πατήρ. Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ὁ Υἱός. Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ὁ ἄλλος Παράκλητος. Ἦν, καὶ ἦν, καὶ ἦν· ἀλλ' ἓν ἦν. Φῶς, καὶ φῶς, καὶ φῶς· ἀλλ' ἓν φῶς, εἷς Θεός. Τοῦτό ἐστιν ὃ καὶ Δαβὶδ πρότερον ἐφαντάσθη, λέγων· « Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς». Καὶ νῦν ἡμεῖς καὶ τεθεάμαθα καὶ κηρύσσομεν, ἐκ φωτὸς τοῦ Πατρός, φῶς καταλαμβάνοντες τὸν Υἱόν, ἐν φωτὶ τῷ Πνεύματι, σύντομον καὶ ἀπέριττον τῆς Τριάδος θεολογίαν ...

75-77 S. Gregorii Theol., o. c., 148ᵈ-149: ... Ἡμῖν εἷς Θεός, ὅτι μία θεότης· καὶ πρὸς ἓν τὰ ἐξ αὐτοῦ τὴν ἀναφορὰν ἔχει, κἂν τρία πιστεύηται. Οὐ γάρ, τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον Θεός· οὐδὲ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον· οὐδὲ βουλήσει τέμνεται, οὐδὲ δυνάμει μερίζεται... ἀλλὰ ἀμέριστος ἐν μεμερισμένοις, εἰ δεῖ συντόμως εἰπεῖν, ἡ θεότης.

71-74 Ps. 44,2

80 τὰς τῆς πλάνης
γονὰς εἰς εὐκαρπίαν
μετεποίησας ἐνθέοις πόνοις σου,
οἷς καλλιεργεῖται
ἡ ἐκκλησία, Γρηγόριε.

85 Τῶν ἀποκρύφων
τοῦ Θεοῦ κριμάτων ἐγένου
μυστιπόλος
f. 48v || καὶ θεῖος ὑποφήτης,
ὡς τρανώσας τηλαυγῶς τὰ θεῖα πιστοῖς
90 καὶ προαποφήνας
τὸν τοῦ ναοῦ καὶ λαοῦ πλατυσμόν.

Ὁ προσπελάσας
τῷ στερρῷ Ἰώβ, θεολόγε,
δι' Ἀρείου
95 τῇ πίστει προσμαχήσας,
οὐ κατέαξεν αὐτῆς τὸν πύργον εἰς γῆν,
περιπεφραγμένην
τοῖς θεολόγοις σου δόγμασι.

Τὰς ἀναβάσεις
100 τῆς καρδίας, πάτερ, τῷ ὕψει
παραβάλλων
τῶν πρακτικῶν σου τρόπων,
νοητῶς στηλογραφεῖς τὴν κλίμακα,
ἣν ἐχρηματίσθη
105 ὁ Ἰακὼβ συμπαλαίσας Θεῷ.

---

81 ἀκαρπίαν Mf   90 προαναφήνας Cg   92 προσπαλαίσας Cg   97 περιπεφραγμένην (sic) cdd. πίστει revocatur   102 τρόπων] πόνων Mf   103 στηλογραφεῖ Mf   105 Θεῷ] χριστῷ Cg

---

90-91 S. Gregorii Theol., o. c., 36,465a:... Τοιοῦτόν ποτε τοῦτο τὸ ποίμνιον, καὶ τοιοῦτον νῦν, οὕτως εὐεκτοῦν τε καὶ πλατυνόμενον· εἰ δὲ μήπω τελείως, ἀλλ' εἰς τοῦτό γε ταῖς κατὰ μέρος ὁδεῦον προσθήκαις· προφητεύω δέ, ὅτι καὶ ὁδεῦσον. Τοῦτό μοι τὸ Πνεῦμα προλέγει τὸ ἅγιον, εἴ τι προφητικὸς ἐγὼ καὶ βλέπων τὰ ἔμπροσθεν ...

92-93 Job. 1,8-20; 2,3-11   103-105 Gen. 28,12-ss

Τῇ βασιλίδι
ἐπιβὰς ὡς ἄλλῃ Αἰγύπτῳ,
τῷ τοῦ λόγου
λιμῷ προεκκακίσας,
110 τοῖς τῆς πίστεως αὐτήν, Γρηγόριε,
f. 49 λόγοις || διαθρέψας,
ὤφθης αὐτῇ σωφροσύνης εἰκών.

τριαδ. Τὴν ἐν τριάδι
καὶ μονάδι ἄναρχον φύσιν
115 προσκυνοῦμεν
πιστῶς θεολογοῦντες,
ὡς ἐδίδαξεν ἡμᾶς Γρηγόριος,
ἐν τρισὶν ἡλίοις
ἓν τῆς τριάδος ἀμέριστον φῶς.

θεοτ. 120 Ὁ ἐν γαστρί σου
ὑπὲρ λόγον ἄτρεπτος Λόγος,
θεοτόκε,
σαρκὶ κατασκηνώσας,
ἐγεννήθη καθ' ἡμᾶς φορέσας ἡμᾶς
125 καὶ τὴν οἰκουμένην
θεογνωσίας ἐπλήρωσεν.

106-112 troparium om. Cg   114 καὶ ἐν ... Cg   126 θεολογίας Mf

---

106-112 S. Gregorii Theol., Vita a Gregorio Presbytero, PG 35,276a-b: Τῆς οὖν τοιαύτης ἔριδος πᾶσαν ὑπολαβούσης τὴν ὑπὸ Ῥωμαίους ἀρχήν, πλέον δὲ τοῦ Βυζαντίου κατακρατούσης, ἐξεγείρει ὁ Θεὸς τὸ πνεῦμα τὸ ἅγιον Γρηγορίου τοῦ Θεολόγου, ἐλεήσας τοὺς ἀπολλυμένους ὑπὸ τῆς φθοροποιοῦ τῆσδε διδασκαλίας· καὶ οἷον πρὸς Μωϋσέα φησίν· « Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ (σκότος δὲ ἡ Αἴγυπτος λέγεται τῇ φωνῇ τῶν Ἑβραίων· δηλοῖ δὲ νῦν τῶν αἱρέσεων τὸν κατασχόντα ζόφον), καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα· καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς. Καὶ νῦν δεῦρο ἀποστελῶ σε εἰς Αἴγυπτον». Καὶ τοιαύτῃ παρακελεύσει κινήσας τὸν ἄνδρα εἰς τὸ Βυζάντιον ἀποστέλλει πληρώσας Πνεύματι, ἵνα ὑπερμαχήσῃ τοῦ Πνεύματος......

117-119 S. Gregorii Theol., Orat. XXXI, PG 36,149a: ... καὶ οἷον ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων, μία τοῦ φωτὸς σύγκρασις...

ᾠδὴ δ'. *Ἀκοὴν ἀκήκοα*

Τῇ φωτοφθόγγῳ γλώττῃ σου
κατέφλεξας λαλῶν
τὰς φρυγανώδεις γλώσσας
130 τῶν αἱρέσεων, σοφέ·
διό σε ἀπαύστως
f. 49ᵛ || θεολόγοις ᾄσμασι
πάντες εὐφημοῦμεν, Γρηγόριε.

Αἱ βολαὶ τῶν λόγων σου
135 εἰς φέγγος ἀστραπῆς
τῶν γνωστικῶν σου ὅπλων
προπορεύονται σφοδρῶς
τὴν γῆν ἀπειλοῦσαι
τῆς βλασφήμου γνώσεως,
140 ἥτις τῇ τριάδι ὠλίγωται.

Οὐρανίων γέγονας
πηγὴ θεωριῶν
ἐκ τῆς σοφῆς καρδίας
τὰ μελίρρυτα ῥεῖθρα
145 ἐκβλύζων ἀπαύστως,
ἱερὲ Γρηγόριε·
ὅθεν καταρδεύεις τὰ πέρατα.

Ἡ λαμπὰς τῶν λόγων σου
τὰς κόρας τῶν ἐχθρῶν
150 πρὸς νοητὴν ἀβλεψίαν
ἀπημαύρωσε, πάτερ,
ἡμῖν δὲ τοῖς πίστει
τὴν τριάδα σέβουσι
φέγγος ἀπαστράπτει ἀθόλωτον.

---

oden δ' Mf diversam ab hac Cg praebet, vide pp. 368-369
heirm. δ' EE 104, n. 147, Andreae; heirm. integrum tradit Mf 131 σοι cd.

155 Τὴν τῶν λόγων μάχαιραν
ἁρπάσας τοῦ ἐχθροῦ,
πνευματικῶς ἐν ταύτῃ,
f. 50 || ὡς θεογλώσσῳ ξίφει,
διέκοψας, πάτερ,
160 τὴν τοῦ ψεύδους ἔνστασιν·
ὅθεν ἐπαξίως τιμῶμέν σε.

Εὐσεβείας γνώμονα
καὶ στήλην ἀρετῶν
καὶ ἀκριβείας τύπον
165 καὶ κανόνα ἱερὸν
τῶν θείων δογμάτων
σὲ Χριστὸς ἀνέδειξε
πᾶσι, θεορρῆμον Γρηγόριε.

θεοτ. Τίς ἰσχύσει, ἄχραντε,
170 ἀξίως ἐξειπεῖν
τὰ μεγαλεῖα πάντα,
ἃ ἐποίησεν ἐν σοί;
καθεῖλε γὰρ πάντας
τοὺς ἐχθρούς σου κύριος
175 σῶαν μετὰ τόκον φυλάξας σε.

ᾠδὴ ε'. *Ὄρθρον φαεινὸν ἡμῖν*

Ὕψος ἀθεώρητον
ἐν τοῖς λόγοις σου
πᾶσιν ἡμῖν
f. 50ᵛ διεσά||φησας, θεόφρον Γρηγόριε,
180 ὡς πάντων διδάσκαλος.

Ζήλῳ ὑπερζέοντα
σέ, θεόσοφε,
ὑπὲρ Χριστοῦ

---

155 Τὴ cd.
heirm. ε' EE 107, n. 150, Andreae; heirm. integer in Mf invenitur
176 Εὐχὰς ἀνεκλαλήτους Mf 182 ἐπαπέστειλεν Mf

πρὸς λαὸν τὸν ἀπειθοῦντα ἀπέστειλεν
185 ὁ πάντων Θεὸς ἡμῶν.

Ἄρειον, Εὐνόμιον
καὶ Σαβέλλιον
τοὺς δυσμενεῖς
τῷ βυθῷ τῶν σῶν δογμάτων κατέκλυσας,
190 θεόφρον Γρηγόριε.

f. 51 || ⟨εἱρμὸς⟩ ἄλλος. *Τὸ φῶς τὸ ἀληθινὸν τὸ φωτίζον*
πάντα ἄνθρωπον
λάμψον εἰς ἡμᾶς
τῇ αἴγλῃ τῶν ἐντολῶν
5 *καὶ ἀπέλασον ἡμῶν*
τὴν νύκτα τῶν παθῶν,
ὅτι ἐκτός σου ἄλλον Θεὸν οὐκ οἴδαμεν.

Τὸ φῶς τὸ ἀληθινὸν ἐν καρδίᾳ
ἀρυσάμενος,
βλύζεις ποταμοὺς
δογμάτων φωτοειδεῖς,
195 ἀποσμήχοντας τὸν νοῦν
τῶν πίστει καθαρᾷ
καὶ ἀδιστάκτῳ γνώμῃ ψυχαῖς ἀντλούντων αὐτό.

Ἀΰλου πυρὸς κεκτημένοι
στῦλον ἔνθεον,
200 πᾶσαν ἀπλανῶς
τὴν ἔρημον τοῦ βίου
δᾳδουχούμενοι ταῖς σαῖς
ἐνθέοις διδαχαῖς
διαπερῶμεν, πάτερ σοφὲ Γρηγόριε.

---

184 πρὸς λαὸν σοφὲ ἐνθέως σε ὅσιε Mf 185 πατέρων ὁ θίασος Mf 188 σὺ καθελὼν Mf 189 τῇ σφενδόνι τῶν δογμάτων κατέλυσας Mf 190 θεόφρον] ὦ πάτερ Mf

heirm. alter EE 104, n. 147, Andreae; heirm. integrum tradit Mf heirm. 4 ἐντολῶν σου EE 191-218 troparia desunt in Cg 197 ἀντλοῦντες Mf

τριαδ. 205 Πατέρα, υἱὸν καὶ τὸ πνεῦμα
προσκυνήσωμεν,
f. 51ᵛ φῶτα καὶ || ζωὰς
καὶ φῶς καὶ θεοποιοῦν
καὶ αὐτόζωον πηγὴν
210 καὶ ἅγιον καὶ ἕν,
οὐσιωδῶς θεότητα καὶ ταυτότητα.

θεοτ. Ξένος τῆς συλλήψεώς σου ὁ τρόπος
καὶ τοῦ τόκου σου·
ἄνευ γὰρ σπορᾶς
215 ἐσκήνωσεν ἐν γαστρὶ
καὶ ἐτέχθη, μὴ τραπείς,
ὁ Λόγος ἐν σοὶ
καινοτομῶν τὰς φύσεις, θεογεννήτρια.

ᾠδὴ ϛʹ. *Ἐν πελάγει τοῦ βίου*
ταῖς πράξεσί μου
κατῆλθον εἰς Ἅιδην·
ὡς ἐκ τοῦ κήτους Ἰωνᾶς οὕτως βοῶ σοι·
5 *ἐκ βυθοῦ κατωτάτου*
ἀνάγαγε δέομαι,
υἱὲ τοῦ Θεοῦ καὶ Λόγε.

Τὴν θεόφθογγον λύραν
220 τῶν θείων ᾠδῶν
τοῖς κρούσμασι τοῖς σοῖς
ἀνακαινίσας, ἐμελῴδησας ἡμῖν
τῶν ἀγγέλων τὸ ᾆσμα,
παμμάκαρ Γρηγόριε,
225 λειτουργὲ τῆς ἁγίας δόξης.

f. 52 || « Ἐξεχύθη ἡ χάρις
· ἐν χείλεσί σου »

---

heirm. ϛʹ EE 106, n. 149, Andreae; integrum heirm. praebet Mf heirm. 4 ὡς ἐκ τοῦ] ἀλλ' ὡς ἐκ EE οὕτω EE βοῶ σοι] ἐβόα Mf 5 κατωτάτου] τῶν κακῶν μου EE 219-245 tropariis caret Cg

---

226-232 Ps. 44,3-4

βοᾷ σοι ὁ Δαβὶδ
« καὶ διὰ τοῦτο ηὐλογήθης τοῦ Θεοῦ
230 εἰς αἰῶνα αἰῶνος »,
ῥομφαίαν σπασάμενος
τοῦ πνεύματος, πάτερ θεολόγε.

Τὸν βυθὸν ἐρευνήσας
τῆς θείας γραφῆς,
235 ἐξεῦρες ἐν αὐτῇ
τὴν ἑνιαίαν καὶ τρισήλιον αὐγήν,
ὡς ἐν βάθει τοῦ κήτους
τῶν θείων δογμάτων σου
μυστικῶς ὑπονηχομένην.

θεοτ. 240 Τῆς τριάδος τὸν ἕνα
τεκοῦσα σαρκί,
ἀπείρανδρε ἁγνή,
οὐκ ἐχωρίσθη τῆς τριάδος ὁ υἱός,
οὐ τετράδος δὲ πάλιν
245 προσθήκη ἐγένετο,
ἀλλ' αὐτὴ ἡ τριὰς ἐμμένει.

εἱρμὸς ἄλλος. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

Ἔφραξας
δυσσεβούντων γλωσσαλγίας,
θεολόγε ἔνδοξε,
f. 52ᵛ 250 τοῖς δόγ||μασί σου τοῖς θείοις
καὶ ἐκήρυξας πᾶσι τοῖς λαοῖς
τῆς ἄνω θεωρίας
τὰ ὑψηλότατα δόγματα.

Κρούων σου
255 τὴν θεόηχον κινύραν

237 κήτει Mf
heirm. alter EE 107, n. 150, Andreae 255 θεόφθογγον Cg

254-260 I Regn. 16,23

μυστικῶς ὑπέψαλλες
τῇ θείᾳ γλώσσῃ σου, πάτερ,
τῆς τριάδος τὰ ᾄσματα, σοφέ,
Δαβὶδ τὸν ὑμνογράφον
260 ἐν τούτοις πᾶσι μιμούμενος.

Εἰσέδυς
τὰ ἐνδότατα τοῦ γνόφου
καὶ τὸ φῶς ἑώρακας,
ὁπόσον ἦν θεωρῆσαι,
265 τῆς ἀρρήτου τριάδος τηλαυγῶς,
τὴν αἴγλην τῶν δογμάτων
αὐτόθεν, πάτερ, δεξάμενος.

Θείων σε
καὶ ἀρρήτων μυστηρίων
270 ἀκριβῆ κηρύττομεν
ἐπόπτην καὶ θεολόγον·
ἐθεώρησας γὰρ πνευματικῶς
τῆς ἄνω θεωρίας
τὴν ὑπερκόσμιον ἔλλαμψιν.

f. 53 τριαδ. || Ἄναρχα,
276 ὁμοούσια δοξάζω
πρόσωπα θεότητος,
πατέρα, υἱὸν καὶ πνεῦμα,
ἃ Θεὸς ὁ τρισάγιός ἐστι,
280 τῇ φύσει ἡνωμένα,
προσώποις δὲ διαιρούμενα.

θεοτ. Μόνην σε
τοῦ Θεοῦ ἡμῶν μητέρα,
θεοτόκε δέσποινα,
285 ἡ κτίσις πᾶσα δοξάζει,
ὅτι μόνη ἐχώρησας Θεὸν
ἀφλέκτως ἐν γαστρί σου,
τῷ θεϊκῷ μὴ φλεχθεῖσα πυρί.

266 τῇ αἴγλῃ cdd.
275-281 τριαδ. aliud in Cg, vide p. 370

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως ὁμολογία*

Στῦλος ἔνθεος τῆς ἐκκλησίας,
πλοῦτος ἄσυλος τῆς εὐσεβείας
ἀνεδείχθης, θεολόγε Γρηγόριε,
ἐν ἀπαθείᾳ φαιδρύνας τὸν βίον σου
5 καὶ τῆς τριάδος τρανώσας τὰ δόγματα,
πάτερ ὅσιε·
Χριστὸν τὸν Θεὸν ἱκέτευε
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ᾠδὴ ζ'. *Τὸν ἐν καμίνῳ τοὺς παῖδας*

f. 53ᵛ ‖ Τῆς ἐκκλησίας τὴν δόξαν
290 ἅπασιν ὑπέδειξας,
καταισχύνας τὴν ἄθεον
Ἀρείου διαίρεσιν,
Σαβελλίου τὴν σύγχυσιν,
Εὐνομίου τὴν πλάνην,
295 Γρηγόριε θεόφρον.

Τῆς ἀχωρίστου τριάδος
ἐδέξω τὴν ἔλλαμψιν
τρανῶς καὶ ἐδογμάτισας
ἐκείνης τὰ ἄρρητα
300 καὶ ὑπέρφωτα δόγματα,
θεόφρον Γρηγόριε
τρισμάκαρ, εἰς αἰῶνας.

Ἐν τῇ τοῦ πνεύματος λύρᾳ
τριάδος μυστήρια

κάθ. post oden γ' in Cg invenitur heirm. *καθ.* MR III,55 7 post ἱκέτευε orat. intermittunt cdd.

heirm. ζ' EE 101, n. 143, Cosmae; heirm. integrum Mt profert 289-309 troparia desiderantur in Cg

305 θεοφθόγγοις διδάγμασι,
Γρηγόριε ἔνδοξε,
κελαδῶν ἐμελῴδησας
τῷ καλάμῳ τῆς γλώττης·
διό σε ἀνυμνοῦμεν.

εἱρμὸς ἄλλος. *Τῇ εἰκόνι τῇ χρυσῇ*

f. 54 310 ‖ Προκαθάρας ἑαυτὸν
τῷ ἐπιστήμονι λόγῳ
καὶ τῷ ἐνθέῳ τῶν ἀρετῶν σου τρόπῳ
καὶ στοιχειώσας τὸν νοῦν τοῖς θείοις,
ἐμυήθης λογικῶς
315 τὰ ἀπόρρητα Χριστοῦ,
ἐχρίσθης ἱεράρχης
καὶ ἀνεδείχθης ποιμήν,
κράτιστε θεολόγε.

Ὡς κρατῆρα νοητὸν
320 τὴν καθαράν σου καρδίαν
κερασαμένη ἡ τοῦ Θεοῦ σοφία,
μετ' εὐφημίας, ἱερομύστα,
τῷ θεόφρονι λαῷ
ὡς τὸν θεῖον ἐραστὴν
325 προτίθεται βοῶσα·
« εἴ τις διψᾷ τὴν ζωήν,
δεῦρο ἀντλείτω δαψιλῶς ».

Τὸ ἀλλόφυλον θράσος
τοῦ ἀλαζόνος Ἀρείου

---

heirm. alter EE 107, n. 150, Andreae 319-327 troparium in sede quinta Cg tradit 323 θεόφρινι Mf 324 ὡς ἐραστὴν αὐτῆς θερμὸν Mf 327 ἀντλήσει Cg 328-354 alia troparia in Cg leguntur, vide p. 373

328-336 S. Gregorii Theol., Vita a Gregorio Presbytero, PG 35,276ᶜ⁻ᵈ: Εὐθὺς οὖν αὐτός, ὥσπερ τις Δαβίδ, παρατάσσεται· καὶ σφενδονᾷ τὰ ἀλλόφυλα δόγματα λόγων στεῤῥότητι καὶ τοῖς πιστοῖς πιστῶς ἐπανάγει τὴν παῤῥησίαν, καθ' ἡμέραν προσλαμβάνων καὶ αἰχμαλωτίζων τῷ Θεῷ τοὺς κακῶς ἐπαναστάντας τῇ ἀληθείᾳ...

326-327 cfr. Jon. 7,37

330 τῇ θεοπλόκῳ σφενδόνῃ τῆς τριάδος
ἐν ἰσαρίθμοις βολαῖς τῶν λόγων
σφενδονήσας λογικῶς,
ὡς Δαβὶδ τὸν Γολιάθ,
f. 54ᵛ || κατέβαλες, τρισμάκαρ,
335 ἀποτεμὼν μυστικῶς
καὶ τὴν τοῦ ψεύδους κεφαλήν.

Τῆς σοφίας ἀνοίξας
τοὺς καταρράκτας τῇ γλώττῃ
καὶ τὰς ἀβύσσους τῶν θείων νοημάτων
340 ἀνακαλύψας τοῖς δόγμασί σου,
καθυπέδειξας ἡμῖν
τὸν ἀπέραντον βυθὸν
τῆς γνώσεως ἐκείνης
τῆς ἀνωτάτω Θεοῦ,
345 πάνσοφε θεολόγε.

Τὰ ἀπόρρητα Χριστοῦ
ὡς ἐπιστήθιος ἔγνως
τῇ ἀγχιστείᾳ τῆς ἀληθοῦς σοφίας·
ἀνακλιθεὶς γὰρ ὡς ἐπὶ στήθους
350 τῇ νοήσει τῶν γραφῶν,
ἀνεμάξω μυστικῶς
τὴν ἄβυσσον ἐκείνην
τῆς ζωοδώρου πηγῆς,
κράτιστε θεολόγε.

τριαδ. 355 Τὸν πατέρα καὶ υἱὸν
καὶ τὸ πανάγιον πνεῦμα
f. 55 θεολογήσας τὰ τρία || ἕνα Θεὸν
ἀδιαιρέτως καὶ ἀσυγχύτως,
ἐξεπαίδευσας ἡμᾶς
360 ὡς μονάδα προσκυνεῖν

---

357 θεολογήσας ἕνα θεὸν τὰ τρία Cg 358 ἀσυγχύτως] ἡνωμένως Cg

---

332-334 I Regn. 17,49-51

τὴν ἄκτιστον οὐσίαν,
τὴν ἐν προσώποις τρισὶ
θεωρουμένην τοῖς πιστοῖς.

θεοτ. Ὁ ἀμήτωρ ἐκ πατρὸς
365 ἐκ σοῦ ἀπάτωρ ἐδείχθη,
παρθενομῆτορ, Θεὸς ἀτρέπτως Λόγος
κατασκηνώσας ἐν τῇ γαστρί σου
οὐκ ἐκ σπέρματος ἀνδρός,
ἀλλ' ἐκ πνεύματος Θεοῦ
370 καὶ εἷς υἱὸς ἐκλάμψας
μονογενὴς τοῦ πατρὸς
καὶ σοῦ τῆς θεοτόκου.

ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Νοῦς ἀρρήτων θεωριῶν,
ἄβυσσος
375 δογμάτων εὐσεβῶν,
λόγου καὶ γνώσεως βυθός,
γῆ κομποῦσα πράξεις ἐνθέους,
κανὼν εὐσεβείας
καὶ σεπτὸς θεολόγος, Γρηγόριε,
f. 55ᵛ 380 || ἐν τῇ ἐκκλησίᾳ Χριστοῦ ἀνηγορεύθης.

Σὺ ἐξήρανας ποταμοὺς
αἱρέσεων
καὶ ῥεῖθρα ἀσεβῶν
καὶ σὺ διέρρηξας πηγὰς
385 καὶ χειμάρρους τῆς ἀληθείας,
σοφὲ θεολόγε,
τῇ ἐνθέῳ σου γλώττῃ· ἀμφότερα
φλὸξ γὰρ καὶ πηγὴ πρόκεισαι τῇ ἐκκλησίᾳ.

---

365 ἐδείχθη] προῆλθεν Cg 366 ἄτρεπτος Cg 370 ἔλαμψας Cg
heirm. η' EE 107, n. 150, Andreae Cg odes η' tantum quattuor strophas, quarum ordo est 1.5.2.3 et θεοτ. dissimile, profert: vide p. 374.
377 κομπῶσα Mf κοσμοῦσα Cg 379 γρηγόριος Cg 386 σοφέ] πιστὲ Cg
388 πηγὴ] πυρὶ Cg

381-385 Ps. 73,15

Σὺ ὁ γρήγορος ὀφθαλμός,
390 ὁ κάλαμος,
ἡ λύρα, ἡ φωνή,
ὁ τῆς σοφίας ἐραστής,
ἡ ἀκόνη τῶν θείων λόγων,
ἡ φλὸξ τῆς ἀθέου
395 βλασφημίας Ἀρείου, Γρηγόριε·
σὺ εἶ ὁ ποιμὴν ὁ καλὸς τῆς ἐκκλησίας.

Σὺ μετέστρεψας εἰς ξηρὰν
τὴν θάλασσαν
τῆς πλάνης νοητῶς
400 καὶ διελεύσονται νοΐ,
ὡς ὁλκάδι, τῷ δόγματί σου
οἱ υἱοὶ τῶν ἀνθρώπων
τῆς γραφῆς τῆς ἁγίας τὸ πέλαγος,
f. 56 ‖ τῶν αἱρετικῶν κλύδωνα μὴ πτοηθέντες.

405 Φλὸξ κατέφλεξεν ἀσεβεῖς·
τὴν δόξαν γὰρ
ἠλλάξαντο Θεοῦ
καὶ προσεκύνησαν γλυπτοῖς
καὶ τῇ κτίσει ἀντὶ τοῦ κτίστου,
410 τὸ πῦρ δὲ τῶν λόγων
τῆς ἁγίας σου γλώττης, Γρηγόριε,
τὴν συναγωγήν τε ἔφλεξε θεομάχων.

Ἡ τοῦ στόματός σου φωνὴ
ἐβρόντησε
415 μυστήρια Θεοῦ
καὶ ἡ τῶν λόγων ἀστραπὴ
τὰς ἀθέους ἔφλεξε γλώσσας·
διό, θεολόγε,
ὑετίζεις ὡς ὕδατα δόγματα
420 καὶ καλλιεργεῖς λογικῶς τὴν ἐκκλησίαν.

397-404 troparium om. Cg 412 ἐν τῇ ἐκκλησίᾳ χριστοῦ ἀνηγορεύθη Mf
413-420 tropario caret Cg

---

396 Joh. 10,11 405-408 Ps. 105,18-20

θεοτ. Παρθενεύεις παναληθῶς·
ἄσπορος
ὁ τόκος σου, ἁγνή,
καὶ ὑπὲρ φύσιν ἡ νηδύς·
425 ἀποτίκτεις, ὦ θεοτόκε,
f. 56v σαρκωθέντα ‖ τὸν Λόγον,
ὃν ἱκέτευε πρὸ τελευτᾶν ἡμᾶς
διὰ μετανοίας τυχεῖν τῆς σωτηρίας.

ᾠδὴ θ΄. *Ὅτι ἐποίησέ μοι*

Ἡ πάνσοφός σου γλῶσσα,
430 ὥσπερ κάλαμος λογική,
τὰ θεῖα μυστικῶς καλλιγραφεῖ
ταῖς καρδίαις ὡς πλαξὶ
τῶν εὐσεβούντων εἰς Θεόν,
πάτερ Γρηγόριε.

435 Τὸ ἱερόν σου στόμα
τῆς σοφίας ὤφθη κρατὴρ
προχέων, ὥσπερ οἶνον, τοῖς πιστοῖς
τὴν θεόπνευστον γραφὴν
καὶ τῆς τριάδος τὴν ὀρθὴν
440 ὁμολογίαν, σοφέ.

Ἡ πυρίφθογγος γλῶσσα,
ἡ τοῦ στόματός σου λαμπὰς
κατηύγασε τὰ πέρατα τῆς γῆς
καὶ κατέφλεξε φωνὰς
445 αἱρετιζόντων εἰς Χριστόν,
πάτερ Γρηγόριε.

Ἡ θεάρμοστος λύρα,
ὁ τῆς ἐκκλησίας αὐλός,

421-428 θεοτ. dissimile in Cg invenies, vide p. 374
heirm. θ΄ EE 106, n. 149, Andreae 429 πάνσεπτος Cg 430 λογικῶς Cg 433 Θεὸν] χριστὸν Cg 441 πυρίπνοος Cg

ἡ εὔηχος κιθάρα τοῦ Χριστοῦ,
450 ἡ θεόφθογγος φωνή,
f. 57 || ὁ θεολόγος συγκαλεῖ
πρὸς εὐωχίαν ἡμᾶς.

θεοτ. Ἀνατολὴ ἐξ ὕψους
ἐπεσκέψατο, ὁ Χριστός,
455 ἐκλάμψας τοῖς ἐν σκότει καὶ σκιᾷ
καὶ κατήλλαξεν ἡμᾶς
δι' εὐσπλαγχνίαν τῷ πατρί,
ἐπιφανεὶς ἐπὶ γῆς.

εἱρμὸς ἄλλος. *Ἐποίησε κράτος*

Καθεῖλε δυνάστας
460 φρυαγμάτων ἀσεβῶν
καὶ ὕψωσε λαὸν ταπεινωθέντα,
ἐνέπλησε δὲ ψυχὰς
διδαγμάτων εὐσεβῶν,
πλουτοῦντας ἀπέστειλε κενούς,
465 τοὺς τῆς Ἀρείου πλάνης,
ὁ ποιμὴν ὁ ἐκλεκτός,
τοῦ Θεοῦ τὸ στόμα.

Νέος ἀνεδείχθης
Ἐλισσαῖος τοῖς πιστοῖς
470 ὡς ὕδατα τὰ δόγματα Ἀρείου,
Γρηγόριε, διελὼν
τῇ τῶν λόγων μηλωτῇ,
ἐξ ὧν τὴν ἀξίνην ἀνελὼν
τῷ θεογλώσσῳ ξύλῳ,
f. 57ᵛ 475 || ἐνεδείξω τὴν διπλῆν
τῆς σοφίας χάριν.

---

450 θεόφθεκτος Cg 453-458 θεοτ. aliud in Cg, vide p. 375
heirm. alter EE 106, n. 149, Andreae 459-522 tropariis caret Cg

---

453-455 Luc. 1,78-79 459-464 Luc. 1,52-53 468-472 IV Regn. 2,14 473-474 IV Regn. 6,6

Ἐξήγειρε κέρας
σωτηρίας τοῖς λαοῖς
ἡ ἄκτιστος τριὰς τὸν θεολόγον,
480 ὡς πάλαι τῷ Ἰσραὴλ
Ἰησοῦν τὸν τοῦ Ναυΐ,
λαβοῦσα συνήγορον θερμὸν
καὶ ἱερὸν ὁπλίτην
καὶ κρατήσασα τὴν γῆν
485 τῆς ἐπαγγελίας.

Ἐξάρξατε πᾶσαι
ἐκκλησίαι μετ' ᾠδῆς·
ἐνίκησε Χριστὸς ἐν μυριάσι
καὶ πέπτωκε χιλιὰς
490 χιλιάδων δυσσεβῶν,
ἐξ ὧν ἐλυτρώσατο ἡμᾶς
ἡ θεολόγος γλῶσσα
τοῦ ποιμένος τοῦ καλοῦ
παραταξαμένη.

495 Ποιμένα ποιμένων
καὶ διδάσκαλον ἡμῶν
καὶ γνήσιον πατέρα σε πατέρων
ἀνέδειξε τοῖς πιστοῖς
ἡ τοῦ πνεύματος χάρις,
500 ὡς ἄλλον Δαβὶδ καὶ Σαμουὴλ
καὶ Δανιὴλ καὶ νέον
ἀληθῶς Βεσελεήλ,
θεορρῆμον πάτερ.

f. 58 τριαδ. || Λατρεύσατε πάντες
505 τῇ τριάδι καὶ Θεὸν
ἀμέριστον αὐτὴν θεολογοῦντες,
ὁμότιμον, συμφυῆ,
ὡς ἐδίδαξεν ἡμᾶς
ὁ θεῖος Γρηγόριος βοῶν·

477-478 II, Regn. 22,3; Ps. 17,3 477-481 Jos. I,1-9; Deut. 31,7-8; Num. 27,18-23 502 Ex. 31,2-3; 35,30-31; 36,1-2

510 « ἕνα Θεὸν πατέρα
καὶ Θεὸν τὸν υἱὸν
καὶ Θεὸν τὸ πνεῦμα ».

θεοτ. Ἐχώρησας Λόγον
τὸν ἀχώρητον παντὶ
515 καὶ ἔτεκες ἐν χρόνῳ τὸν ἀχρόνως
ἐκλάμψαντα ἐκ πατρός,
ἀρχὴν γνόντα χρονικὴν
ἐκ σοῦ κατὰ σάρκα ἀψευδῶς,
θεόνυμφε Μαρία,
520 μὴ φθαρέντα τῆς ἁγνῆς
παρθενίας κλεῖθρα.

510-512 S. Gregorii Theol., Orat. XXXI, PG 36, 164.: Ἔχω μὲν οὕτω περὶ τούτων, καὶ ἔχοιμι, καὶ ὅστις ἐμοὶ φίλος, σέβειν Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱόν, Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον, τρεῖς ἰδιότητας, θεότητα μίαν, δόξῃ καὶ τιμῇ καὶ οὐσίᾳ καὶ βασιλείᾳ μὴ μεριζομένην . . .

IN SANCTUM GREGORIUM NAZIANZENUM

Crypt. Δ.α. XV = Cg, ff. 192-199
Mess. gr. 136 = Mf, ff. 47v-58

Ὁ κανών· Ἀνδρέου.

Ἦχος δ'.

ᾠδὴ α'. *Ὁ πατάξας Αἴγυπτον*

1-7 Θεολόγοις ᾄσμασι
.... = Mf 1-7

8-14 Ἀκλινὴς θεμέλιος
.... = Mf 8-14

15-21 Στῦλος καὶ ἑδραίωμα
.... = Mf 15-21

f. 192v 22-28 ‖ Ὡς τῶν δικαίων σύσκηνος
.... = Mf 22-28

29-35 Ὡς κιβωτὸν διέσωσας
.... = Mf 29-35

τριαδ. 36-42 Χερουβικῶς δοξάζομεν
.... = Mf 50-56

θεοτ. 43-49 Ἐν κοιλίᾳ ἄσπορον
.... = Mf 57-63

tit. Ἕτερος κανὼν et in margine ἀνδρέου Cg; in Cg (ff. 192-198v) hic canon Andreae cum canone Theophanis, cuius principium est Τὸν θεολόγον τὸν δεύτερον MR III, 364, alternatis odis nectitur
heirm. α' EE 106, n. 150, Andreae 36 δοξάσωμεν Mf 43 Ἐν κοιλίᾳ] Ἐκύησας Mf

ᾠδὴ β΄. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι Θεός,
ὁ θανατῶν καὶ ζωογονῶν,

50 Ἴδετε, ἴδετε,
ὅτι ἐγώ εἰμι Θεός,
ὁ παρασχὼν γόνιμον καρπὸν
ἐπαγγελίας τὸν μέγαν
Γρηγόριον τῷ κόσμῳ,
55 ἀνατεθέντα μοι ἤδη πρὸ τόκου,
ὡς τὸν πάλαι Σαμουὴλ ἀπὸ γαστρός.

Ἔρεισμα πίστεως
καὶ θείας γνώσεως κρηπὶς
καὶ ἀκλινὴς ἕδρα τῶν πιστῶν
60 ὁ θεολόγος ὑπάρχων,
εἰς μίαν ἁρμονίαν
ἐπισυνάπτει τῇ γλώττῃ τὴν κτίσιν
ἐν τριάδι προσκυνεῖν ἕνα Θεόν.

Πίστιν μιμούμενος
65 τοῦ πατριάρχου Ἀβραάμ,
μονογενῆ βίον τῷ Θεῷ
ὁλοκαρπώσας ἐνθέως,
λατρείαις, θεολόγε,
ἱερωτέραν εἰργάσω θυσίαν
70 σεαυτὸν καθιερώσας τῷ Θεῷ.

---

heirm. β΄ EE 105, n. 148, Andreae

54-56 S. Gregorii Theol., Vita a Gregorio Presbytero, PG 35,248[b]: ... Ἡ δὲ μήτηρ ... παιδὸς ἄρρενος ὀρεγομένη, ἱκεσίαν προσάγει τῷ δοτῆρι τῶν τηλικούτων Θεῷ τυχεῖν τῆς ἐφέσεως... πρὸ συλλήψεως ὑποσχομένη αὐτῷ τὸν ἐσόμενον προσοίσειν, καθάπερ Ἄννα τὸν Σαμουὴλ ... Ἡ δὲ τὸν τεχθέντα μετ᾽ οὐ πολὺ τῷ Θεῷ καθιέρωσε προθυμίᾳ πίστεως... cfr. S. Gregorii Theol., Orat. XVIII, PG 35,997[a] et Carmen ΞΗ΄, PG 38,46

55-56 I Regn. 1,11 64-67 Gen. 22,1-12

Πέτρας διέρρηξας
πίστεως ῥάβδῳ λογικὰς
πνευματικῶς, ὅσιε ποιμήν,
τὰς ἐν ἐρήμῳ διψώσας
75 καρδίας τῶν ἀνθρώπων,
f. 193 ὡς ἐν ἀνύδρῳ τῇ πλάνῃ ‖ αὐχμώσας,
παλινζώους ἀναδείξας ποταμούς.

Νέος Μωσῆς ἡμῖν
ἀνηγορεύθης ἐκ Θεοῦ,
80 δημαγωγὲ πάντων τῶν πιστῶν,
ὁ τοὺς διψῶντας τῷ λόγῳ
ποτίσας, ὡς ἐκ πέτρας,
τῆς ἀπλανοῦς τῶν δογμάτων σοφίας
μυστικῶς ἀναστομώσας τὴν γραφήν.

τριαδ. 85 Μίαν θεότητα
ἐν ὑποστάσεσι τρισὶ
θεολογῶν, ὅσιε ποιμήν,
τὴν ἱερὰν ἐκκλησίαν
ἐδίδαξας πιστεύειν,
90 ὁμοουσίοις προσώποις τὴν μίαν
ὑπεράρχιον ἐκθέμενος ἀρχήν.

θεοτ. Χαῖρε, θεόνυμφε,
δόξα τῆς ῥίζης Ἰεσσαί,
ἡ μυστικὴ ῥάβδος τοῦ Θεοῦ,
95 ἐξ ἧς τὸ ἄνθος, ὁ Λόγος,
ἐβλάστησε τῷ κόσμῳ
τῇ καθ᾽ ἡμᾶς ἀνθρωπίνῃ οὐσίᾳ
ἑνωθεὶς ὑπερφυῶς, δίχα τροπῆς.

ᾠδὴ γ΄. *Ἐστερεώθη*
ἡ καρδία μου ἐν κυρίῳ

99-105 Τῶν οὐρανίων
.... = Mf 64-70

---

heirm. γ΄ EE 105, n. 148, Andreae

71-75 Ps. 77, 15 78-82 Ex. 17,5-6 92-96 Is. 11,1

f. 193ᵛ 106-112 ‖ Ὡς γραμματέως

.... = Mf 71-77

113-119 Τὰς στειρωθείσας

.... = Mf 78-84

120-126 Τῶν ἀποκρύφων

.... = Mf 85-91

127-133 Ὁ προσπαλαίσας

.... = Mf 92-98

134-140 Τὰς ἀναβάσεις

.... = Mf 99-105

τριαδ. 141-147 Τὴν ἐν τριάδι

.... = Mf 113-119

θεοτ. 148-154 Ὁ ἐν γαστρί σου

.... = Mf 120-126

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως ὁμολογία*

Στῦλος ἔνθεος τῆς ἐκκλησίας

.... = Mf

f. 194 ‖ ⟨Ὅμοιον.⟩

Θείαν ἔλλαμψιν κεκληρωμένος

....

Ἄλλο.

Ἦχος πλ. α'. *Τὸν συνάναρχον Λόγον πατρὶ καὶ πνεύματι*

Γρηγορῶν σὺ τῷ λόγῳ τῆς ἀληθείας

....

---

127 Ὁ προσπελάσας Mf

κάθ. Στῦλος ἔνθεος ... in Mf post oden ϛ' invenitur, vide p. 354 κάθ. Θείαν ἔλλαμψιν... MR III, 362 κάθ. Γρηγορῶν σὺ τῷ λόγῳ... cfr. Γρηγορήσας τῷ λόγῳ... MR III, 362

Ἕτερον.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου ἐν σοὶ γαστρὶ*

* Τῇ δυνάμει τῶν λόγων τῶν θεϊκῶν
καθελὼν τὰς αἱρέσεις τὰς ζοφεράς,
πάντα τὰ φρονήματα
τοῦ Ἀρείου ἐβύθισας·
5 τοῖς γὰρ βροτοῖς τὸ πνεῦμα
Θεὸν ἀνεκήρυξας
καὶ τῶν χειρῶν ἐκτάσει
Εὐνόμιον ἔρρηξας,
πᾶσαν ἐκδιώξας
10 Σαβελλίου λατρείαν
καὶ πάντα τὰ δόγματα
Νεστορίου κατέβαλες,
θεολόγε Γρηγόριε·
πρέσβευε Χριστῷ τῷ Θεῷ
15 τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου.

⟨Ὅμοιον.⟩

Ἀρεταῖς διαλάμψας πνευματικαῖς,
ἀποστόλων ὁμόφρων ταῖς διδαχαῖς
γέγονας, πανόλβιε
ἱεράρχα, πατὴρ ἡμῶν,
5 καὶ ἐκ θείας ψήφου
τὸν θρόνον ἀπείληφας
ἐγκρατείᾳ εὐτόνως
ἐκθρέψας τὸ σῶμά σου·
ὅθεν καὶ τὴν πίστιν
10 ἐν ἀληθείᾳ τρανώσας,

κάθ. Τῇ δυνάμει τῶν λόγων τῶν θεϊκῶν MR III, 11, sed in sanctum Basilium dicatum 2 τῆς αἰγύπτου καθεῖλες τὴν ζοφερὰν cd. 3 φρονήματα] φρυάγματα MR 8 ἐχθροὺς ἐθανάτωσας MR 11 τὰ δόγματα] φρονήματα MR 12 κατέβαλες] κατήργησας MR 13 Ἱεράρχα Βασίλειε MR 14-17 post πρέσβευε cetera om. cd.

ταύτην ἀπερίτρεπτον
μέχρι τέλους ἐφύλαξας,
θεολόγε Γρηγόριε·
πρέσβευε Χριστῷ τῷ Θεῷ
15 τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου.

⟨Ὅμοιον.⟩

Πτερωθεὶς ἐν τῇ πίστει τῇ εἰς Χριστόν,
ἁρπαγεὶς ἐν νεφέλαις ταῖς προσευχαῖς
ὅλος, πάτερ, γέγονας
ἐπουράνιος ἄνθρωπος
5 καὶ ὀρθοδόξοις δόγμασι
φαιδρύνας τὰ πέρατα,
ἐκ τῶν ψυχῶν ἀπήλασας
τῆς πλάνης τὴν ζόφωσιν·
ὅθεν καὶ θαυμάτων
10 ἀπαστράπτων τῷ κόσμῳ,
f. 194ᵛ διώκεις τοὺς ‖ δαίμονας
καὶ ἰᾶσαι τὰς νόσους ἡμῶν,
ἱεράρχα Γρηγόριε·
πρέσβευε Χριστῷ τῷ Θεῷ
15 τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην,
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην·
5 *δόξα τῇ δυνάμει σου, κύριε.*

155 Ἐν τῇ μνήμῃ σου, ὅσιε
ἱεροκῆρυξ, πᾶσα ἡ κτίσις

14 post πρέσβευε laudem intermittit cd. κάθ. Πτερωθείς..., v. 14, post πρέσβευε invocatio detruncatur
heirm. δ' EE 107, n. 150, Andreae heirm. 5 δόξα, Κύριε, τῇ δυνάμει σου EE

μυστικῶς πανηγυρίζουσα,
ἑορτάζει
πίστει καὶ δοξάζει τὸν μόνον Θεόν.

160 Γραμματέων σε κάλαμον,
ἀλλ' ὀξυγράφον, ἱεροφάντορ,
ὡς τρανῶς περιγραψάμενον
τῆς τριάδος,
πάτερ, τὰ μυστήρια, σέβομεν.

f. 195 165 ‖ Ἀνυμνοῦμεν τὴν μνήμην σου
καὶ τὴν ταφήν σου πάντες τιμῶμεν,
τὴν σορὸν δὲ τῶν λειψάνων σου,
θεολόγε,
πίστει προσκυνοῦντες, γεραίρομεν.

170 Πρὸς τὸ ὄρος ἀνέδραμες
τῶν ἀρετῶν σου, πάτερ θεόφρον,
καὶ αὐτόθεν τὴν θεόγραφον
ἐκομίσω
δέλτον, θεολόγε Γρηγόριε.

θεοτ. 175 Ἐκ τῆς παρθένου γεγέννηται
ὁ τὴν παρθένον δημιουργήσας
καὶ παρθένον τὴν πανάχραντον
μετὰ τόκον
πάλιν διετήρησεν ἄφθορον.

ᾠδὴ ε'. *Ὄρθρον φαεινὸν ἡμῖν*

180-184 Ὕψος ἀθεώρητον
.... = Mf 176-180

f. 195ᵛ 185-189 ‖ Ζήλῳ ὑπερζέοντα
.... = Mf 181-185

162 περιγραψάμενος 164 σέβωμεν 175 ante θεοτ. signum τριαδ. librarius delineavit, sed spatium vacuum reliquit
heirm. ε' EE 107, n. 150, Andreae 180 Εὐχὰς ἀνεκλαλήτους Mf

160-161 Ps. 44,2

190-194 Ἄρειον, Εὐνόμιον

.... = Mf 186-190

195 Πίστει ἀνυμνοῦμέν σου
καὶ τὸν θάνατον
καὶ τὴν ταφὴν
καὶ τὴν μνήμην καὶ τὰ λείψανα σέβομεν,
θεόφρον Γρηγόριε.

θεοτ. 200 Τὸν κάτω ἀπάτορα
καὶ ἀμήτορα
ἐν οὐρανοῖς
σαρκωθέντα ἡμῖν τέτοκας, δέσποινα,
Χριστὸν τὸν Θεὸν ἡμῶν.

f. 196 ᾠδὴ ϛ'. *Ζάλη με λογισμῶν καταλαβοῦσα*

205-211 Ἔφραξας

.... = Mf 247-253

212-218 Κρούων σου.

.... = Mf 254-260

219-225 Εἰσέδυς

.... = Mf 261-267

226-232 Θείων σε

.... = Mf 268-274

τριαδ. Ἄναρχον
προσκυνήσωμεν τριάδα
235 ἐν μιᾷ θεότητι·
ἀγέννητον τὸν πατέρα,
γεννητὸν τὸν υἱὸν ἐκ τοῦ πατρὸς
καὶ τὸ ἅγιον πνεῦμα
ἐκπορευτόν, ὁμοούσιον.

θεοτ. 240-246 Μόνην σε

.... = Mf 282-288

---

200 rursus, signo τριαδικοῦ informato, textum amanuensis, spatio vacuo relicto, scribere neglexit: cfr. v. 175 200-204 θεοτ. cfr. p. 171, ubi in v. 203 pro δέσποινα leges πάναγνε heirm. ϛ' ΕΕ 107, n. 150, Andreae

Κοντάκιον.

Ἦχος α'. *Τὰ θεόβρυτα*

Τὰ σοφώτατα
τῆς φλογερᾶς σου γλώττης ἔπη
....

f. 196v ⟨Ὁ οἶκος.⟩ *Τέρπεται σήμερον*

Ἅπασα γλῶσσά σε
σήμερον ἐγκωμιάζει
....

Ἄλλο.

Ἦχος β'. *Τῷ Θεῷ ἀπὸ μήτρας ἐκλελεγμένος*

Γρηγορῶν θεωρίαις τῶν ἀνωτάτω
καὶ σοφῶς ἐκκαλύπτων τῇ ἐκκλησίᾳ,
τὴν τῆς τριάδος θεότητα ἄτμητον,
πατρός, υἱοῦ τε καὶ πνεύματος δύναμιν,
5 θεολόγε, ἐκήρυξας·
Χριστὸν ὑπὲρ ἡμῶν ἀπαύστως δυσώπησον.

Ἕτερον.

Ἦχος β'. *Τοὺς ἀσφαλεῖς*

Φωτοβολῶν
τῇ μελιρρύτῳ γλώττῃ σου
....

⟨Ὁ οἶκος.⟩ *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

Σὲ τίς ἀξίως ὑμνήσει, πάτερ,
....

κοντάκ. Τὰ σοφώτατα et οἶκ. Ἅπασα... PAS I,351 heirm. κονταχ. PAS I,305 κοντάκ. Φωτοβολῶν et οἶκ. Σὲ τίς ἀξίως... PAS I,668

f. 197 ‖ Ἄλλο.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Ὡς Ἰωάννου μιμητὴς
ἀψευδέστατος
τοῦ θεολόγου γνωρισθείς, ὦ Γρηγόριε,
θεολογίας δόγμασι φωτίζεις ἡμᾶς
5 μίαν τὴν θεότητα
ἐν τρισὶ τοῖς προσώποις
ἄτμητον, ἀσύγχυτον
προσκυνεῖν καὶ δοξάζειν,
ὡς ἐν ἡλίοις, ἅγιε, τρισὶν
10 ἓν τῆς τριάδος
τὸ φῶς τὸ ἀπρόσιτον.

Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

Τοῦ Ζεβεδαίου τὸν υἱόν,
⟨— — — ⁄— — ⁄— —⟩
τὸν μέγαν θεολόγον,
τὸν φίλον τοῦ κυρίου
5 καὶ ἐπιστήθιον αὐτοῦ,
τοῦτον ἐμιμήσω
θεολόγοις διδαχαῖς,
ἀοίδιμε Γρηγόριε·
μόνος γὰρ μετ' ἐκείνου ἠξίωσαι·
10 πάσῃ τῇ οἰκουμένῃ
θεολόγος εὐφημίσθης
ὡς ὅμοιος ἐν θεολογίᾳ·
διὸ οἱ ὑπὸ σοῦ
πιστοὶ φωτισθέντες,
15 προσκυνοῦμεν εὐσεβῶς
φῶς τὸν πατέρα,

---

heirm. κοντακ. HR 29
heirm. οἴκ. MR III,150 2 versus desideratur

φῶς καὶ τὸν υἱὸν
καὶ φῶς τὸ ἅγιον πνεῦμα·
ἓν τῆς τριάδος
20 τὸ φῶς τὸ ἀπρόσιτον.

f. 197ᵛ ‖ ᾠδὴ ζ'. *Τῇ εἰκόνι τῇ χρυσῇ*

247-255 Προκαθάρας ἑαυτὸν
.... = Mf 310-318

Διεχεῖτο σοῦ ἡ φλὸξ
ἐπάνω πλάνης καμίνου
τῶν ἀσεβούντων κατὰ τῆς θείας δόξης
καὶ κατ' ὀλίγον διερχομένη
260 διοδεύει μυστικῶς,
ἐμπυρίζει λογισμοὺς
ἀθέων προβλημάτων,
οὓς ἂν εὑρίσκῃ, εὐθὺς
τῆς ἀσεβοῦς καμίνου.

265 Τῶν ἀρρήτων ῥημάτων
ἀκροατὴς ἀνεδείχθης,
ἱεροφάντορ καὶ μύστα τῆς τριάδος,
ὡς ἐπὶ τρίτον ἐλάσας ὕψος
οὐρανίων ἀρετῶν
270 καὶ τὸν ἄδυτον βυθὸν
τῆς γνώσεως ἐκείνης,
τῆς ἀνωτάτω Θεοῦ,
πάνσοφε θεολόγε.

Ἡ τῶν λόγων σου βροντή,
275 ὡς ἐξ Ἐδὲμ τῆς καρδίας
ἀναγομένη, Χριστοῦ τὴν ἐκκλησίαν
ταῖς ἀενάοις θεηγορίαις

---

heirm. ζ' EE 107, n. 150, Andreae 256 Διηχήτω cd.

256-263 Dan 3,47-48 274-282 Gen. 2,10

καταρδεύει λογικῶς
καὶ ποτίζει δαψιλῶς
280 τὸ πρόσωπον ἐκείνης,
μεριζομένη παντὶ
εἰς ζωοδώρους ποταμούς.

283-291 Ὡς κρατῆρα νοητὸν
.... = Mf 319-327

292-300 Τὸν πατέρα καὶ υἱὸν
.... = Mf 355-363

οτ. 301-309 || Ὁ ἀμήτωρ ἐκ πατρὸς
.... = Mf 364-372

ᾠδὴ η΄. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

310-317 Νοῦς ἀρρήτων θεωριῶν,
.... = Mf 373-380

318-325 Φλὸξ κατέφλεξεν ἀσεβεῖς
.... = Mf 405-412

326-333 Σὺ ἐξήρανας ποταμοὺς
.... = Mf 381-388

334-341 || Σὺ ὁ γρήγορος ὀφθαλμὸς
.... = Mf 389-396

Εἷς ὑπάρχεις μονογενής·
ἄνω εἷς
καὶ κάτω ὁ αὐτός·
345 ἀμήτωρ ἄνω ἐκ πατρὸς

---

heirm. η΄ EE 107, n. 150, Andreae 342 ante θεοτ. signum τριαδ. idem atque apud vv. 175. 200 342-349 θεοτ. cfr. p. 143

καὶ ἀπάτωρ ἐκ μητρὸς κάτω,
ἐν ᾗ ἐμορφώθης
τὸ ἀλλότριον, Λόγε, πτωχεύσας μοι
τὴν ταπεινωθεῖσαν φύσιν ἀναμαρτήτως.

f. 199 || ᾠδὴ θ΄. *Ὅτι ἐποίησέ μοι*

350-355 Ἡ πάνσεπτός σου γλῶσσα
.... = Mf 429-434

356-361 Τὸ ἱερόν σου στόμα
.... = Mf 435-440

362-367 Ἡ πυρίπνοος γλῶσσα
.... = Mf 441-446

368-373 Ἡ θεάρμοστος λύρα,
.... = Mf 447-452

θεοτ. Ἐν σοὶ κατασκηνώσας
375 ὁ ἐν κόλποις ὢν τοῦ πατρός,
ἐτέχθη ἄνευ πάθους καὶ φθορᾶς
καὶ κατήλλαξεν ἡμᾶς
δι' εὐσπλαγχνίαν τῷ πατρί,
θεογεννῆτορ ἁγνή.

---

heirm. θ΄ EE 106, n. 149, Andreae 350 πάνσοφος Mf 362 πυρίφθογγος Mf 374 ante θεοτ. signum τριαδ. invenies (cfr. vv. 175.200.342)

IN SS. CLAUDIUM ASTERIUM NEONEM ET NEONILLAM

Synaxarium, 427-428: . . . ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Κλαυδίου, Ἀστερίου, Νέωνος, τῶν αὐταδέλφων, καὶ Νεονίλλης. Οὗτοι οἱ ἅγιοι χώρας τῶν Ἰσαύρων πόλεως Λαρανδῶν ὥρμηνται ἐν ταῖς ἡμέραις Διοκλητιανοῦ γνωριζόμενοι. Διαβληθέντες δὲ ὑπὸ τῆς αὐτῶν μητρυιᾶς, παρίστανται τῷ τῆς χώρας ἄρχοντι· καὶ ἐρωτηθέντες, ὁ μὲν Κλαύδιος ῥάβδοις τὸν νῶτον ξαίνεται, τὰς χεῖρας ὄπισθεν δεσμευθεὶς πρὸς ὕψος ἀναρτᾶται, πυρὶ τοὺς πόδας καὶ τὰ στέρνα καταφλέγεται..... παπύροις ἐλαίῳ ἀρδευθεῖσι καὶ ἀναφθεῖσι κατακαίεται..... Ὁ δὲ Ἀστέριος..... ἐξ ἄκρων τῶν ὤμων δεσμεῖται καὶ ἐπὶ ξύλου ἀναρτηθεὶς ξέεται σφοδρῶς τὰς πλευράς,..... ἐξ ἄκρων ποδῶν ἀναρτᾶται, ἄνθραξι πυρὸς τοὺς πόδας κατακαίεται..... Ὁ δὲ Νέων ἐπ' ἀνθράκων πυρὸς ῥίπτεται..... τῇ δὲ ἑξῆς δεσμεῖται χεῖρας καὶ πόδας ὁ ἅγιος Κλαύδιος καὶ ἀναρτᾶται τῆς ἄντυγος καὶ δεινῶς χεῖρας καὶ πόδας ἐξαρθρωθεὶς τῇ εἱρκτῇ βάλλεται. Καὶ ὁ ἅγιος Ἀστέριος ὁμοίως ἐξαρθρωθεὶς καὶ πεπυρωμένοις ὀβελίσκοις τοὺς μηροὺς κατακαεὶς τῇ εἱρκτῇ ἐναπορρίπτεται. Ὁ δὲ ἅγιος Νέων νεύροις ὠμοῖς κατακοπεὶς τὴν ἀπόφασιν σὺν τοῖς συνάθλοις δέχεται. Οἱ ἔξω τειχῶν ἐνεχθέντες καὶ τὴν εὐχὴν πληρώσαντες, διὰ τῆς τομῆς καὶ τοῦ ξίφους πρὸς τὰ ποθούμενα βραβεῖα μετέστησαν. Προσαχθεῖσα δὲ καὶ ἡ γενναία Νεονίλλα..... καὶ ἐρωτηθεῖσα καὶ τὸν Χριστὸν ὁμολογήσασα, ῥαπίσμασι τὰς σιαγόνας τύπτεται....... καὶ τείνεται καὶ ξέεται σφοδρῶς, τὰ πέλματα τῶν ποδῶν ἐκκόπτεται, ἐξ ἄκρων τριχῶν δεσμεῖται καὶ ξύλῳ ἀναρτᾶται,... πυρὸς ἐπ' ἐδάφους ὑποστρωθέντος τὰ σπλάγχνα καὶ τὴν κοιλίαν καταφλέγεται.....

Crypt. Δ.α. XV	= Cg,	ff. 200-202
Crypt. Δ.α. V	= Ch,	ff. 136-138
Vat. gr. 2008	= Vm,	ff. 27-28
Crypt. Δ.α. XX	= Cx,	ff. 85v-88v
Barb. gr. 460	= Bd,	ff. 10v-12

Ὁ κανὼν φέρων ἀκροστιχίδα· Τετρακτὺν
ὑμνῶ μαρτύρων στεφηφόρων· Ἰωσήφ.

Ἦχος πλ. δ'.
ᾠδὴ α'. *Ἡ κεκομμένη τὴν ἄτομον ἔτεμε*

Τῷ ἀπροσίτῳ φωτὶ παριστάμενοι
καὶ ταῖς ἐκεῖθεν αὐγαῖς

---

tit. Ὁ κανὼν εἰς τὸν ὄρθρον φέρων ἀκροστιχίδα ... Ch
heirm. α' ΕΕ 220, n. 316, Joannis

πίστει φωτιζόμενοι,
τοὺς πόθῳ ἐπὶ γῆς
5 τὴν φωτοφόρον, ἅγιοι,
τελοῦντας ἑορτὴν ὑμῶν πιστῶς
φωτίσατε κραυγάζοντας·
« τῷ κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται ».

10 Ἐν τῷ τῆς πλάνης καιρῷ διελάμψατε
ὥσπερ ἀστέρες ἐν γῇ
ἀπλανεῖς, μακάριοι,
καὶ πίστεως αὐγαῖς,
ἀγώνων τε λαμπρότησι
15 τὸ σκότος τῆς ἀπάτης τὸ βαθὺ
ἠλάσατε κραυγάζοντες·
« τῷ κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται ».

Τὰ δι' αἰῶνος ποθοῦντες καὶ μένοντα,
20 τὴν τῶν ῥεόντων φορὰν
πᾶσαν ἀπεκρούσασθε
καὶ χαίροντες ὁμοῦ
ὑπήλθετε τὸ στάδιον
τῆς θείας μαρτυρίας ἀθληταὶ
25 καὶ νικηταὶ γενόμενοι,
τῷ κυρίῳ κράζετε·
« ἐνδόξως γὰρ δεδόξασται ».

Ῥώμῃ τῇ θείᾳ σαφῶς δυναμούμενοι,
ἀδελφικῇ τε στοργῇ
30 κάλλιστα συνδούμενοι,
Ἀστέριος ὁμοῦ
καὶ Κλαύδιος σὺν Νέωνι,
ἰσχὺν τοῦ πολεμήτορος ἐχθροῦ

---

7 κραυγάζοντες Cx 8-9 post κυρίῳ varie laudem excidunt Cg Ch Cx Bd 14 λαμπρότητι Cx Bd 17-19 varie laudem detruncant Cg Ch Vm Bd 20 φορὰν] φθορὰν Cx Bd 25 καὶ γέρας κομισάμενοι Cx 26 κράζετε] ψάλλετε Vm Cx Bd ψάλλοντες Ch post κράζετε orat. varie recidunt cdd. ante versus 28.61.83.105.133.159.187.230 signum τριαδικοῦ librarius delineavit in Bd

κατέβαλον κραυγάζοντες·
35 «τῷ κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται».

θεοτ. Ἀνερμηνεύτως τὸν Λόγον ἐχώρησας
ὁμοιωθέντα ἡμῖν
ἄκρᾳ ἀγαθότητι
40 καὶ τοῦτον ἐν δυσὶν
ἐκύησας θελήσεσι,
μιᾷ δὲ ὑποστάσει ἀληθῶς·
διό σε θεομήτορα
ἄχραντον, ἀμώμητον,
45 παρθένε, καταγγέλλομεν.

ᾠδὴ γʹ. *Σὺ εἶ τὸ στερέωμα*

Κλαύδιος ὁ ἔνδοξος
τῷ πρὸς Θεὸν σεπτῷ ἔρωτι
ἀναφλεχθείς,
καταφλεγομένου
50 κατεφρόνησε σώματος.

Τείνας ἐκ τεσσάρων σε
ἀνιλεῶς, σοφέ, τύραννος
ὁ δυσσεβής,
Κλαύδιε, βασάνοις
55 ἀνηκέστοις ἐκδίδωσιν.

Ὕψος πρὸς οὐράνιον
τὸν λογισμὸν τὸν σὸν ἔχοντα,
οἱ δυσμενεῖς
ξύλῳ ἀνυψοῦσιν,
60 ἀθλοφόρε Ἀστέριε.

---

35 post ᾄσωμεν varie laudem detruncant Cg Ch Vm Bd
heirm. γʹ EE 224, n. 321, Joannis 51-55 troparium in margine inferiore eadem manus scripsit in Cx 60 ἀστέριε σὺν νέωνι Cg

f. 200ᵛ ‖ Νέων ὁ πολύαθλος
νεανικῶς πυρὸς ἔφερεν
ὀδυνηρὰν
βάσανον, τῇ θείᾳ
65 δροσιζόμενος χάριτι.

θεοτ. Ὕμνον χαριστήριον
προσεποφείλει σοι, ἄχραντε,
γένος βροτῶν,
τὴν ἀθανασίαν
70 διὰ σοῦ κληρωσάμενον.

Κάθισμα.

Ἦχος δʹ. *Ταχὺ προκατάλαβε*

Πυρὶ ἀναπτόμενοι
τῆς τοῦ κυρίου στοργῆς,
οὐ πῦρ τὸ ὁμόδουλον,
οὐ τῶν θηρῶν τὰς ὁρμὰς
5 ὑμεῖς ἐπτοήθητε,
χαίροντες δὲ τοῖς πόνοις
ὁμιλεῖτε ὁρῶντες
ὄμμασι τῆς καρδίας
τὰς ἐκεῖ ἀντιδόσεις,
10 πανεύφημοι Χριστοῦ ἀθληταί,
σκεύη τοῦ πνεύματος.

ᾠδὴ δʹ. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Μερισμὸν οὐχ ὑπέστητε
φύσεως· τῷ φίλτρῳ καὶ γὰρ συνδούμενοι,

---

65 διὰ σοῦ κληρωσάμενον Cg
κάθ. in Cx deest; ipsum κάθ. in Ch post oden ϛʹ et in Vm ante canonem invenitur heirm. καθ. HR 63 4 οὐ] ἢ Vm
heirm. δʹ EE 225, n. 322, Cosmae

μίαν γνώμην ἐπεδείξατε
καὶ ἐπάθλων ἴσων ἠξιώθητε.

75 Νεκρωθέντες ταῖς μάστιξι
καὶ ταῖς ἀφορήτοις δεινῶν κολάσεσι,
πρὸς ζωὴν διεβιβάσθητε
μὴ παρερχομένην, μεγαλώνυμοι.

Ὡς κατάκαρπα κλήματα
80 βότρυν μαρτυρίας ἐγεωργήσατε
οἶνον ἔνθεον πηγάζοντα
καὶ πιστῶν καρδίας κατευφραίνοντα.

Μεληδὸν συγκοπτόμενοι,
πᾶσαν διεκόψατε τὴν ἀσέβειαν
85 καὶ Θεῷ προσανηνέχθητε
καθαρὰ θυσία, ἀξιάγαστοι.

θεοτ. * Ἀπειρόγαμε δέσποινα,
ἡ σεσαρκωμένον Λόγον κυήσασα,
τὴν ψυχήν μου φωταγώγησον
90 καὶ γεέννης ῥῦσαι καὶ κολάσεως.

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Ῥητορεύων τὰ θεῖα
ἔστης πρὸ βημάτων ἀδίκων κρινόμενος
θαρσαλέῳ γνώμῃ,
ἀθλοφόρε πανεύφημε Κλαύδιε,
95 οὐ μαστίγων ὄγκον,
οὐ τοῦ πυρὸς τὴν τιμωρίαν,
οὐ τὸν θάνατον ὅλως πτοούμενος.

---

73 ἐπεδείξατε] ὑπεδέξατο Bd 74 ἴσων] θείων Cx 76 ἀφορήταις Cx
87-90 θεοτ. PID ρξθ'
heirm. ε' EE 219, n. 314, Joannis 92 ἀδίκως Cx Bd 93 θαρσαλαίῳ (sic) cdd. cfr. Psaltes 188 95 ὄγκον] πεῖραν Bd 97 ὅλον Vm

---

81-82 Ps. 103,15

Τὰς μὲν χεῖρας εἰς ὕψος,
πρὸς δὲ τὸν δυνάμενον σῴζειν Θεὸν ἡμῶν
100 τῆς ψυχῆς τὸ ὄμμα
f. 201 ἀνα‖τείνας, Ἀστέριε πάνσοφε,
τῶν μαστίγων πόνους
καὶ τοὺς ξεσμοὺς καὶ τὰς στρεβλώσεις
στερροτάτῃ καρδίᾳ ὑπέφερες.

105 Ὑπερεύρυζος ὤφθη,
μάρτυρες, ἡ ἔνθεος ὑμῶν προαίρεσις·
ὑλικῷ πυρὶ γὰρ
φλογιζόμενοι, οὐ δαπανώμενοι,
τὸν θερμὸν καὶ θεῖον
110 πόθον ὑμῶν πρὸς τὸν τῶν ὅλων
ἐδηλοῦτε δεσπότην καὶ κύριον.

θεοτ. * Ῥυομένη μὴ παύσῃ
τῆς αἰχμαλωσίας με καὶ τοῦ συνέχοντος
ψυχοφθόρου σάλου
115 καὶ παθῶν τῶν δεινῶς συνεχόντων με,
παναγία κόρη,
ἁμαρτωλῶν ἡ προστασία,
τῶν ἀνθρώπων ἑτοίμη βοήθεια.

ᾠδὴ ς'. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

Ὡς κρίνα ταῖς τῶν μαρτύρων κοιλάσιν
120 ἐξανθήσαντες καιρῷ τῶν ἀγώνων,
πάντων ἡμῶν
τὰς καρδίας ἐνθέως
κατευωδίασαν Νέων καὶ Κλαύδιος,
Ἀστέριός τε σὺν αὐτοῖς,
125 οἱ γενναῖοι τῆς πίστεως μάρτυρες.

---

101 ἀνατείλας Cx 111 ἐκδηλοῦται Bd 112-118 θεοτ. PID ρα'
115 συνεχόντων] θανατούντων Ch Vm Cx PID
heirm. ς' EE 219, n. 314, Joannis 120 ἐξανθήσατε Bd

---

119 Cant. 2,1

Νεώσαντες τὰς ψυχὰς εὐσεβείᾳ,
ἀληθείας κατεβάλετε σπόρον
καὶ ἐν καιρῷ
τῶν γενναίων ἀγώνων
130 μαρτυρικοὺς ἐβλαστήσατε στάχυας,
οὓς φέρουσιν αἱ νοηταὶ
ἀποθῆκαι, πανεύφημοι μάρτυρες.

Σθενούμενοι παναλκεῖ δεξιᾷ σου,
ὑπ' αὐτῆς τε κυβερνώμενοι, Λόγε,
135 οἱ ἀθληταί,
τῶν βασάνων τὸ μέγα
καὶ χαλεπὸν διεπέρασαν πέλαγος
καὶ ἔφθασαν τοὺς γαληνοὺς
βασιλείας λιμένας ὑμνοῦντές σε.

θεοτ. 140 Τὴν μήτραν σου ὑποδὺς ὁ δεσπότης,
ὡς νυμφίος ὡραιότατος ταύτης
ὑπερφυῶς
προελήλυθε, κόρη,
καὶ τοὺς βροτοὺς ἀφθαρσίᾳ ἐκάλλυνε
145 καὶ ἔσωσε τοὺς ἀληθῆ
θεοτόκον ἀγνήν σε γινώσκοντας.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὸ προσταχθὲν μυστικῶς λαβὼν ἐν γνώσει*

Νέων καὶ Κλαύδιος ὁμοῦ καὶ Ἀστέριος
f. 201v ἀδελφικῇ ὄν||τως στοργῇ συνδεσμούμενοι,
πάντα σύνδεσμον ἔλυσαν τοῦ ἀπατεῶνος
δεσμοῖς τε προσομιλοῦντες καὶ φυλακαῖς,
5 καὶ πάσαις ἄλλαις αἰκίαις σωματικαῖς·
ὅθεν νῦν περιχορεύουσι

129 τῶν ἀγώνων γενναῖοι Bd 131 οὓς] καὶ Cg Cx ὃν Bd 133 Στενούμενοι Cx Bd 139 ὑμνοῦντας Ch Cx 140 Τῇ Ch 144 ἀφθαρσίας Bd
κάθ. om. Ch Vm Cx Bd heirm. καθ. HR 223

μετὰ ἀγγέλων μυστικῶς
χορείαν ἀκατάλυτον
ὑπὲρ πάντων πρεσβεύοντες.

ᾠδὴ ζ'. *Παῖδες Ἑβραίων ἐν καμίνῳ*

Ἔσβεσαν φλόγα τῶν αἱμάτων
οἱ καλλίνικοι τοῖς ὄμβροις παραδόξως
καὶ πυρὶ νοητῷ
150 κατέφλεξαν τὴν πλάνην,
« εὐλογητὸς εἶ, » μέλποντες
« ὁ Θεός, εἰς τοὺς αἰῶνας ».

Φέρεις ῥαπίσματα γενναίως,
ἀναρτήσεις ἐκ τριχῶν τε, Νεονίλλα,
155 καὶ πυρὸς καυστικοῦ
ὀδύνας εὐχαρίστως,
« εὐλογητὸς εἶ, κύριε
ὁ Θεός, » ἀναβοῶσα.

Ἤρθης ἐν ξύλῳ κρεμαμένη,
160 φλεγομένη τε τὰ στέρνα, Νεονίλλα,
καὶ τῷ πόθῳ Χριστοῦ
σαφῶς δροσιζομένη,
οὗ ταῖς χερσὶ τὸ πνεῦμά σου
εὐχαρίστως ἐναπέθου.

θεοτ. 165 Φῶς ἐκ γαστρός σου ἀναλάμψαν
κατεφώτισεν, ἀγνή, τὴν οἰκουμένην
καὶ δαιμόνων ἀχλὺν
καὶ σκότος ἀγνωσίας
ὁλοτελῶς ἐδίωξεν
170 Ἰησοῦς ὁ φωτοδότης.

heirm. ζ' EE 220, n. 315, Joannis 147 αἱμάτων] βασάνων Ch 148 τοὺς ὄμβρους Cx παραδόξως] τῶν αἱμάτων Bd 151 μέλποντες] κράζοντες Cx post εὐλογητὸς varie invocationem detruncant Cx Bd 151-152 ἀναβοῶντες κύριε / ὁ θεὸς εὐλογητὸς εἶ Ch Vm 154 τε] τες Cx 157-158 ἀναβοῶσα κύριε / ὁ θεὸς εὐλογητὸς εἶ Ch Vm Cx Bd 160 στέρναν Cx 162 σαφῶς] σφοδρῶς Bd 166 κατεφώτισαν Cx

ᾠδὴ η'. Νικηταὶ τυράννου

Οἱ φαιδροὶ ἀστέρες,
οἱ ταῖς θείαις λάμψεσι ταῖς τῶν ἀγώνων
καὶ τῶν ἰαμάτων
πᾶσαν τὴν ὑφήλιον φωταγωγοῦντες,
175 Κλαύδιος καὶ Νέων,
ὁ κλεινὸς Ἀστέριος
σὺν τῇ Νεονίλλᾳ
τιμάσθωσαν ἀξίως.

Ῥαντισμῷ αἱμάτων
180 ἄνθρακας ἀπέσβεσαν τῆς ἀθεΐας
καὶ πυρὶ ἀγώνων
ὕλην πᾶσαν ἔφλεξαν τῆς ἀγνωσίας
οἱ Χριστοῦ ὁπλῖται,
« ὑμνεῖτε » κραυγάζοντες
185 « καὶ ὑπερυψοῦτε
Χριστὸν εἰς τοὺς αἰῶνας ».

Ὠμοτάτῃ γνώμῃ
ἐξαρθρώσας χεῖράς τε ὑμῶν καὶ πόδας,
ψυχῆς ἁρμονίαν
190 οὐδαμῶς διέλυσεν ὁ ματαιόφρων,
ἀθληταὶ τῆς δόξης·
καὶ γὰρ ἐκραυγάζετε·
« σὲ ὑπερυψοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας ».

:οτ. 195 Νεκρωθεῖσαν πάθει
τὴν ψυχήν μου ζώωσον, εὐλογημένη,
ἡ ζωὴν τεκοῦσα,
202 τὸν τῶν ὅλων ‖ κύριον, ᾧ μελῳδοῦμεν·
« εὐλογεῖτε πάντα

heirm. η' EE 221, n. 316, Joannis 175 καὶ] ὁ Cg 184 ὑμνοῦντες Cg post κραυγάζοντες laudem varie excidunt Cg Ch Cx Bd 193 post ὑπερυψοῦμεν orat. abrumpitur in Cg Ch 194 Χριστέ, εἰς] εἰς πάντας Cx Bd 199 post πάντα invocationem varie detruncant cdd.

200 τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή

Ἵστατο
ἔναντι ἐχθρῶν
205 ἡ τριὰς τῶν ἀθλοφόρων αὐτάδελφος,
Νέων καὶ Κλαύδιος
σὺν Ἀστερίῳ, ὡς πύργος τρίγωνος
ταῖς ὑπὲρ φύσιν τῶν πολλῶν
βασάνων προσρήξεσι
210 μὴ σαλευόμενος,
ἀλλὰ σθένει θεϊκῷ κρατυνόμενος.

Ὡς ῥόδα
μέσον τοῦ πυρὸς
ἀπεφάνθητε, καλλίνικοι μάρτυρες,
215 ὡς δὲ κυπάρισσος
τῇ κατὰ μέρος τομῇ τοῦ σώματος
εὐωδιάσατε τὴν γῆν,
ὡς κέδρος ὑψίκομος
πρὸς ὕψος ἤρθητε
220 καὶ ὡς κρίνα τοῦ ἀγροῦ ἐξηνθήσατε.

Στίγμασι
τῶν παντοδαπῶν
ὡραιώθητε κολάσεων, μάρτυρες,
καὶ βιαιότατον
225 οἱ πάντες τέλος καθυπεδέξασθε
καὶ πρὸς τὴν ἄπονον ζωὴν
νῦν διεβιβάσθητε,
νίκης τὸν στέφανον
ἐκ χειρὸς ζωαρχικῆς κομισάμενοι.

heirm. θ' EE 222, n. 317, Joannis 218 ὑψίκομος] ὑψούμενοι Cx

230 Ἦλιε
δόξης Ἰησοῦ,
Ἀστερίου καὶ Κλαυδίου καὶ Νέωνος
ταῖς παρακλήσεσι
καὶ Νεονίλλας τῆς ποθησάσης σε
235 τοὺς τὴν ἐτήσιον αὐτῶν
μνήμην ἑορτάζοντας
φώτισον, λύτρωσαι
ἀπὸ πάσης χαλεπῆς περιστάσεως.

θεοτ. * Φέρουσα
240 οἷάπερ λαβὶς
τὸν οὐράνιον ἀγκάλαις σου ἄνθρακα,
θεοχαρίτωτε,
τὰ τῆς ψυχῆς μου πάθη κατάφλεξον
καὶ τοῦ πυρὸς τοῦ φοβεροῦ
245 ῥῦσαι καὶ διάσωσον,
ἵνα δοξάζω σε,
προστασία τῶν πιστῶν ἀκαταίσχυντε.

---

232 ἀστερίος Bd 239-247 θεοτ. PID ροά 245-247 καὶ τῆς κατακρίσεως / καὶ τιμωρίας δεινῆς / τῶν δαιμόνων με, ἁγνή, ἐλευθέρωσον PID

27 IAN. *CANON* XXXII (1)

IN TRANSLATIONEM RELIQUIARUM S. JOANNIS CHRYSOSTOMI

Synaxarium, 425: Ἡ ἀνακομιδὴ τοῦ τιμίου λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου ἐκ Κομάνων τῆς Ἀρμενίας, ἐν τοῖς χρόνοις γενομένη Θεοδοσίου τοῦ μικροῦ, μετὰ τριάκοντα τρεῖς χρόνους τῆς αὐτοῦ κοιμήσεως, ἐπὶ τοῦ ἐν ἁγίοις πατριάρχου Πρόκλου. Ἀνακομισθὲν γὰρ τὸ τίμιον αὐτοῦ λείψανον ἐν Κωνσταντινουπόλει καὶ κατετέθη ὑπὸ τὸ θυσιαστήριον τῶν ἁγίων ἀποστόλων, ἔνθα καὶ ἡ σύναξις αὐτοῦ τελεῖται.

Crypt. Δ.α. XV = Cg, ff. 204v-213
Crypt. Δ.α. V = Ch, ff. 141v-146
Crypt. Δ.α. XX = Cx, ff. 90-95v
Vat. gr. 2069 = Vb, ff. 136-138v

Ὁ κανών· ποίημα Ἀνδρέου.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἅρματα Φαραὼ*
καὶ τὴν δύναμιν αὐτῶν

Ἔδειξας ὁ Θεὸς
μετανοίας ὁδηγὸν
καὶ πάντων διδάσκαλον
καὶ ἱεράρχην ἐν κόσμῳ,
5 ἄξιον τῆς σῆς χρηστότητος
ἱερουργόν, τὸν Χρυσόστομον.

Ἔλαμψας ἐπὶ γῆς
ὥσπερ ἥλιος φαιδρός,

Eiusdem canonis disiunctae traditiones proferuntur, qua re ipsas separate porreximus

Cg (ff. 204v-213v), alternatis odis, duos canones praebet, quorum primum huc retulimus, secundum in eundem sanctum Joannem dicatum (inc. Πλοῦτον ἐναπέθου σῇ ψυχῇ) statim postea invenies tit. Ὁ κανών Cg Εἰς τὸν ὄρθρον ὁ κανών et in margine ἀνδρέου Ch Ὁ κανὼν ποίημα ἀνδρέου κρήτης Cx Εἰς τὸν ὄρθρον τὸν αὐτὸν κανόνα... ἀνδρέου Vb

heirm. α' EE 104, n. 147, Andreae

τίμιε Χρυσόστομε,
10 τῶν ἀποστόλων συμμύστα,
πᾶσαν καταυγάζων ἔννοιαν
ἐν τῷ φωτὶ τῶν δογμάτων σου.

Ἤνοιξας θησαυροὺς
οὐρανίους τοῖς πιστοῖς,
15 τίμιε Χρυσόστομε,
καὶ παραινέσεις ἐνθέους
f. 205 πᾶσιν ‖ ἱερῶς μετέδωκας
διὰ τῶν λόγων σου, ὅσιε.

Ἔβλυσας ἐκ πηγῆς
20 τῆς καρδίας σου, σοφέ,
νάματα χρυσόρρειθρα,
δι' ὧν ἐπλούτισας πάντας,
πλήσας καὶ πτωχοὺς καὶ πένητας
τῶν θεοσόφων δογμάτων σου.

25 Ἅπαντες μυστικῶς
συνελθόντες οἱ πιστοί,
ἔνδοξε Χρυσόστομε,
τὴν ἱεράν σου τελοῦμεν
μνήμην, θεοφάντορ ὅσιε,
30 πνευματικῶς ἑορτάζοντες.

Πάντες οἱ ἐπὶ γῆς
ἀνυμνοῦμεν τὴν ταφήν,
σέβοντες τὴν μνήμην σου
καὶ τὴν σορὸν τῶν λειψάνων,
35 τίμιε Θεῷ Χρυσόστομε,
καὶ μυστικῶς συγχορεύομεν.

τριαδ. Ἄισμασιν οἱ πιστοὶ
τὸν πατέρα καὶ υἱὸν

---

14 τοῖς πιστοῖς] τοὺς ἐν γῇ Cx 16 παναιρέσεις Cx 19-30 troparia desunt in Ch Vb 19 ἐκ πηγῆς] ἐπὶ γῆς Cx 31-36 troparium om. Cx 37-42 dissimile τριαδ. in Cx, vide p. 398

καὶ πνεῦμα τὸ ἅγιον,
40 τὴν παναγίαν τριάδα,
ἄναρχον ἀεὶ καὶ σύνθρονον
ὁμοφυῶς ἀνυμνήσωμεν.

[illegible] Ἔτεκες ἀληθῶς
τὸν συνάναρχον πατρί,
45 ἔνδοξε, πανάμωμε,
παρθενομῆτορ Μαρία,
ὃν ὑπὲρ ἡμῶν ἱκέτευε
ἵνα ῥυσθῶμεν ἐκ πάσης ὀργῆς.

f. 205ᵛ ᾠδὴ β'. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*
καὶ ἀνυμνήσω Χριστὸν τὸν φιλάνθρω[πον].

Πάντες τοῦ Χρυσοστόμου τὴν μνήμην
50 ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν.

Ἔπλησεν εὐωδίας τὸν κόσμον
ἡ τοῦ λειψάνου σου, πάτερ, ἐπάνοδος.

Δράμωμεν μετὰ πίστεως πάντες
τὴν τοῦ ὁσίου τιμῶντες ἐπάνοδον.

55 Πρέσβευε ὑπὲρ πάντων ἀπαύστως,
ἱερομάκαρ Χρυσόστομε τίμιε.

θεοτ. Ἀντίληψιν, προστασίαν καὶ σκέπην
κεκτήμεθά σε, ἁγνὴ ἀειπάρθενε.

---

heirm. EA 21 (1901) 469; eisdem verbis et in EE 44, n. 5[illegible]; 168 n. 236 heirm. datur, sed ad ἦχ. β' et πλ. β' pertinens; textum heirm. [integrum] tradunt Ch Cg Vb 50 καὶ ᾠδαῖς εὐφημήσωμεν] πιστῶς ἑορτά[σω]μεν Ch Vb φαιδρῶς ἑορτάσωμεν Cx 51-52 tropario caret Cx post v. [5]2 hoc troparium legimus in Ch Vb: Κράζει ὁ ἀμπελὼν ὁ τῆς χήρας / καὶ μαρτ[υρε]ῖ τὴν πικρὰν ἐξορίαν σου. 56 ἱερωμύστα Cx 57-58 θεοτ. deest in Cx 58 μητροπάρθενε Ch Vb

f. 206v || ᾠδὴ γ΄. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ὡς θησαυρὸς ἐδείχθης, πάτερ, θεῖος,
60 ἱερομύστα ὅσιε,
καταπλουτίσας τοὺς ἐπὶ γῆς
ἐκ τῶν θείων σου λογίων
καὶ μετανοίας δόγματα
σαφῶς χαρισάμενος.

65 Ὠκεανόν σε ἄλλον ἐν τῷ κόσμῳ
Χριστός, θεόφρον, ἔδειξε,
διὰ τῶν ῥεἰθρων σου τῶν χρυσῶν
τοῦ Χριστοῦ τὴν ἐκκλησίαν
περικυκλοῦντα, ὅσιε,
70 καὶ πίστει ἐκπλύνοντα.

Ἑρμηνευτὴς σοφὸς τῆς θεοπνεύστου
γραφῆς ἐγένου, τίμιε,
τῶν ἐν ἀγνοίᾳ χειραγωγός,
ὡς καὶ τῶν ἐν ἁμαρτίαις
75 τῆς μετανοίας γέγονας
ὁδὸς καὶ ἀνάβασις.

Διδακτικὸς καὶ λόγου καὶ ἁγνείας,
τῆς παρθενίας πρόξενος
καὶ συμπαθείας ὑφηγητὴς
80 καὶ πραότητος ἐγένου
καὶ τῆς ἀγάπης ἔνδειγμα
καὶ τῆς μετανοίας, σοφέ.

Τὸν τῆς γραφῆς βυθὸν διερευνήσας,
ἱερομάκαρ ὅσιε,
85 καὶ τὸν στατῆρα τὸν ἐν αὐτῇ

heirm. γ΄ EE 104, n. 147, Andreae 59 Ὡς θησαυρὸς ζωῆς ἐδείχθης πάτερ Ch Cx Vb 60 ἱερωμάκαρ Cx 65-70 diversum troparium Cx tradit, vide p. 401 77 Δι᾽ ἀρετῆς καὶ λόγου καὶ σοφίας Cx 79 καθηγητὴς Cx 83-88 troparium deest in Ch Vb 83 βυθὸν] θεὸν Cg

85-86 Matth. 17,27

ἀνελκύσας τῷ ἀγκίστρῳ
τῆς θεοφθόγγου γλώττης σου,
Χριστῷ προσεκόμισας.

Ὥσπερ χρυσὸς ἀστράπτουσιν οἱ λόγοι
90 τοῦ ἱεροῦ σου στόματος
καὶ μαρτυροῦσιν οἱ ἐπὶ γῆς,
διὰ σοῦ σωφρονισθέντες,
οἱ δι᾽ αὐτῶν εὑράμενοι
τὴν τῆς μετανοίας ὁδόν.

τριαδ. 95 Οἱ τὴν τριάδα πίστει προσκυνοῦντες
ὁμότιμον καὶ σύνθρονον
καὶ ὁμοούσιον ἀληθῶς,
ἀνυμνήσωμεν συμφώνως,
τριαδικῶς δοξάζοντες
100 σὺν τοῖς τῶν ἀσωμάτων χοροῖς.

θεοτ. Τὸν ποιητὴν τοῦ κόσμου συλλαβοῦσα
ἀσπόρως, μητροπάρθενε,
σάρκα γενόμενον ἀληθῶς,
ἀπαθῶς τε καὶ ἀρρεύστως,
105 ὡς αὐτὸς οἶδε, τέτοκας,
Χριστὸν τὸν Θεὸν ἡμῶν.

f. 207 Κάθισμα.

Ἦχος δ΄. *Ταχὺ προκατάλαβε*

Ὁ πάγχρυσος κάλαμος
τῆς ἐκκλησίας Χριστοῦ
ὑμνείσθω Χρυσόστομος,
ὁ μετανοίας λαμπτήρ,
5 ὁ δεύτερος Πρόδρομος·
πάντες οὖν συνελθόντες

87 θεοφθέκτου Cx 88 χριστὸν τὸν ἀτίμητον Cx 89-94 troparium om. Ch Cx Vb 93 δι᾽ αὐτὸν Cg 95-100 τριαδ. cfr. p. 131 100 ἀσωμάτων] ἀγγέλων Cx 104 ἀπαθῶς om Vb

κάθ. deest in Cx; in Ch Vb aliud κάθ. legitur: Τὴν σοφίαν ἐξ ὕψους... MR III, 392

heirm. καθ. HR 63

INDICE DEI CODICI

καὶ ἐφώτισας πάντα τὸν κόσμον
110 διδασκαλίας λόγοις, Ἰωάννη σοφέ,
τίμιε Χρυσόστομε.

Διδασκαλίας πηγὴ
καὶ τρίβος τῆς μετανοίας γέγονας
καὶ λιμὴν τῶν ἐν ζάλῃ τοῦ βίου
115 καὶ ὁδηγός, θεόφρον, πρὸς τὴν ἄνω ζωήν,
τίμιε Χρυσόστομε.

Τῆς ἐκκλησίας ποιμὴν
ἐγένου καὶ θησαυρός, Χρυσόστομε,
καὶ ἐπλούτισας πάντας ἐν λόγοις,
120 τῇ βακτηρίᾳ, πάτερ, ὁδηγήσας ἡμᾶς
εἰς Θεοῦ παράδεισον.

Ἐκ τῆς ἑῴας χρυσὸς
δογμάτων μαρμαρυγὰς ἀστράπτων ἡμῖν
τῆς βασιλίδος λαμπτὴρ ἀνεδείχθης,
125 ὡς ἐν λυχνίᾳ, πάτερ, τῇ καθέδρᾳ τεθείς,
ἵνα λάμπῃς πάσῃ τῇ γῇ.

Πνευματικῶς τὸν βυθὸν
τῇ γλώττῃ διερευνῶν τῆς θείας γραφῆς,
τὸν ἐν βάθει τοῦ γράμματος, πάτερ,
130 ἀνακαλύπτεις πλοῦτον καὶ πλουτίζεις ἡμᾶς
ταῖς διδασκαλίαις σου.

Ὡς ἐκ πυξίδος τῆς σῆς
καρδίας τὴν θεηγόρον γλῶτταν κινῶν,
καλλιγραφεῖς ἡμῖν δόγματα θεῖα,
135 ὡς ἐν χρυσῇ γραφίδι νοητῶς ἐκτυπῶν
τῇ παγχρύσῳ γλώσσῃ σου.

τριαδ. Σὺν τῷ πατρὶ τὸν υἱὸν
καὶ πνεῦμα τριαδικῶς δοξάσωμεν·

---

112 πηγὴ] ποιμὴν Cx 117 ἐκκλησίας] ἐγκρατείας Ch 120 τῇ] καὶ Cg Ch Vb βακτηρίας Cg Ch Vb πάτερ] λόγω Cg λόγων Ch Vb 122-126 dissimile troparium in Cx, vide p. 402 125 τιθεὶς Ch 127-136 troparia desunt in Ch Cx Vb

---

125-126 Matth. 5,15

ἐν τριάδι ὑμνοῦντες μονάδα,
140 μοναδικῶς τριάδα προσκυνήσωμεν
σὺν τοῖς ἀσωμάτων χοροῖς.

θεοτ. Τὸν ποιητὴν τοῦ παντὸς
τεκοῦσα, παρθενομῆτορ ἄχραντε,
ἀλοχεύτως ἐκ σοῦ σαρκωθέντα,
145 ὡς πρὸ τοῦ τόκου πάλιν μετὰ τόκον, ἁγνή,
ἄφθορος μεμένηκας.

f. 208ᵛ ᾠδὴ ε΄. *Ἐκ νυκτὸς ὀρθρίζοντες*
πάντες ἀσιγήτως
σὲ τὸ ἀνέσπερον
ἱκετεύομεν φῶς·
5 *ὁ Θεὸς ὡς οἰκτίρμων*
τὴν σὴν εἰρήνην, Χριστέ, δώρησαι ἡμῖν.

f. 209 ‖ Ὡς χρυσὸς ἐξέλαμψας
ἐν ὅλῳ τῷ κόσμῳ,
πάτερ Χρυσόστομε·
150 ἐπλουτίσθημεν γὰρ
ἐκ τῶν θείων σου λόγων
τῶν χρυσαυγῶν, ἱεροκῆρυξ τοῦ Χριστοῦ.

Τοῖς χρυσοῖς σου δόγμασι
τὸν σύμπαντα κόσμον,
155 πάτερ Χρυσόστομε,
τῆς τριάδος σαφῶς
συνεγράψω τὴν πίστιν,
ὁμοφυῆ κηρύξας ταύτην εὐσεβῶς.

Τῇ παγχρύσῳ γλώττῃ σου
160 ἐχρύσωσας κόσμον,
πάτερ Χρυσόστομε·

---

141 ἀσωμάτοις Ch Cx Vb 145 τοῦ om. Cg
heirm. ε΄ EE 105, n. 148, Andreae; heirm. integrum Cg Ch Cx tradunt, discrepantem autem in nonnullis verbis ab EE heirm. 3 ἀνέσπερον] ἀπρόσιτον Cx EE 4 ἱκετεύομεν] ἀνυμνοῦμεν Cg Ch ἀνυμνήσομεν Cx; ἱκετεύομεν metri causa praetulimus idemque Heirm. Crypt. E. γ. II et EE iubent
156 σαφῶς] σοφῶς Cx

θυσαυρὸν γὰρ χρυσοῦν
τὴν καρδίαν ἐκτήσω,
δι' ἧς ὁ κόσμος ἐπλουτίσθη δαψιλῶς.

165 Ὥσπερ σάλπιγξ, ὅσιε,
χρυσήλατος ὤφθης
κόσμῳ ἠχήσασα
τὴν θεόπνευστον γραφήν,
τὴν ἀσάφειαν ταύτης
170 διευκρινήσας ἐν τοῖς λόγοις σου, σοφέ.

Τὴν τοῦ βίου θάλασσαν
ἀβρόχως διῆλθες,
πάνσοφε, ὅσιε,
εἰς λιμένα νοητὸν
175 ἀκυμάντως ὁρμήσας,
ὡς τὴν γαλήνην ἀσπασάμενος, Χριστόν.

Τοὺς πτωχοὺς διέθρεψας
ἐν λόγοις καὶ ἔργοις,
πάτερ Χρυσόστομε,
180 διαδοὺς μὲν αὐτοῖς,
τοὺς πλουσίους δὲ πάλιν
διαναστήσας πρὸς συμπάθειαν αὐτῶν.

Ἐν μονάδι ἅπαντες
τριάδα ὑμνοῦμεν,
185 ἄναρχον σέβοντες
τὸν πατέρα καὶ υἱὸν
καὶ τὸ ἅγιον πνεῦμα·
τριὰς γάρ ἐστιν ἀδιαίρετος, ἁπλῆ.

Τὴν παρθένον ἅπαντες,
190 ὡς μόνην τεκοῦσαν
ἄνευ συλλήψεως

---

162 χρυσὸν Cg   165-176 troparia desunt in Ch Cx Vb   180 οἰκουμένης φωστὴρ Cg Ch Vb   190 ὡς μόνη τεκοῦσα Ch Vb

τὸν ἀχώρητον Θεόν,
ἀνυμνήσωμεν πίστει
σὺν τῷ ἀγγέλῳ χαιρετίζοντες αὐτήν.

f. 209v ᾠδὴ ς'. *Κλύδων με πταισμάτων περιέχει, σωτήρ,*
καὶ βυθίζειν πειρᾶται, ἀγαθέ·
ἀλλ' ὥσπερ τὸ πρὶν τὸν Ἰωνᾶν
ἀνήγαγες τοῦ θηρός,
5 *κἀμέ, δέομαι, κύριε,*
προφθάσας διάσωσον.

195 Ἔλαμψας ὡς ἥλιος τοῖς λόγοις τοῖς χρυσοῖς
καὶ ἐχρύσωσας κόσμον δι' αὐτῶν,
φωτίσας αὐτὸν θεοπρεπῶς,
διδάσκαλε ἀληθές·
διό σου τὴν ἔνδοξον ἅπαντες
200 τελοῦμεν πανήγυριν.

Γέγονας πηγὴ θεογνωσίας τοῖς πιστοῖς
καὶ ὁδὸς πρὸς μετάνοιαν λαοῖς
καὶ τρίβος ὀρθὴ καὶ ἀπλανής,
ἀπάγουσα πρὸς ζωὴν
205 τῆς ἄνω λαμπρότητος ἅπαντας,
Χρυσόστομε ἔνδοξε.

Ἔφθασας τὸ κύτος τοῦ πελάγους τῆς γραφῆς
καὶ ἀνείλκυσας τίμιον ἰχθύν,
ἐν ᾧ τὸν στατῆρα τὸν Χριστὸν
210 κρυπτόμενον νοητῶς
ἐξήνεγκας, ὅσιε, δοὺς αὐτὸν
τοῦ κόσμου τοῖς πέρασιν.

---

193 πιστοῖ Cx
heirm. ς' EE 105, n. 148, Andreae; heirm. integer in Cg Ch Cx
heirm. 4 τοῦ θηρὸς] ἐκ φθορᾶς Cx EE   198 ἀληθῆ sic cdd.   207 κῆτος cdd.   212 τὰ πέρατα Cg

---

204 Matth. 7,14   207-212 Matth. 17,27

f. 210 || Θάλασσαν εἰργάσω τὴν θεόπνευστον γραφήν,
τὴν δὲ γλῶσσάν σου κάλαμον χρυσοῦν,
215 δι' οὗ τὴν ζωὴν καλλιγραφῶν
ἐζώγρησας τοὺς πιστοὺς
πρὸς τρίβον σωτήριον ἔρχεσθαι,
Χρυσόστομε τίμιε.

Ἔπλησας τὸν κόσμον ὡς χρυσίον καθαρὸν
220 ἐκ τῶν λόγων σου, πάτερ, τῶν χρυσῶν,
ὡς πάντας ἀνθεῖν θεοπρεπῶς
τῷ πλούτῳ τῶν διδαχῶν,
δι' ὧν ἔτυχον, ὅσιε,
ψυχικῆς διορθώσεως.

τριαδ. 225 Ἅπαντες ὑμνήσωμεν τριάδα συμφυῶς
ἐν μονάδι θεότητος αὐτὴν
δοξάζοντες· τρία γὰρ καὶ ἓν
ὑπάρχουσα ἡ αὐτή,
οὐ φύρσιν ὑφίσταται, ἄπαγε,
230 ἀλλ' οὔτε διαίρεσιν.

θεοτ. Ἄφραστος ἡ σύλληψις τοῦ τόκου σου, ἁγνή·
τοῦ πατρὸς γὰρ ἀσπόρως τὸν υἱὸν
ἐν μήτρᾳ χωρήσασα σαρκί,
ὡς οἶδεν ὁ γεννηθείς,
235 διέμεινας ἄφθορος, πάναγνε,
παρθένος κἂν τέτοκας.

f. 210v Κοντάκιον.

Ἦχος α'. *Χορὸς ἀγγελικὸς*

Ηὐφράνθη μυστικῶς
ἡ Χριστοῦ ἐκκλησία
....

213-218 troparium om. Ch Vb 214 χρυσὸν Cx 222 τὸ πλούτος Cx τῶν om. Cx 223 δι' ὧν] διὸ Cx 224 ψυχικῆς] ψυχῆς Ch Cx Vb 225 τὴν τριάδα συμφώνως Cg Ch Vb 228 ὑπάρχουσαν αὐτὴν Cx 231 τόκου] τοκετοῦ Ch Vb 232 υἱῷ Cx 233 ἐχώρησας Cx 235 διέμεινας] διὸ ἔμεινας Cx πάναγνε om. Cg Cx 236 παρθένε Cg κἂν] καὶ Cx
κοντάκ. Ηὐφράνθη μυστικῶς MR III, 391

Ὁ οἶκος. *Τὸ φοβερόν σου κριτήριον*

Ἡ λαμπὰς ἡ τῶν ἔργων μου
....

Ἕτερον κοντάκιον.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Στεφηφόρος σήμερον
....

Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν*

Ἀνατολὴ θεολαμπὴς
....

f. 211 ᾠδὴ ζ'. *Πῦρ φλέγον ἐν καμίνῳ ἐξετινάσσετο*

Πῦρ βλύζων τοῖς σοῖς λόγοις, πάτερ Χρυσόστομε,
ὡς χόρτον τὰ πταίσματα
μυστικῶς κατέφλεξας,
240 τῶν δὲ πιστῶν τὰς καρδίας
ἐφώτισας, πάτερ παμμακάριστε.

Ἤισχυνας Ἰουδαίων καὶ τῶν Ἑλλήνων σοφούς,
ἤμβλυνας καὶ δόγματα
δυσσεβῶν αἱρέσεων

οἰκ. Ἡ λαμπὰς ἡ τῶν ἔργων μου MR III, 391 κοντάκ. Στεφηφόρος σήμερον et οἰκ. Ἀνατολὴ θεολαμπὴς Ak. 97; in Ch diversum κοντάκ. Τῇ χρυσορρείθρῳ αἴγλῃ et οἰκ., quorum acrostichide Τοῦ ἀσώτου ᾆσμα, leguntur, PAS 358; eiusdem κονταχ. Vb tantum duos οἰκ. refert
heirm. ζ' EE 105, n. 147, Andreae; textum heirm. integrum tradit Ch heirm. Πῦρ φλογίζον κάμινον ἐξετινάσσετο Cg Ch quod cum tropariorum metro valde discrepat 237 πάτερ Χρυσόστομε] ἱεροφάντωρ σοφὲ Cx 241 πάτερ] ὄντως Ch Vb 242-246 troparium in Ch Vb deest 242 σο[illegible] Cg

245 καὶ τῆς ἁγίας τριάδος
ἐτράνωσας, πάτερ, τὴν εὐσέβειαν.

Ἔδειξας τοῖς σοῖς λόγοις, πάτερ Χρυσόστομε,
Θεοῦ συγκατάβασιν
πρὸς ἀνθρώπους ἄφατον
250 καὶ πῶς ὁ πρὸ πάντων αἰώνων
ὑπάρχων Θεὸς ἐνηνθρώπησε.

Σήμερον τῶν ἀγγέλων τάξεις εὐφραίνονται
σὲ συμπαριστάμενον
θεωροῦσαι, τίμιε,
255 τῷ βασιλεῖ τῶν αἰώνων
καὶ τοῖς ἀποστόλοις συνεκλάμποντα.

Τῷ μύρῳ προεχρίσθης, πάτερ, τῆς χάριτος,
χιτῶνα σωτήριον,
ὥσπερ θεῖον θώρακα,
260 περιβαλλόμενος πίστει,
ἐποίμανας, πάτερ, βακτηρίᾳ Χριστοῦ.

Ἤθλησας δι' ἀγάπην, πάτερ Χρυσόστομε,
ἤνεγκας στερρότατα
προσβολὰς κακώσεων
265 καὶ διωγμοὺς καὶ ὀνείδη,
μακρὰν δὲ καὶ ξένην γῆν κατῴκησας.

τριαδ. Τριάδα παναγίαν πάντες ὑμνήσωμεν,
τὸν πατέρα ἄναρχον
καὶ υἱὸν συνάναρχον
270 καὶ τὸ παράκλητον πνεῦμα,
τὸ συμβασιλεῦον, ὁμοούσιον.

θεοτ. Παρθένον σε πρὸ τόκου καὶ μετὰ τόκον, ἁγνή,
πάντες μακαρίζομεν,

---

246 πάτερ] πᾶσιν Cx 247 σοῖς λόγοις] λόγοις σου Cx 250 πῶς ὁ om. Cx 252-256 troparium desideratur in Cx 257-261 troparium deest in Ch Vb 257 Τὸ μύρον Cx 261 ἐπεῖμανας πάντας βακτηρίαν θεοῦ Cx 262-266 tropario caret Cx 272 ἁγνὴν Cx

ὡς Θεὸν κυήσασαν,
275 ἐκ σῶν ἀχράντων λαγόνων
τὴν σάρκα φρικτῶς προσλαβόμενον.

f. 211v ᾠδὴ η'. *Τὸν ἐκτείναντα Θεὸν*

Τὸν ζωγρεύσαντα ἡμᾶς
ἐν τῷ καλάμῳ τῷ χρυσῷ
ἐκ τῆς τοῦ βίου θαλάσσης
280 διὰ τῆς γλώττης αὐτοῦ,
τὸν σοφὸν ποιμένα
καὶ τίμιον, ἅπαντες, ἁλιέα,
Ἰωάννην, πιστοί,
συμφώνως τιμήσωμεν.

f. 212 285 || Τὸν ἀνοίξαντα ἡμῖν
τοὺς τῆς σοφίας θησαυροὺς
καὶ διανείμαντα πλοῦτον
θεογνωσίας τοῖς πιστοῖς
ἐν γραφαῖς ἁγίαις
290 καὶ λόγοις καὶ δόγμασι θεοπνεύστοις,
ὡς ποιμένα ἡμῶν,
πιστοί, εὐφημήσωμεν.

Τὸν ζωγραφήσαντα ἡμῖν
ἐν τῷ πυξίῳ τῆς γραφῆς
295 τοῦ παραδείσου τὸ κάλλος
δι' ἑρμηνείας εὐκρινοῦς
καὶ τὰ ἄνθη τούτου
χρυσώσαντα δόγμασιν εὐσεβείας,
ὡς γραφέα σοφόν,
300 πιστοί, μακαρίσωμεν.

---

276 προσλαβόμενος Ch
heirm. η' EE 105, n. 148, Andreae; heirm. integrum tradunt Cg Ch Cx 289 ἐγγραφαῖς Ch Vb 291 ὡς om. Cg ἡμῶν] σοφὸν Cx 293 ἡμᾶς Cx 300 πίστοι Cx

Τὸν ἐκ πέτρας τῆς γραφῆς
τῆς μετανοίας τὴν πηγὴν
διὰ τῆς γλώττης αὐτοῦ
πᾶσι μεταλλεύσαντα βροτοῖς
305 καὶ τὸν ζῶντα λόγον
ὡς ἄρτον οὐράνιον προσβαλόντα,
ἐν ᾠδαῖς πνευματικαῖς,
πιστοί, μακαρίσωμεν.

τριαδ. Τὸν πατέρα καὶ υἱὸν
310 καὶ τὸ πανάγιον πνεῦμα,
τὴν τρισυπόστατον πάντες
καὶ ὁμοούσιον, πιστοί,
συμφυῆ τριάδα
εἰς μίαν θεότητα συνιοῦσαν,
315 εὐσεβῶς εἰς ἀεὶ
ᾠδαῖς ἀνυμνήσωμεν.

θεοτ. Τὴν μητέρα τοῦ Θεοῦ
καὶ μετὰ τόκον παρθένον,
τὴν ἀπειράνδρως τεκοῦσαν
320 τὸν ὁμοούσιον πατρί,
ὡς σκηνὴν καὶ πύλην
καὶ ὄρος οὐράνιον καὶ νεφέλην
καὶ λυχνίαν χρυσῆν,
πιστοί, μακαρίσωμεν.

f. 212v ᾠδὴ θ'. *Τὴν πυρένδροσον πάλαι*

325 Τὴν χρυσήλατον ὄντως
σάλπιγγα τὴν τοῦ λόγου
καὶ χρυσόρρειθρον πηγὴν τῆς χάριτος,
τὸν Χρυσόστομον, πάντες ὕμνοις μεγαλύνομεν.

---

304 πᾶσαν Cg 306 προβάλλοντα Cx 307 πνευματικαῖς] μυστικῶς Ch Vb heirm. θ' EE 106, n. 148, Andreae; heirm. integrum praebent Cg Ch Cx 326 τὴν om. Cg

---

301-302 Deut. 8,15 321 πύλην Ez. 44,2 322 ὄρος Ps. 67,16; νεφέλην Is. 19,1 323 Zach. 4,2

Τὴν φιλάργυρον γνώμην
330 ἤλασας ἐξ ἀνθρώπων
καὶ ἐνέσπειρας τῆς συμπαθείας καρπούς,
θεοφάντορ, Χριστοῦ θεράπον, σοῖς διδάγμασιν.

Ἀρετὴν ἐξασκήσας
πᾶσαν, γέγονας τῆς τριάδος,
335 μυστιπόλε, θεῖον ἐνδιαίτημα
ἐν τῷ κόσμῳ, κηρύξας ταύτην ὁμοούσιον.

Ἀνυμνοῦμεν τὴν μνήμην,
στέργομεν καὶ τὸν τάφον
καὶ τὰ λείψανά σου πίστει σέβομεν,
340 Ἰωάννη πιστέ, κυρίου θεράπον σοφέ.

Μυστικὴν μυροθήκην
ἔχοντές σου τὸν τάφον,
ἐν ψαλμοῖς καὶ ὕμνοις, ὡς ἐν μύροις αὐτόν,
Ἰωάννη, Χριστοῦ θεράπον, καταστέφομεν.

345 Παριστάμενος, πάτερ,
θρόνῳ δόξης κυρίου,
τῶν τελούντων σου τὴν μνήμην μνήσθητι·
παρρησίαν γὰρ ἔχεις, ὥσπερ οἱ ἀπόστολοι.

[2]13 τριαδ. ‖ Ἐν τριάδι μονάδα
350 πάντες σε προσκυνοῦμεν,
ἐν μονάδι τὴν τριάδα σέβοντες·
ἓν γάρ ἐστι τὰ τρία φύσει καὶ θεότητι.

θεοτ. Ἐξ ἀχράντων λαγόνων
τέτοκας, θεομῆτορ,
355 τὸν συνάναρχον πατρὶ καὶ πνεύματι·
διὸ πάντες, σεμνὴ παρθένε, ἀνυμνοῦμέν σε.

---

332 σοῖς διδάγμασι] σοῖς δόγμασι Ch σοι τοῖς δόγμασι Vb 333-336 troparium om. Ch Vb 340 θεράπον σοφὲ] παμμακάριστε Cx 341-344 troparium deest in Ch Vb 344 Ἰωάννην Cx καταστέφωμεν Cg μεγαλύνωμεν Cx 350 πάντες σε] ἅπαντες Cx

27 IAN. *CANON* XXXII (2)

IN TRANSLATIONEM RELIQUIARUM S. JOANNIS CHRYSOSTOMI

Crypt. Δ.α. XX = Cx, ff. 90-95v
Crypt. Δ.α. XV = Cg, ff. 204v-213
Crypt. Δ.α. V = Ch, ff. 141v-146
Vat. gr. 2069 = Vb, ff. 136-138v

Ὁ κανών· ποίημα Ἀνδρέου.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἅρματα Φαραὼ*

1-6 Ἔδειξας ὁ Θεὸς
.... = Cg 1-6

7-12 Ἔλαμψας ἐπὶ γῆς
.... = Cg 7-12

13-18 Ἤνοιξας θησαυροὺς
.... = Cg 13-18

19-24 Ἔβλυσας ἐκ πηγῆς
.... = Cg 19-24

25-30 Ἅπαντες μυστικῶς
.... = Cg 25-30

τριαδ. Ἄκτιστον ἀληθῶς
καὶ ὁμότιμον, πιστοί,
πάντες ἀνυμνήσωμεν

---

heirm. α' EE 104, n. 147, Andreae

19 ἐκ πηγῆς] ἐπὶ γῆς Cx

90v τὴν παναγίαν || τριάδα,
35 ἄναρχον πατέρα σέβοντες
καὶ τὸν υἱὸν σὺν τῷ πνεύματι.

θεοτ. 37-42 Ἔτεκες ἀληθῶς
.... = Cg 43-48

ᾠδὴ β'. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω* = Cg heirm.

43-44 Πάντες τοῦ Χρυσοστόμου τὴν μνήμην
.... = Cg 49-50

45-46 Δράμωμεν μετὰ πίστεως πάντες
.... = Cg 53-54

Τίμιε Ἰωάννη θεόφρον,
μέγας ἐδείχθης ποιμὴν καὶ διδάσκαλος.

Ἔθρεψας τὰς πεινώσας καρδίας,
50 θεομακάριστε πάτερ, τοῖς λόγοις σου.

Ὤφθης ἁμαρτωλοῖς καὶ δικαίοις,
ἱερομάκαρ, ὁδὸς πρὸς μετάνοιαν.

Ἤισχυνας ὡς Ἠλίας, θεόφρον,
τὴν Ἰεζάβελ καὶ σὺ τὴν βασίλισσαν.

55-56 Πρέσβευε ὑπὲρ πάντων ἀπαύστως,
.... = Cg 55-56

---

heirm. EA 21 (1901) 469; iisdem verbis et in EE 44, n. 59; 168, n. 236, heirm. datur, sed ad ἦχ. β' et πλ. β' pertinens

---

53-54 III Regn. 20, 23

εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος,
60 ὃν ὁ Χρυσόστομος παντὶ
διὰ γραμμάτων φωνῆς
ἀνακηρύττων τοῖς λαοῖς,
ὁ πλατύνας τὴν αὐτοῦ
ἐν τῷ κόσμῳ σοφίαν
65 καὶ παρέχων τὸ μέγα ἔλεος.

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος,
ὁ συνοδεύσας τῷ ἐμῷ
70 ἱεροκήρυκι
f. 91 ὅτε ‖ διωρίζετο,
μεταστήσας τε αὐτὸν
τῶν παρόντων τοῦ βίου
καὶ ποιήσας τῶν ἀγγέλων σύσκηνον.

τριαδ. 75 Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὁ Λόγος,
ὁ σὺν πατρὶ καὶ πνεύματι
συγκαθεζόμενος, εἷς
80 ὢν τῆς τριάδος ταυτός,
εἰ καὶ σάρκα λογικήν,
νοερὰν ἐκ παρθένου
ἀλοχεύτως δι᾽ ὑμᾶς ἐφόρεσα.

θεοτ. Ἴδετε, ἴδετε
85 ὅτι ἐγώ εἰμι

---

heirm. alter EE 104, n. 147, Andreae

ὁ Θεὸς ὁ Λόγος,
ὁ τὴν παρθένον οὐρανόν,
σκηνὴν καὶ πύλην καὶ ὄρος
καὶ λυχνίαν χρυσῆν
90 καὶ νεφέλην φωτεινὴν
ἑαυτὴν ἀναδείξας
καὶ παρέχων τὸ μέγα ἔλεος.

ᾠδὴ γ΄. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

93-98 Ὡς θησαυρὸς ζωῆς ἐδείχθης, πάτερ,
.... = Cg 59-64

Ἐγγυητὴς ἐγένου, θεομάκαρ,
100 πάντων τῶν ἐν τοῖς πταίσμασιν,
ὡς παρρησίαν τὴν πρὸς Θεὸν
κεκτημένος, ἱεράρχα·
διὸ αὐτὸν ἱκέτευε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

105-110 Δι᾽ ἀρετῆς καὶ λόγου καὶ σοφίας
.... = Cg 77-82

111-116 Τὸν τῆς γραφῆς βυθὸν διερευνήσας,
.... = Cg 83-88

f. 91ᵛ 117-122 Ἑρμηνευτὴς σοφὸς τῆς θεοπνεύστου
.... = Cg 71-76

τριαδ. 123-128 Οἱ τὴν τριάδα πίστει προσκυνοῦντες
.... = Cg 95-100

θεοτ. 129-134 Τὸν ποιητὴν τοῦ κόσμου συλλαβοῦσα
.... = Cg 101-106

---

heirm. γ΄ EE 104, n. 147, Andreae 93 ζωῆς ἐδείχθης, πάτερ,] ἐδείχθης πάτερ θεῖος Cg 105 Διδακτικὸς καὶ λόγου καὶ ἁγνείας Cg Ch Vb

---

88 πύλην Ez. 44,2; ὄρος Ps. 67,16 89 Zach. 4,2 90 Is. 19,1

ᾠδὴ δ'. *Ἐν μέσῳ δύο λῃστῶν* = Cg heirm.

135-139 Τῆς οἰκουμένης φωστὴρ
.... = Cg 107-111

140-144 Τῆς ἐκκλησίας ποιμὴν
.... = Cg 117-121

145-149 Διδασκαλίας πηγὴ
.... = Cg 112-116

f. 92 150 Ἐν τοῖς διδάγμασί σου,
τρισμάκαρ, τὴν οἰκουμένην ἅπασαν
κατελάμπρυνας, τίμιε πάτερ·
ὡς γὰρ χρυσὸν καὶ λίθον τίμιον ἐκομίσαντο
πάντες σου τὰ λόγια.

τριαδ. 155-159 Σὺν τῷ πατρὶ τὸν υἱὸν
.... = Cg 137-141

θεοτ. 160-164 Τὸν ποιητὴν τοῦ παντὸς
.... = Cg 142-146

ᾠδὴ ε'. *Ἐκ νυκτὸς ὀρθρίζοντες* = Cg heirm.

165-170 Ὡς χρυσὸς ἐξέλαμψας
.... = Cg 147-152

171-176 Τοῖς χρυσοῖς σου δόγμασι
.... = Cg 153-158

Ὡς πηγὴ ἀνέκλειπτος
διδάγματα, πάτερ,

heirm. δ' ΕΕ 104, n. 147, Andreae — 145 πηγὴ] ποιμὴν Cx
heirm. ε' ΕΕ 105, n. 148, Andreae — 177 Ὡς πηγὴν ἀνέκλυπτον Cx

153 Ps. 18,11; Prov. 8,19

‖ πάγχρυσα ἔβλυσας·
180 διὸ πάντας ἡμᾶς
τοὺς διψῶντας ποτίσας,
πρὸς τὴν ζωὴν ἐχειραγώγησας, σοφέ.

183-188 Τοὺς πτωχοὺς διέθρεψας
.... = Cg 177-182

189-194 Τῇ παγχρύσῳ γλώττῃ σου
.... = Cg 159-164

τριαδ. 195-200 Ἐν μονάδι ἅπαντες
.... = Cg 183-188

201-206 Τὴν παρθένον ἅπαντες
.... = Cg 189-194

ᾠδὴ ς'. *Κλύδων με πταισμάτων περιέχει, σωτήρ,* = Cg heirm.

207-212 Ἔλαμψας ὡς ἥλιος τοῖς λόγοις τοῖς χρυσοῖς
.... = Cg 195-200

f. 93 213-218 Γέγονας πηγὴ θεογνωσίας τοῖς πιστοῖς
.... = Cg 201-206

219-224 Θάλασσαν εἰργάσω τὴν θεόπνευστον γραφὴν
.... = Cg 213-218

225-230 Ἔφθασας τὸ κύτος τοῦ πελάγους τῆς γραφῆς
.... = Cg 207-212

231-236 Ἔπλησας τὸν κόσμον ὡς χρυσίον καθαρὸν
.... = Cg 219-224

τριαδ. 237-242 Ἅπαντες ὑμνήσωμεν τριάδα συμφυῶς
.... = Cg 225-230

f. 93v θεοτ. 243-248 Ἄφραστος ἡ σύλληψις τοῦ τόκου σου, ἁγνή,
.... = Cg 231-236

heirm. ς' ΕΕ 105, n. 148, Andreae — 225 κῆτος Cx Cg 237 τριάδα συμφυῶς] τὴν τριάδα συμφώνως Cg Ch Vb 243 τόκου] τοκετοῦ Ch Vb

ᾠδὴ ζʹ. *Πῦρ φλέγον ἐν καμίνῳ ἐξετινάσσετο*

249-253 Πῦρ βλύζων τοῖς σοῖς λόγοις, ἱεροφάντορ σοφέ,
.... = Cg 237-241

Χρυσώνυμόν σε πάντα, πάτερ Χρυσόστομε,
255 τοῦ κόσμου τὰ πέρατα
ἀληθεύει λέγοντα·
τὴν ἀρετὴν γὰρ ὁρμίσκον
ποιήσας αὐτῷ, πάτερ, ἀπέθηκας.

259-263 Τῷ μύρῳ προεχρίσθης, πάτερ, τῆς χάριτος
.... = Cg 257-261

264-268 Ἤισχυνας Ἰουδαίων καὶ τῶν Ἑλλήνων σοφούς
.... = Cg 242-246

269-273 Ἔδειξας τοῖς λόγοις σου, πάτερ Χρυσόστομε,
.... = Cg 247-251

Ὡς μέταλλον χρυσίου, πάτερ, ἐξέλαμψας,
f. 94 275 γέγονας, || μακάριε,
πτωχὸς ἐν τῷ πνεύματι,
δι' οὗ πλουτισθέντες, αἰσίως
τὴν ἄνω ζωὴν κατεπλουτίσθημεν.

τριαδ. 279-283 Τριάδα παναγίαν πάντες ὑμνήσωμεν,
.... = Cg 267-271

θεοτ. 284-288 Παρθένον σε πρὸ τόκου καὶ μετὰ τόκον ἁγνὴν
.... = Cg 272-276

---

heirm. ζʹ EE 105, n. 147, Andreae heirm. Πῦρ φλέγον ἐν καμίνῳ] Πῦρ φλογίζον κάμινον Cg Ch 249 ἱεροφάντορ σοφὲ] πάτερ χρυσόστομε Cg Ch 254 πάντες Cx 259 Τὸ μύρον Cx 269 τοῖς λόγοις σου] τοῖς σοῖς λόγοις Cg Ch Vb 284 ἁγνὴ Cg Ch

ᾠδὴ ηʹ. *Τὸν ἐκτείναντα Θεὸν*

289-296 Τὸν ζωγρεύσαντα ἡμᾶς
.... = Cg 277-284

297-304 Τὸν ἀνοίξαντα ἡμῖν
.... = Cg 285-292

305-312 Τὸν ζωγραφήσαντα ἡμῖν
.... = Cg 293-300

f. 94ᵛ Τὸν ἑλκύσαντα ἡμᾶς
ἐκ τῆς ἀγνοίας τοῦ σκότους
315 καὶ σαφηνίσαντα πᾶσι
καὶ εὐεργετήσαντα ἡμᾶς,
ὡς φωστῆρα μέγαν
καὶ ἥλιον λάμποντα ἐν τῷ κόσμῳ
Ἰωάννην ᾠδαῖς,
320 πιστοί, μακαρίσωμεν.

321-328 Τὸν ἐκ πέτρας τῆς γραφῆς
.... = Cg 301-308

τριαδ. 329-336 Τὸν πατέρα καὶ υἱὸν
.... = Cg 309-316

θεοτ. 337-344 Τὴν μητέρα τοῦ Θεοῦ
.... = Cg 317-324

ᾠδὴ θʹ. *Τὴν πυρένδροσον πάλαι*

345-348 Τὴν χρυσήλατον ὄντως
.... = Cg 325-328

---

heirm. ηʹ EE 105, n. 148, Andreae; heirm. integer in Cx 305 ἡμᾶς Cx 315 σαφανίσαντα Cx
heirm. θʹ EE 106, n. 148, Andreae

)5 349-352 ‖ Τὴν φιλάργυρον γνώμην

.... = Cg 329-332

353-356 Ἀρετὴν ἐξασκήσας

.... = Cg 333-336

357-360 Ἀνυμνοῦμεν τὴν μνήμην

.... = Cg 337-340

361-364 Μυστικὴν μυροθήκην

.... = Cg 341-344

Θησαυροὺς μὲν τῶν λόγων
ἤνοιξας, θεομάκαρ,
τῶν παθῶν τε ταμεῖα ἔκλεισας
καὶ διέδωκας, πάτερ, πᾶσι τὴν σοφίαν σου.

Ὡς μὲν πέτρας λαξεύσας
370 πάντων τὰς διανοίας,
ὡς χρυσὸν δὲ τὴν γραφήν, Χρυσόστομε,
ἐναπέθου τὸν θεῖον πλοῦτον τοῖς πιστεύουσιν.

373-376 Παριστάμενος, πάτερ,

.... = Cg 345-348

δ. 377-380 Ἐν τριάδι μονάδα

.... = Cg 349-352

)5ᵛ θεοτ. 381-384 ‖ Ἐξ ἀχράντων λαγόνων

.... = Cg 353-356

---

371 χρυσὸς Cx

27 IAN. *CANON* XXXIII (1)

IN TRANSLATIONEM RELIQUIARUM S. JOANNIS CHRYSOSTOMI

Crypt. Δ.α. XV	= Cg,	ff. 205-213ᵛ
Paris. gr. 13	= Q,	ff. 238-239
Paris. gr. 1572	= Pm,	ff. 256-261
Marc. gr. II, 166	= Z,	ff. 265-265ᵛ
Barb. gr. 460	= Bd,	ff. 12ᵛ-14
Sinait. gr. 597	= Σ,	ff. 90-92

Ὁ κανών.

Ἦχος πλ. δ'. *Ἆισμα ἀναπέμψωμεν, λαοί,*

* Πλοῦτον
ἐναπέθου τῇ ψυχῇ
τὸν θησαυρὸν τοῦ πνεύματος,
πάτερ Χρυσόστομε,
5 ἐξ οὗ τὴν ἐκκλησίαν
ποτίζεις τοῖς λόγοις σου,
ἥτις σου ἐπαξίως
ἑορτάζει
τὴν ἔνδοξον μνήμην.

---

tit. Ἕτερος κανὼν τοῦ Χρυσοστόμου Cg Εἰς τὸν ὄρθρον... κανόνες τῆς ὀκτωήχου καὶ τοῦ ἁγίου εἰς ς' Pm; traditio canonis in cdd. et troparioruin ordine et amplitudine differt; de hoc in Commentario tractavimus

heirm. α' EE 225, n. 323, Germani 1-9 troparium MR III,389 2 τῇ ψυχῇ] σῇ ψυχῇ Q MR τὴν ψυχὴν Bd 3 τῶν θησαυρῶν Q τοῦ πνεύματος] τῆς χάριτος Bd 5 ἐκ σοῦ Σ 6 ποτίζεις] πλουτίζεις Q Σ MR φωτίζεις Bd 7 ἥτις σου om. Pm 9 ἐπάνοδον θείαν MR 1-9 troparium Πλοῦτον ἐναπέθου his vv. substituit Z: Δεῦτε / πάντες σήμερον, πιστοί, / ἐνθέως εὐφημήσωμεν / Ἰωάννην τὸν θεῖον / Χριστοῦ τὸν ποιμενάρχην, / ὡς βλύσαντα δόγματα / πάγχρυσα μετανοίας / ἐκ χρυσέων / καὶ θείων χειλέων.

10 Σάλπιγξ
ἀνεδείχθης λογικὴ
φωνοῦσα τὰ ἀπόκρυφα,
πάτερ Χρυσόστομε,
Χριστοῦ τῇ ἐκκλησίᾳ·
15 τὸ ἅγιον στόμα σου
ὅθεν τῆς μετανοίας
ἀναβρύει
τὰ τίμια ῥεῖθρα.

* Λόγοις
20 κατεπλούτισας χρυσοῖς
τὴν ἱεράν, Χρυσόστομε,
τῆς ἐκκλησίας στολήν,
ἣν πρῴην ἐξ αἱμάτων
Χριστὸς προεξύφανεν·
25 ὅθεν σου ἐπαξίως
ἑορτάζει
τὴν ἔνδοξον μνήμην.

* Πέτρα
ἀνεδείχθης ἀκλινὴς
30 καὶ στῦλος καὶ ἑδραίωμα
τῆς ἐκκλησίας Χριστοῦ
τοῦ ἀκρογωνιαίου,
f. 205ᵛ ἐν ᾧ || ᾠκοδόμησας
λόγους θεοσεβείας
35 ὥσπερ λίθους,
σοφὲ ἱεράρχα.

10-18 troparium desideratur in Pm Z Σ 12 ἀπόκρυφα] ἀπόρρητα Q Bd 17 ἀναβρύεις Bd 19-27 troparium MR III, 389; ipsum in Pm Bd deest 20 κατεπλούτισας] κατεποίκιλας Q Z Σ MR χρυσοῖς] σοφοῖς Σ 27 ἐπάνοδον θείαν MR 28-36 troparium MR III, 389; idem om. Pm Bd; eadem stropham Σ his vv. substituit: Κλῆμα / ἐξ ἀμπέλου λογικῆς / θεόφυτον ἐβλάστησας, / πάτερ Χρυσόστομε, / ἐν γῇ τῆς ἐκκλησίας, / τοὺς τρόπους ὡς βότρυας, / λόγους δὲ ὥσπερ οἶνον / ἐκ χειλέων / ἡμῖν ἀποστάζων. 29 ἀκλινὴς] νοητὴ Q

---

30 I Tim. 3,15 31-32 Eph. 2,20

Γλώσση
μεταλλεύων τὸν χρυσόν,
μακάριε Χρυσόστομε,
40 τὸν θησαυρὸν τῆς γραφῆς,
βυθὸν θεωρημάτων
καὶ πάγχρυσα δόγματα,
πάτερ, τῇ ἐκκλησίᾳ
ἐναπέθου
45 τοῖς θείοις σου λόγοις.

« Δεῦτε
ὑπαντήσωμεν Χριστῷ,
νεκροὶ τῷ ζῶντι δέσμιοι »,
κράζεις, Χρυσόστομε,
50 βοῶν ἐν ἐκκλησίαις·
« ἰδού, ἡ μετάνοια
ἤνοικται τοῖς ποθοῦσιν
ἐπιστρέφειν
ἀπὸ ἁμαρτίας ».

τριαδ. 55 Δόξα
τῷ πατρὶ καὶ τῷ υἱῷ
καὶ τῷ ἁγίῳ πνεύματι
εἰς τοὺς αἰῶνας, ἀμήν·
Θεῷ τῷ ἐν τριάδι
60 αὐτῷ προσκυνήσωμεν,
ᾄδοντες καὶ βοῶντες·
« ἅγιος εἶ,
Θεὲ παντοκράτορ ».

θεοτ. * Κλῖμαξ
65 ἀνεδείχθης νοητή,

37-45 troparium desideratur in Q Z Bd Σ 43 τῆς ἐκκλησίας Pm 45 τῶν θείων σου λόγων Pm 46-54 troparium om. Q Pm Z Σ 53 ἐπιστρέφων Cg 55-63 τριαδ. om. Z Bd Σ 64-72 θεοτ. MR I, 291 65 νοητὴ] λογικὴ Q Pm

---

64-66 Gen. 28,12

ἣν Ἰακὼβ τεθέαται
ὁ ἐκλεκτὸς τοῦ Θεοῦ,
δι' ἧς ἀρρήτῳ λόγῳ
κατῆλθεν ὁ ἄσαρκος
70 σὰρξ ἀτρέπτως γενέσθαι
ὑπὲρ λόγον
ἐκ σοῦ, θεοτόκε.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,
ὁ πρὸ τῶν αἰώνων

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,
75 ὁ τοῦ Χρυσοστόμου
τὴν παγκόσμιον μνήμην
ἐν τῇ ἐκκλησίᾳ μεγαλύνας καὶ δοὺς δι' αὐτοῦ
τὴν ζέσιν τῆς μετανοίας
f. 206 ‖ τοῖς προστρέχουσι θερμῶς
80 τοῖς ἐμοῖς οἰκτιρμοῖς.

Στόμα θεόφθογγον
ἡ θεία χάρις σοι ἐδωρήσατο,
γλῶσσαν προσφωνοῦσαν
τὴν σωτήριον ζωήν,
85 λόγον ἐκκαλύπτοντα τὰ θεῖα μυστήρια,
καρδίαν εὐθηνουμένην
θεωρίαις πρακτικαῖς,
ἱερώτατε.

---

66 τεθέαται] ἑώρακε Σ; contra hoc θεοτ. invenies in Z: Βάτον / προεώρα Μωυσῆς / ἀφλέκτως καιομένην σε / τῷ τῆς θεότητος / πυρί, παρθενομῆτορ· / διὸ καὶ ἀνέκραγεν· / « ὄψομαι διαβαίνων / ἐν τῷ ὄρει / τὸ ὄραμα τοῦτο ». Bd aliud dissimile θεοτ. praebet: Φρίττω / τὸ μυστήριον, Χριστέ, / τῆς σῆς συγκαταβάσεως, / ὅτι φύσει Θεός, / ἠνέσχου ἐκ παρθένου / τεχθῆναι ὡς ἄνθρωπος, / ἵνα σώσῃς (σῶσει cd.) τὸν κόσμον / τῆς δουλείας τοῦ ἀντικειμένου.
ode β' deest in Q Pm Z Bd Σ
heirm. β' EE 225, n. 323, Germani 83 προσφωνήσας cd.

Ἄλλον Μωσέα σε
90 Χριστὸς ἀνέδειξεν, ἱερώτατε,
πλάνης αἰγυπτίας
λυτρωσάμενον ἡμᾶς
καὶ δημαγωγήσαντα εἰς γῆν ἁγιάσματος
καὶ πλάκας θεοχαράκτους
95 διαθέμενον ἡμῖν
τὰ σὰ λόγια.

Ἄλλην εἰργάσατο
τῇ γλώσσῃ θάλασσαν ὁ Χρυσόστομος
διασχιζομένην
100 τὴν θεόπνευστον γραφὴν
καὶ διαβιβάζουσαν τὸν νοῦν τὸν ὁρῶντα Θεόν,
ὡς ἄλλον Ἰσραηλίτην,
εἰς τὴν γῆν τὴν ἀγαθὴν
τῶν νοημάτων αὐτοῦ.

105 Σὺ τὴν μετάνοιαν
πᾶσιν ἐτράνωσας, θεοδίδακτε,
σὺ παρεγγυήσω
τοῖς ἐν γῇ ἁμαρτωλοῖς,
πάσης ἀπογνώσεως ὁδὸν ἀποκλείοντας,
110 προστρέχειν ἐν μετανοίᾳ
τοῖς πλουσίοις οἰκτιρμοῖς
τοῦ σωτῆρος ἡμῶν.

Μέγα καὶ τίμιον
σκεῦος τῆς χάριτος ἀναδέδεικται
115 ὁ ἱεροφάντης
τῶν δογμάτων τοῦ Χριστοῦ,
πᾶσαν τὴν τοῦ πνεύματος δεξάμενος ἔλλαμψιν·
διόπερ τῇ οἰκουμένῃ
δαψιλεύεται τὰ ῥεῖθρα
120 τῆς ἁγίας γραφῆς.

τριαδ. Πάτερ ἀγέννητε,
υἱὲ συνάναρχε τοῦ γεννήτορος,
πνεῦμα τὸ ἀχρόνως
συνεκλάμψαν τῷ υἱῷ,

125 ἄναρχε τριάς, ἀπερινόητε, σύνθρονε,
ἀμέριστε τῇ οὐσίᾳ,
ἀδιαίρετε τῇ φύσει,
σῶσον πάντας ἡμᾶς.

θεοτ. Ἔγνωμεν, ἔγνωμεν
130 ὅτι Θεὸς ἡμῶν σὺ εἶ, κύριε,
ὁ ἐκ τῆς παρθένου
γεγονὼς ὥσπερ οὐκ ἦς,
μείνας δὲ ὃ ἦς καὶ μετὰ σάρκωσιν, φύσει Θεὸς
ἀφύρτως, ἀδιαιρέτως,
135 ἡνωμένος ταῖς οὐσίαις
καθ᾽ ὑπόστασιν.

f. 206v ᾠδὴ γ´. *Οὐκ ἔστιν ἅγιος*
ὡς ὁ κύριος

* Χρυσέοις τοῖς δόγμασι
κατεχρύσωσας, σοφέ,
f. 207 τῆς || ἐκκλησίας τὸν στέφανον
140 καὶ ταύτης ἐποίκιλας
τὴν εὐπρέπειαν, πάτερ,
ἐνθέοις διδάγμασι·
διό σε κατ᾽ ἀξίαν τιμᾷ.

Ἀνοίξας τὸ στόμα σου,
145 καθὼς γράφει ὁ Δαβίδ,
πνεῦμα ἅγιον εἵλκυσας,
παμμάκαρ Χρυσόστομε,

---

127 ἀδιαίρετον Cg

heirm. γ´ EE 225, n. 323, Germani; heirm. integer in Pm 137-143 troparium MR III, 390; idem om. Σ 137 τοῖς] σου Q τοῖς om. Pm Z Bd MR δόγμασι] ἔπαισι Z διδάγμασι Bd MR 138 κατεχρύσωσας] κατεποίκιλας Bd 140 ἐποίκιλας] ἐφαίδρυνας Bd 141 πάτερ] πᾶσαν Q 142 ἐνθέοις σου δόγμασιν Cg ἐνθέοις σου ῥήμασι Q τῷ κάλλει τῶν λόγων σου Pm Z MR 143 κατ᾽ ἀξίαν τιμᾷ] κατὰ χρέος τιμᾶ Q μακαρίζομεν Bd 145 γράφει] ψάλλει Pm Z Bd Σ ὁ om. Bd Σ

144-146 Ps. 118,131

καὶ τὴν ἄρρητον γνῶσιν
ἐξέθου τοῖς λόγοις σου,
150 δι᾽ ὧν καὶ φωτιζόμεθα.

Διάρας τὸ κάλυμμα
τῆς ἀγνοίας τῶν φρενῶν,
τῆς γραφῆς τὴν ἀσάφειαν
ἡμῖν ἀπεκάλυψας
155 καὶ τὴν ἄγραφον, πάτερ,
σοφίαν τοῖς λόγοις σου
ἐνθέως διεχάραξας.

* Μυρίζουσιν, ὅσιε,
ὥσπερ κρίνα ἐν ἀγρῷ,
160 οἱ ἀτμοὶ τῶν δογμάτων σου,
δι᾽ ὧν εὐηρέστησας
τῷ Θεῷ ἐπαξίως,
κινδύνοις καὶ θλίψεσι
καὶ γῇ προσομιλήσας μακρᾷ.

165 Εἰς τρίτον ἀνέδραμες,
ὥσπερ Παῦλος, οὐρανὸν
νοητῶς δι᾽ ἀγάπης,
ἐλπίδος καὶ πίστεως,
οὐρανὸν τὴν καρδίαν
170 κτησάμενος, ἅγιε,
ἐν ᾗ τὸ φῶς οἰκεῖ, ὁ Χριστός.

---

150 δι᾽ ὧν] ἐξ οὗ Cg διὸ Bd 151-157 troparium deest in Z Bd; in Q vero pro Διάρας τὸ κάλυμμα hoc troparium legitur: Ὡς ἄμπελος γέγονας / εὐκληματοῦσα ἐπὶ γῆς, / ἐκ καρποῦ τῆς κοιλίας σου, / θεόφρον Χρυσόστομε, / οἶνον βλύσας καὶ πάντας / μεθύσας τοῖς λόγοις σου / ἐνθέως, πάτερ ὅσιε. 154 ἀνεκάλυψας Σ 157 διεχάραξας] διετύπωσας Pm 158-164 troparium MR III, 390; idem om. Pm Bd Σ: Σ autem in tertia sede troparium iam super relatum (Ὡς ἄμπελος . . .), sed variis lectionibus discrepans, ostendit; ipsum huc referimus: Ὡς ἄμπελος γέγονας / εὐκληματοῦσα ἐπὶ γῆς, / ἐκ καρποῦ τῆς κοιλίας σου, / παμμάκαρ Χρυσόστομε, / υἱοὺς καὶ θυγατέρας / ἀσπόρως τῷ κτίστῃ σου / γεννήσας τῷ βαπτίσματι. 159 ἐν] τοῦ Z MR ἀγροῦ Z 160 δογμάτων] καμάτων Q MR 161 διὸ εὐαρέστησας Cg 162 ἐπαξίως] ἱεράρχα MR 165-171 troparium om. Q Z Σ 166 ὥσπερ] ὡς ὁ Bd 170 ἅγιε] χρυσόστομε Bd

---

165-166 II Cor. 12,2

* Ὡς ἄνθη κυπρίζουσιν
οἱ τῶν λόγων σου καρποί,
νοητῶς ἀποστάζοντες
175 τὸν θεῖον, Χρυσόστομε,
γλυκασμὸν τῆς σοφίας
καὶ νῦν εὐωδιάζοντες
τὰς πρακτικὰς τῶν σῶν ἀρετῶν.

τριαδ. Τριὰς ὁμοούσιε,
180 τρισυπόστατε μονάς,
ἡ ἀμέριστος δόξα,
ἡ ἄκτιστος δύναμις,
ἡ ἀσώματος φύσις,
τὸν κόσμον σου λύτρωσαι
185 ἐκ πάσης περιστάσεως.

θεοτ. * Ἀμέριστος ἔμεινας,
εἰ καὶ σάρκα δι' ἡμᾶς
ἐκ παρθένου ἐφόρεσας·
διὸ καὶ ἐν δύο σε
190 προσκυνῶ ταῖς οὐσίαις
καὶ δύο θελήμασι
καὶ δύο ἐνεργείαις, Χριστέ.

172-178 troparium MR III,391; ipsum om. Q Pm Z Bd Σ 172 κυ-
πρίζουσι] μυρίζουσι MR 175 χρυσόστομον Cg 178 ἡμᾶς ταῖς πρακτικαῖς
ἀρεταῖς MR 179-185 τριαδ. deest in Z Bd Σ; Q vero dissimile τριαδ. tradit:
Ἅγιος, ἅγιος, / ἅγιος εἶ, ὁ Θεός, / ἡ τριὰς ἡ ἀχώριστος, / μονὰς ἡ ὁμότιμος, / τὸ
ἀγέννητον κράτος, / τὸ ἄχρονον γέννημα, / τὸ πνεῦμα τὸ πανάγιον. 184-185 pro
τὸν κόσμον... περιστάσεως legitur in Pm: τῷ κόσμῳ σου δώρησαι / πταισμάτων
τὴν συγχώρησιν 186-192 θεοτ. MR III, 391; Pm aliud θεοτ. profert, vide
p. 433 et Bd hoc dissimile θεοτ. servat: Ὡς πύλην σωτήριον TR 669 187 τῆς
τριάδος σαρκωθεὶς Z δι' ἐμέ Q Σ MR 188 ἐκ παρθένου σωτὴρ ἡμῶν Z
191 θελήσεσι Σ MR τὰ καθ., quae post oden γ' Cg tradit, invenies in pp. 391-
393; post oden γ' Q profert κάθ. Τῆς ἀρρήτου σοφίας... MR III, 11, sed
in sanctum Basilium dicatum; Pm aliud κάθ. profert, cfr. p. 433; in Z legitur
κάθ. Τὴν σοφίαν ἐξ ὕψους MR III, 392 et in Bd illud: Ὁ πάγχρυσος κάλαμος
quod leges in p. 391

172 Cant. 2,13

f. 208 ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου*

* Νέος Ἀβραὰμ
ἐδείχθης, ἱεράρχα,
195 ἄλλον Ἰσαάκ,
τὸν βίον θυσιάσας
f. 208v καὶ μυστικὴν ὁλο||κάρπωσιν ἀνενέγκας
ἐν τῷ πυρὶ τῆς συνειδήσεως.

* Σὺ τὸν Ἰακὼβ
200 ζηλώσας, θεοφόρε,
κλῖμαξ πρακτικῆς
ἐδείχθης πολιτείας,
τὰς ἀναβάσεις τῶν θείων σου νοημάτων
ἐν τῇ καρδίᾳ σου τιθέμενος.

205 Σὺ τὸν Ἰωσὴφ
μιμούμενος τοῖς τρόποις,
στήλη ἀληθῶς
ἐγένου σωφροσύνης
σιτοδοτήσας τῷ κόσμῳ, ἱεροφάντορ,
210 τὴν ζωτικὴν τροφὴν τῆς χάριτος.

Σὺ τοῦ Ἠλιοὺ
μιμούμενος τὸν ζῆλον,

heirm. δ' EE 224, n. 321, Joannis 193-198 troparium MR III,
393; idem desideratur in Z Bd Σ; Σ ut primum aliud troparium servat:
Ῥάβδῳ μυστικῇ MR III, quod in Pm invenies, vide p. 433; idem in quarta
sede Q traditur 194 γενόμενος τρισμάκαρ Pm 199-204 troparium MR
III,393; ipsum deest in Σ, qui ut secundum hoc troparium refert: Ἄλλος
Ἀαρὼν / ἐδείχθης, ἱεράρχα, / ἔνδον τῆς σκηνῆς / χωρῶν καὶ τῶν ἀδύτων / καὶ τῷ λο-
γίῳ τῆς γλώττης σου προμηνύων / πνευματικῶς Χριστοῦ τὴν δήλωσιν. 199 τῷ Pm
201 πρακτικὴ Bd 202 ἐδείχθης] ἐγένου Pm πολιτείας] θεωρίας Pm Z
205-210 troparium om. Pm Σ 207 ἀληθοῦς Q Z 208 ἐγένου] ἐδείχθης Bd
209 σιτοδοτήσας] καρποδοτήσας Bd ἱεροφάντορ] ἐν εὐσεβείᾳ Bd 210 τροφὴν]
τρυφὴν Bd τῆς χάριτος] τοῦ πνεύματος Q τῶν θείων γραφῶν Z τῆς πίστεως Bd;
Bd vero ut tertium troparium tradit: Δεύτερος Ἰὼβ quod in Pm invenies,
vide p. 434 211-216 troparium om. Q Pm Bd Σ

194-196 Gen. 22,1-10 199-201 Gen. 28,12 205-208 Gen. 41,39
211-215 III Regn. 20,17-23

ἄλλον Ναβουθὲ
ἀνέδειξας τὴν χήραν
215 καὶ κατεδίκασας, πάτερ, ὡς Ἰεζάβελ,
τὴν βασιλίδα ἀνομήσασαν.

Ἄλλος Ἰησοῦς
γενόμενος τοῖς τρόποις,
ὅλην τὴν γραφὴν
220 ὡς γῆν ἐπαγγελίας
κατασκοπεύσας τοῖς λόγοις σου, θεοφάντορ,
ἐκληροδότησας τῷ νέῳ λαῷ.

Ἕτερος Δαβὶδ
ποιμὴν ἐδείχθης πρᾶος,
225 ἄλλον Γολιὰθ
τῇ πίστει σφενδονήσας,
τὸ τῶν αἱρέσεων σύστημα τῇ σφενδόνῃ
τῇ θεοπλόκῳ τῶν δογμάτων σου.

Ἄλλος Δανιὴλ
230 ὑπάρχων, Ἰωάννη,
ἐπιθυμιῶν
ἀνὴρ ἀνηγορεύθης
καὶ ὡς λεόντων τὰ στόματα τῶν ἀδίκων
τῇ σῇ ἐνέφραξας θερμῇ προσευχῇ.

τριαδ. 235 Ἄναρχε τριάς, *
ἀμέριστε τῇ δόξῃ,
σύνθρονε μονάς,
ἀσύγχυτε προσώποις,
ἡ ὑπεράρχιος φύσις καὶ βασιλεία,
240 σῶζε τοὺς πίστει προσκυνοῦντάς σε.

θεοτ. * Σὲ διὰ παντός,
παρθένε θεοτόκε,

---

214 χεῖρα Cg χήρα Z 217-222 troparium deest in Q Pm Z Bd 223-234 troparia desunt in Q Pm Z Bd Σ 235-240 τριαδ. desideratur in Z Bd Σ 236 τῇ δόξῃ] οὐσίᾳ Q Pm 238 ὁμότιμε τῇ φύσει Q ὁμότιμε τῇ δόξει Pm 239 φύσις] δόξα Q 240 προσκυνοῦντας] ἀνυμνοῦντας Pm 241-246 θεοτ. MR V,115; diversum θεοτ. in Pm, vide p. 434; Z Bd aliud θεοτ. tradunt: Χαῖρε, τοῦ Θεοῦ εὐρύχωρον... TR 91

223-226 I Regn. 17,49 229-232 Dan. 10,11 233-234 Dan. 6,16-22

πάντες οἱ πιστοὶ
συμφώνως ἀνυμνοῦμεν
245 ὡς ἀσφαλῆ καὶ ὑπέρμαχον προστασίαν
καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

f. 209 ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

* Τὴν ἱερὰν στολήν σου
κατακοσμήσας τοῖς ἄθλοις τῶν πόνων σου,
ἔδειξας λαμπροτέραν
250 τὴν ἱεραρχίαν, Χρυσόστομε.

* Ἀθλητικὸν ἀγῶνα,
ἱερομύστα, γενναίως διήνυσας,
πόλεσιν ἀοικήτοις
καὶ ὑπερορίαις στελλόμενος.

f. 209v 255 * ‖ Τῇ ἀστραπῇ τῶν λόγων
τὴν ὑπερκόσμιον γνῶσιν ἐβρόντησας,
μύστα τῶν ἀπορρήτων,
ὑετοὺς δογμάτων ὀμβρήσας ἡμῖν.

Χρυσοειδεῖς ἀκτῖνας
260 τῇ οἰκουμένῃ ἀστράπτων τοῖς λόγοις σου,
πάγχρυσε ἱεράρχα,
πάντα καταυγάζεις τὰ πέρατα.

Ὡς ἐν πυρὶ χωνεύσας
τῶν ἱερῶν σου λογίων τὸ δόκιμον,
265 ὄντως, πάτερ, ἀξίως
νῦν ἐπονομάζῃ Χρυσόστομος.

---

245 προστασίαν] σωτηρίαν Q 246 καὶ τῶν ψυχῶν ἡμῶν τὴν λύτρωσιν MR σωτηρίαν] προστασίαν Q

heirm. ε' EE 226, n. 323, Germani 247-250 troparium MR III, 394; aliud troparium refert Z: ⟨Σ⟩ὲ ἀρετῆς εἰκόνα, quod in Pm invenies, vide p. 434 250 τῇ ἱεραρχίᾳ Q 251-254 troparium MR III, 394; idem deest in Pm Σ 252 διήνυσας] διήνεγκας Q 253 ἀοικήτοις] ἀνηκέστοις Cg 254 ὑπερωρίας Bd 255-258 troparium MR III, 394; idem om. Pm Z 257 μύστα] μετὰ Bd 259-262 troparium deest in Pm Z Bd Σ 260 ἀστράπτεις Q 262 καταυγάζων Q 263-266 troparium om. Q Pm Z Bd Σ

Τοὺς ἱεροὺς ἱδρῶτας
καὶ τοὺς ἀμέτρους ἀγῶνάς σου, ὅσιε,
τίς ἀξίως ὑμνήσει;
270 Παύλου γάρ εἰσιν εἰκονίσματα.

τριαδ. Τὴν ὑπὲρ νοῦν οὐσίαν
καὶ τρισυπόστατον φύσιν δοξάσωμεν,
ἄναρχον τὸν πατέρα
καὶ υἱὸν καὶ πνεῦμα τὸ ἅγιον.

θεοτ. 275 * Ἄνευ σπορᾶς τεκοῦσα,
θεογεννῆτορ, τὸν ἄσπορον γόνον σου,
μόνη ὤφθης παρθένος
βρέφος ὑπομάζιον φέρουσα.

210 ᾠδὴ ς'. *Ὡς τὸν προφήτην ἐρρύσω*

* Ὥσπερ χρυσὸν ἐκ μετάλλων,
280 ἐκ τοῦ βάθους, σοφέ, τῆς καρδίας σου
τὰ πάγχρυσα δόγματα
ἡμῖν ἐθησαύρισας
καὶ κατέλιπες
πλοῦτον τὰ σὰ λόγια.

285 Ὡς τὰς ἀβάτους καρδίας
ὁμαλίσας τοῖς λόγοις, Χρυσόστομε,
καὶ σπόρον ἀνήροτον
τὴν γνῶσιν τὴν ἄγραφον

267-270 troparium deest in Q Bd 267 ἱδρῶτας] καμάτους Pm 268 τοὺς om. Pm ἀμέτρους om. Z 271-274 τριαδ. desideratur in Z Bd Σ 272 δοξάζομεν Pm ὑμνήσωμεν Q 275-278 θεοτ. MR III, 394; Z Bd vero aliud θεοτ. praebent Ὡς βασιλίδα πάντες MR I,31 275 σπορᾶς] φθορᾶς Σ MR 276 γόνον] τόκον Q Pm Σ MR

oden ς' Pm aliam ac Cg Q Z Bd Σ; ipse Σ vero εἱρμὸν ἄλλον tradit, quem in Pm invenies, vide p. 435.

heirm. ς' EE 226, n. 323, Germani; heirm. integrum profert Q 279-284 troparium MR III, 395 279 χρυσὸς Bd 280 βάθους] βυθοῦ Bd 285-290 troparium om. Bd

ἀποθέμενος,
290 τοὺς καρποὺς τῶν πόνων τρυγᾷς.

* Εἰ καὶ νεκρὸς εἶ ἐν τάφῳ,
ἀλλ' ὡς ζῶν ἐν τῷ κόσμῳ, Χρυσόστομε,
κηρύττεις μετάνοιαν
καὶ γράφεις συγχώρησιν
295 ἐγγυώμενος
τοῖς μετανοοῦσι θερμῶς.

* Τὴν παναγίαν σου μνήμην
ὁ λαὸς ἑορτάζων, Χρυσόστομε,
δοξάζει τὸν κύριον
300 τὸν σὲ ἐκλεξάμενον
καὶ καλέσαντα
εἰς τὰς αἰωνίους σκηνάς.

θεοτ. * ‖ Ὁ τεχθεὶς ἐκ παρθένου
καὶ τὸν κόσμον φωτίσας, Χριστὲ ὁ Θεός,
305 κἀμὲ τῶν πταισμάτων μου
ῥῦσαι ὡς φιλάνθρωπος
καὶ κυβέρνησον
τὴν ζωήν μου δέομαι.

---

290 πόνων τρυγᾷς] πόνων σου Cg 291-296 troparium MR III,395; idem deest in Z Σ 291 εἶ om. Bd 292 ἀλλ' ὡς] ἀλλὰ Bd 296 θερμῶς] θεῷ Bd 297-302 troparium MR III, 395; ipsum om. Σ 298 ἑορτάζει Cg Q Bd 299 δοξάζων Q 299-302 pro δοξάζει ... σκηνάς. in Bd legitur: καὶ σπόρον ἀνήρωτον / τὴν γνῶσιν τὴν ἄβρωτον / ἀποθέμενος / τοὺς καρποὺς τῶν πόνων σου, cfr. vv. 287-290 302 εἰς] πρὸς Q ante θεοτ. Q hoc τριαδ. ostendit: Σὺν τῷ υἱῷ τὸν πατέρα / καὶ τὸ ἅγιον πνεῦμα δοξάσωμεν, / τριάδα ἀχώριστον, / μονάδα ὁμότιμον / τὴν παρέχουσαν / ἱλασμόν ἡμῖν τοῖς πιστοῖς. 303-308 θεοτ. MR I,31; idem deest in Σ; dissimile θεοτ. in Q Z Τὸν ἐν χερσὶ τῆς παρθένου MR III, 395; Bd praeterea hoc θεοτ. praebet: Χαῖρε, ἡ μόνη τεκοῦσα / τὸ ὑπέρθεον φῶς, θεοτόκε ἁγνή, / χαίροις ἡ ἀνοίξασα / τὴν πάλαι κλεισθεῖσάν μοι / διὰ βρώσεως / πύλην τῆς ἀφθάρτου ζωῆς. τὰ κοντάκ., quae post oden ς' praebet Cg, vide in pp. 398-399; in Q Z Bd invenitur κοντάκ. Ηὐφράνθη (Εὐφράνθη Bd) μυστικῶς et οἶκ. Ἡ λαμπὰς ἡ τῶν ἔργων μου MR III, 391; Pm vero diversum κοντάκ. nobis subiicit: vide p. 436

f. 211 ᾠδὴ ζ'. *Ὁ τοὺς παῖδας δροσίσας ἐν καμίνῳ*

* Ὡς χρυσὸς ἐν καμίνῳ τῶν κινδύνων
310 πυρωθείς, ἱεράρχα,
οὐκ ἐφλέχθης, οὐκ ἐχωνεύθης·
δοκιμασθεὶς δέ,
f. 211v || ἔδειξας ὑπερευρύζους τοὺς πόνους σου.

* Οὐκ ἐνάρκησας, πάτερ, τοὺς ἀγῶνας,
315 οὐκ ᾐσχύνθης δυνάστας,
οὐ προέκρινας ἀδικίαν
δικαιοσύνης,
ὅσιε, καὶ μαρτυρεῖ ὁ τῆς χήρας ἀγρός.

* Ἀκριβὴς προεγνώσθης θεηγόρος
320 καὶ κοινωνὸς προωρίσθης,
ἀντιλήπτωρ τῶν ἐν τῷ κόσμῳ
ἡμαρτηκότων,
ὅσιε, παρεγγυῶν τὴν μετάνοιαν.

Τὴν ἐν λόγοις σοφίαν ᾑρετίσω,
325 τὴν δι' ἔργων ἐκτήσω
παρρησίαν πρὸς τὸν σωτῆρα·
διὸ κατ' ἄμφω
γέγονας τελειωτὴς τῶν αὐτοῦ ἐντολῶν.

Ὡς ἐν γῇ καὶ θαλάσσῃ τοὺς ἀγῶνας
330 ἐνδειξάμενος, πάτερ,
τὰ βραβεῖα καὶ τοὺς στεφάνους
νομίμως δέχου
ἄνωθεν παρὰ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.

---

heirm. ζ' EE 226, n. 324 et EE 229, n. 328, Germani; heirm. integer in Q 309-313 troparium MR III, 397; idem deest in Pm 309 ὡς] ὥσπερ Q 310 πυρακτωθεὶς Q 312 ἀλλ' ὡς χρυσὸς Q δὲ] γὰρ MR 313 ἐξέλαμψας καὶ τὸν κόσμον κατεφώτισας Q ὑπεροβρύζους Z MR in prima sede Q Bd Σ tradunt troparium Ὡς τὸ πῦρ καταβέσας..., quod in Pm invenies, vide p. 436 314-318 troparium MR III, 397; ipsum om. Z Bd 314 τοὺς] πρὸς Q Pm Σ MR ἀγῶνας] κινδύνους Q 319-323 troparium MR III, 397; idem desideratur in Q Pm Bd 319 ἐπεγνώσθης MR θεηγόρος om. Z 320 κοινωνὸς] κοινὸς Z προσορίσθης Z 321 τῷ om. Z 324-328 troparium om. Q Pm Z Bd Σ 329-333 troparium deest in Q Z Bd Σ 332 νομίμως om. Pm

Τοῦ μικροῦ σου ποιμνίου, ἱεράρχα,
335 μνημονεύειν ἀπαύστως
πρὸς τὸν κτίστην μὴ ἐπιλάθῃς,
ἵνα ῥυσθῶμεν
ἅπαντες ἐκ πειρασμῶν ταῖς πρεσβείαις σου.

Ὡς χιτῶνα τὴν πίστιν, ἱεράρχα,
340 ὡς χρυσῆν διπλοΐδα
τὴν ἐλπίδα ἐνειλημένος,
τὸ τῆς ἀγάπης
ἔνδυμα θείαις βαφαῖς κατεποίκιλας.

τριαδ. Σὺν υἱῷ τὸν πατέρα προσκυνοῦμεν
345 καὶ τὸ ἅγιον πνεῦμα
ὁμοφρόνως δοξολογοῦμεν,
πιστῶς βοῶντες·
« δόξα σοι τριάς, μονάς, ὁ Θεὸς ἡμῶν ».

θεοτ. * Χαῖρε, κούφη νεφέλη, χαῖρε, πύλη,
350 δι' ἧς μόνος διῆλθεν
ὁ Θεὸς ἡμῶν, θεοτόκε,
ἀφθόρῳ τόκῳ
ἄσπορος ἐκ σοῦ υἱὸς γεννηθείς, οὐ τραπείς.

f. 212 ᾠδὴ η'. *Οἱ θεορρήμονες παῖδες ἐν καμίνῳ*

* Ἡ θεορρήμων σου γλῶσσα ἐν τῷ κόσμῳ
355 ὥσπερ χρυσήλατος σάλπιγξ
ἐξ οὐρανοῦ ἀπηχήσασα,

334-338 troparium om. Σ 335 μνημονεύων Q Z Bd 336 μὴ ἐπιλάθῃς om. Bd ἐπιλάθῃ Cg Q Pm 338 ἅπαντας Pm 339-343 troparium deest in Q Pm Z Bd Σ 340 χρυσὴν Cg 344-348 τριαδ. deest in Z Bd Σ 344 Σὺν τῷ ... Q Pm 345 ἅγιον] πανάγιον Q 346 δοξολογοῦμεν] θεολογοῦντες Q 347 βοῶμεν Cg Q 349-353 θεοτ. MR III, 397 353 ἀσπόρως Pm; sed Q hoc θεοτ. profert: Παναγία παρθένε θεοτόκε, / ἡ τεκοῦσα ἀφθόρως / τὸν υἱὸν τοῦ Θεοῦ καὶ Λόγον, / αὐτὸν δυσώπει / πάντοτε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Z Bd aliud θεοτ. tradunt Τὸν ἐκ σοῦ σαρκωθέντα ὑπὲρ λόγον MR III, 353
heirm. η' EE 227, n. 325, Joannis 354-357 troparium MR III, 398; idem deest in Z 355 σάλπιξ Bd 356 οὐρανὸν Bd ἀποχήσασα Pm

---

349 νεφέλη κούφη Is. 19,1; πύλη Ez. 44,2

ἱεράρχα κυρίου,
τὴν πλάνην ἀπήλασεν.

Ὁ τὰς ἀκάρπους καρδίας γεωργήσας
360 καὶ νοερὰς ἀποθήκας
τοῦ θείου σίτου πηξάμενος,
ταῖς εὐχαῖς σου μὴ παύσῃ
ἐκτρέφων τὴν ποίμνην σου.

Ἐγγυητὰ τῆς ἀνθρώπων σωτηρίας
365 καὶ τῆς θερμῆς μετανοίας
καθηγητὰ καὶ διδάσκαλε,
ἱκετεύων μὴ παύσῃ
σωθῆναι τὴν ποίμνην σου.

212ᵛ || Ἱερομύστα τῆς ἄνω βασιλείας,
370 ὁ παραδείσου τὸ κάλλος
ἐνζωγραφήσας τοῖς λόγοις σου,
ἱκετεύων μὴ παύσῃ
σωθῆναι τὴν ποίμνην σου.

* Ὡς τῇ τριάδι λατρεύων, ἱεράρχα,
375 καὶ τῷ χορῷ τῶν ἀγγέλων
συναυλιζόμενος, ὅσιε,
ἱκετεύων μὴ παύσῃ
σωθῆναι τὴν ποίμνην σου.

---

358 ἀπήλασεν] κατήργησεν Bd   Z ut primum, Q ut quartum, Bd ut secundum et Σ ut tertium hoc troparium tradunt: 1 Ὁ τὴν φιλάργυρον πλάνην ἀπελάσας / 2 καὶ τὴν φιλήδονον δόξαν / 3 κατατοξεύσας τοῖς λόγοις σου / 4 ταῖς εὐχαῖς σου μὴ παύσῃ / 5 φυλάττων τὴν ποίμνην σου (1 πλάνην] γνώμην Z   2 καὶ om. Z   φιλήδονον δόξαν] φιλόδοξον γλῶσσαν Bd   3 σου deest in Z   4 ταῖς εὐχαῖς σου] ἱκετεύων Bd   5 φυλάττειν Q   σωθῆναι Z Bd   ποίμνην] μνήμην Z)   359-363 troparium deest in Pm Z Bd   359 ἀκάρπους] ἀγόνους Q Σ   360 ἀποθήκας] ὑποθήκας Cg   363 ἐκτρέφων] ἀρδεύων Cg   ἀρδεύειν Q   ut secundum troparium Q praebet: Ἱερουργὲ τῶν ἀρρήτων ... MR III, 399, quod in Pm invenies, vide p. 437   364-368 troparium deest in Q Pm Bd Σ   368 τὴν ποίμνην] τοὺς δούλους Z; sed Bd in tertia sede profert troparium Ὡς ἑρμηνεύς..., quod in Pm invenies, vide p. 437   369-373 troparium desideratur in Q Z Bd Σ   371 ἐζωγράφησας Pm   373 σωθῆναι] πρεσβεύων Pm   374-378 troparium MR III, 399; idem om. Q Pm Bd Σ   375 τῷ om. MR   378 τὴν ποίμνην] τοὺς δούλους Z MR

τριαδ. Σὺν τῷ υἱῷ τὸν πατέρα προσκυνοῦμεν
380 καὶ τὸ πανάγιον πνεῦμα·
τριαδικῶς ἐκβοήσωμεν·
« εὐλογεῖτε τὰ ἔργα
κυρίου τὸν κύριον ».

θεοτ. * Ὑπερφυῶς ἐν γαστρί σου συλλαβοῦσα,
385 τὸν ἀγεώργητον βότρυν,
παρθενομῆτορ, ἐβλάστησας·
ἐπαξίως οὖν πάντες
τὸ « χαῖρε » βοῶμέν σοι.

f. 213 ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

* Σὺ τῆς ἀκενώτου πηγῆς ἀντλήσας τὸ ῥεῖθρον,
390 ποταμοὺς δογμάτων τῇ ἐκκλησίᾳ προχέεις,
ἐξ ὧν ἅπαντες οἱ διψῶντες ἀντλοῦμεν
νάματα χρυσόρρειθρα, Χρυσόστομε.

Σὺ διαδραμὼν τὸν τοῦ κόσμου γῦρον τῷ λόγῳ,
κατενόησας ἐν αὐτῷ μυστικῶς τὸν τεχνίτην
395 καὶ ἀνύμνησας ὡς Θεὸν καὶ δεσπότην,
ἀξιομνημόνευτε Χρυσόστομε.

* Ἄλλος χρυσορρόας ἐφάνης, πάγχρυσε πάτερ·
τὸ χρυσοῦν γὰρ στόμα καὶ ἡ γλυκεῖά σου γλῶσσα
πλημμυροῦσι τὰ τῶν δογμάτων πελάγη
400 καὶ ψυχὰς αὐχμώσας καταρδεύουσιν.

379-383 τριαδ. desideratur in Z Bd Σ   381 θεολογοῦντες κραυγάζομεν Q θεολογοῦντες βοήσωμεν Pm   384-387 θεοτ. MR III, 399   388 βοῶμέν σοι] σοι κράζομεν Q Bd MR

heirm. θ' EE 229, n. 328, Germani; heirm. integer in Pm   389-392 troparium MR III, 400; ipsum om. Q Pm Z   389 τοὺς ἀκενώτους Bd   τὰ ῥεῖθρα Bd Σ MR   393-396 troparium deest in Z Bd   393 τοῦ om. Pm   κόσμον Pm   γῦρον τῷ λόγῳ] παμμάκαρ γῦρον Q   394 κατενόησας] κατανοήσας τε Cg   in secunda sede Q hoc troparium refert: Θάλασσαν ὑπάρχουσαν... MR III, 400   397-400 troparium MR III, 400   398 χρυσὸν Cg Bd   στόμα σου... Pm   399 πλημμυροῦσα Pm Z Σ   τῷ... πελάγει MR   400 καὶ ψυχὰς] ψυχὰς τὰς Σ   αὐχμώσας] ἀγόνους Pm Bd   καταρδεύουσα Z   καταρδεύει ἀεὶ Σ   ut tertium hoc troparium refert Z: Μιμητής, Χρυσόστομε, τοῦ Προδρόμου ἐδείχθης, / ὡς νηστείας σύντροφος καὶ μετανοίας κῆρυξ / καὶ ἀσεβοῦς βασιλίδος ἐλέγξας / τῆς πλεονεξίας τὸ ἀθέμιτον.

Τίς τὰς ἀριστείας τὰς σὰς ἐξείποι, θεόφρον;
τίς ἐκδιηγήσεται τῶν διδαχῶν σου τὰ πλήθη;
τίς τὴν ἄβυσσον ἀνιχνεύσει τῶν λόγων,
οἷς τοὺς ἐν ἀγνοίᾳ κατεφώτισας;

405 Σὲ ὠκεανὸν νοητῶς κυκλοῦντα τῷ λόγῳ
τῆς γραφῆς τὸ ἄπειρον καὶ ἀνείκαστον πλάτος
καὶ τῆς γνώσεως τῆς ἡμῶν καὶ τῆς ἔξω
ὁ Θεὸς ἀνέδειξε, Χρυσόστομε.

Ἐκ τῶν θησαυρῶν τῆς καρδίας τῇ ἐκκλησίᾳ
410 κατεσκεύασας στέφανον· τὸν χρυσὸν γὰρ ἐκεῖθεν
μεταλλεύσας, ὡς μαργαρίτας τοὺς λόγους
καὶ τιμίους λίθους ἐναπέθου, σοφέ.

Ἀγαλλιασώμεθα πάντες καὶ εὐφρανθῶμεν,
ἀλαλάξωμεν τῷ Θεῷ ἐν φωναῖς ἀσιγήτοις,
415 ὅτι ἄνθρωπος ἐπὶ γῆς τεθαμμένος
βρύει σιωπῶν ζωοπαρόχους πηγάς.

τριαδ. || Ἄναρχε τριὰς καὶ μονάς, ἡ μία θεότης,
τρισυπόστατε, σύνθρονε, ὁμότιμε τῇ δόξῃ,
ὁμοούσιε καὶ συνάναρχε φύσει,
420 σῶζε τοὺς πιστῶς θεολογοῦντάς σε.

* Βάτον καιομένην πυρὶ καὶ μὴ φλεγομένην
προεώρα πάλαι Μωσῆς, θεογεννῆτορ κόρη,
τὴν θεόδεκτον προτυπῶν σου γαστέρα
ὑποδεχομένην τὸ ἀκήρατον πῦρ.

401-404 troparium desideratur in Q Pm Bd Σ 402 σου om. Z 404 τούς] τοῖς Z 405-408 troparium om. Q Pm Z Bd Σ 409-412 troparium desideratur in Q Z Bd 410 χρυσοῦν Pm 411 λόγους σου Pm 413-416 tropario carent Z Σ 416 θεοπαρόχους Q Pm Bd 417-420 τριαδ. deest in Z Bd; in Q vero aliud Ὁ εἷς ἐν τριάδι Θεός... TR 28 417 μονὰς καὶ τριὰς Σ 418 καὶ ὁμότιμε Pm Σ τῇ om. Pm Σ 419 φύσεις Cg φύσις Pm 420 θεολογοῦντα σοι Σ 421-424 θεοτ. MR III, 400; idem om. Σ; Bd vero aliud praebet: Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα... MR III, 325 422 θεογεννῆτορ κόρη] θεομῆτορ παρθένε Q Pm Z MR 423 σου] σοι Pm 424 ὑποδεξαμένη MR

---

413 Ps. 117,24 413-414 Ps. 94,1 421-422 Ex. 3,2

IN TRANSLATIONEM RELIQUIARUM S. JOANNIS CHRYSOSTOMI

Paris. gr. 1572	= Pm,	ff. 256-261
Crypt. Δ.α. XV	= Cg,	ff. 205-213v
Paris. gr. 13	= Q,	ff. 238-239
Marc. gr. II, 166	= Z,	ff. 265-265v
Barb. gr. 460	= Bd,	ff. 12v-14
Sinait. gr. 597	= Σ,	ff. 90-92

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἆισμα ἀναπέμψωμεν, λαοί,*

Ἆισμα
ἀναπέμψωμεν, λαοί,
τῷ μόνῳ λυτρωτῇ ἡμῶν Θεῷ
ἐπὶ τῇ μνήμῃ, πιστοί,
5 τοῦ σοφοῦ ἱεράρχου,
αἰτούμενοι ἄφεσιν
ταῖς αὐτοῦ ἱκεσίαις
τοῦ ῥυσθῆναι
πυρὸς αἰωνίου.

10 Χῶμα,
ὥς φησιν ὁ Σολομών,
καρδίας πλάτος δοὺς Θεῷ,
ὑπὲρ θαλάσσης ψάμμον,

---

tit. (ff. 255v-256) Εἰς τὸν ὄρθρον... κανόνες τῆς ὀκτωήχου καὶ τοῦ ἁγίου... εἰς ς' Pm heirm. α' EE 225, n. 323, Germani

---

10-13 III cfr. Regn. 5,9

σύ, πάτερ Ἰωάννη,
15 ἀνέδειξας πέλαγος
εὐσεβῶν διδαγμάτων·
καὶ γὰρ κόσμον
εὐφραίνεις τοῖς λόγοις σου.

19-27 * Πλοῦτον
.... = Cg 1-9

28-36 Γλώσση
.... = Cg 37-45

ιαδ. 37-45 Δόξα
.... = Cg 55-63

οτ. 46-54 Κλῖμαξ
.... = Cg 64-72

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος*

55-61 * Χρυσέοις δόγμασι
.... = Cg 137-143

62-68 Ἀνοίξας τὸ στόμα σου
.... = Cg 144-150

256v 69-75 Διάρας τὸ κάλυμμα
.... = Cg 151-157

76-82 Εἰς τρίτον ἀνέδραμες
.... = Cg 165-171

ιαδ. 83-89 Τριὰς ὁμοούσιε,
.... = Cg 179-185

---

heirm. γ' EE 226, n. 323, Germani; heirm. integer in Pm 55 Χρυσέοις τοῖς δόγμασι Cg Χρυσέοις σου δόγμασι Q Χρυσέοις ἔπεσι Z Χρυσέοις διδάγμασι Bd MR

θεοτ. 90 Ἀχρόνως ἐξέλαμψας
ἐκ πατρὸς μονογενὴς
καὶ ἐν χρόνῳ ἀνέτειλας
τὸ φῶς τὸ ἀνέσπερον·
ἐξ ἀφθόρου παρθένου
95 ἐμὲ προσλαβόμενος,
τελεῖς ἀναμάρτητος.

Κάθισμα.

Ἦχος ⟨δ'.⟩ *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως*

Ὡς χρυσαυγές τε καὶ τερπνόν, θεορρῆμον,
ὄργανον θεῖον κελαδοῦν ἐκκλησίαις
ὑπὸ Θεοῦ δεδώρησαι, Χρυσόστομε·
ὅθεν τῇ τοῦ σκήνους σου
5 ἐπανόδῳ σκιρτῶντες,
πίστει δυσωποῦμέν σε·
Ἰωάννη παμμάκαρ,
ὑπὲρ ἡμῶν δυσώπησον Θεὸν
τῶν ἐκτελούντων
10 ἐν πίστει τὴν μνήμην σου.

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου*

97-102 * Νέος Ἀβραὰμ
.... = Cg 193-198

103-108 * Σὺ τὸν Ἰακὼβ
.... = Cg 199-204

* Ῥάβδῳ μυστικῇ,
110 τῇ γλώττῃ διασχίσας,

---

91 μονογενοὺς Pm 96 ἀναμάρτητε Pm
heirm. καθ. HR 29 κάθ. usque ad versum 3 ed. in MR III,387
2 Ἐκκλησίᾳ MR 3 ὑπὸ Χριστοῦ, Χρυσόστομε, δεδώρησαι MR
heirm. δ' EE 224, n. 321, Joannis 109-114 troparium MR III,393

109-114 cfr. Ex. 14,16-22

ὅλην τῆς γραφῆς
τὴν ἄβυσσον, τρισμάκαρ,
ὡς Μωυσῆς διεβίβασας τοὺς ἀνθρώπους
πρὸς τὴν ἐπίγνωσιν τῆς πίστεως.

115 Δεύτερος Ἰὼβ
ἐδείχθης, θεοφόρε,
πλείστους πειρασμοὺς
γενναίως ὑπομείνας,
οὐ σαλευθεὶς δὲ τὸν πύργον τῆς εὐσεβείας,
120 οὐ συληθεὶς τὸν πλοῦτον τῶν ἀρετῶν.

ιδ. 121-126 * Ἄναρχε τριάς,
257 .... = Cg 235-240

Χαῖρε, θησαυρὲ
τῆς πάντων σωτηρίας,
χαῖρε, ἡ πηγὴ
130 ἡ ὄντως ἰαμάτων,
χαῖρε, ἡ στάμνος τοῦ μάννα τῆς ἀφθαρσίας,
χαῖρε, ὁλόφωτε κιβωτὲ τοῦ ἁγιάσματος.

ᾠδὴ ε'. *Ἐκ νυκτὸς ἀγνοίας*

Σὲ ἀρετῆς εἰκόνα
καὶ εὐσεβείας κανόνα δεικνύων, σοφέ,
135 ἄνω πρὸς τὴν λυχνίαν
τέθηκε σαφῶς τῷ λαῷ ὁ Χριστός.

137-140 * Τὴν ἱερὰν στολήν σου
.... = Cg 247-250

---

120 συληθεὶς] συλληφθεὶς Pm θεοτ. 127-130 cfr. similes versus in MR III, 393
heirm. ε' EE 226, n. 323, Germani 133 Σὲ] ε Z 136 τέθηκε σαφῶς] τέθηκέ σε φωνῇ Z

115-118 Job 1, ss 135-136 cfr. Matth. 5,15

141-144 Τοὺς ἱεροὺς καμάτους
.... = Cg 267-270

τριαδ. 145-148 Τὴν ὑπὲρ νοῦν οὐσίαν
.... = Cg 271-274

θεοτ. 149-152 * Ἄνευ σπορᾶς
.... = Cg 275-278

ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Τὴν λύραν τὴν τοῦ πνεύματος κινῶν,
παμμάκαρ Χρυσόστομε,
155 τερπνῶς ἐμελῴδησας
τῆς σοφίας τὰ τερπνὰ τερετίσματα.

Τὸ κύτος ἐρευνήσας τῆς γραφῆς,
ἐντεῦθεν, Χρυσόστομε,
τὸν θεῖον τῆς πίστεως
160 μαργαρίτην νοητῶς ἀνεβίβασας.

Σὺ ὄργανον ἐδείχθης λογικὸν
κρουόμενον πνεύματι,
παμμάκαρ Χρυσόστομε,
κελαδήσας μυστικῶς τὰ ἀπόρρητα.

165 Ἐπλήθυναν κοιλάδες λογικαὶ
τὸν σῖτον τῆς πίστεως
τῷ σπόρῳ τῶν λόγων σου,
θεοφόρε, ψαλμικῶς ἀνυμνοῦσαι Χριστόν.

τριαδ. Δοξάσωμεν πατέρα καὶ υἱὸν
170 καὶ πνεῦμα τὸ ἅγιον,

---

141 καμάτους] ἱδρῶτας Cg Z
heirm. ς' EE 224, n. 321, Joannis 153 Τὴν λύραν τοῦ... Pm 156 τερ-τίσματα Pm 157 κῆτος Pm 161-162 troparia desunt in Σ

165-166 Ps. 64,13

τριάδα ἀμέριστον
ἐν μονάδι προσκυνοῦντες οὐσιότητος.

στ. Οὐκ ἔφλεξε τὴν μήτραν σου, ἁγνή,
τὸ πῦρ τῆς θεότητος,
175 οὐκ ἔφθειρεν, ἄχραντε,
τὴν ἁγνείαν σου τὸ φῶς γεννηθεὶς ὁ Χριστός.

Κοντάκιον.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Στεφηφόρος σήμερον
....

Ὁ οἶκος.

257v Ἀνατολὴ θεολαμπὴς
....

260 ᾠδὴ ζ'. *Ὁ τὴν φλόγα δροσίσας*

Ὡς τὸ πῦρ κατασβέσας τῆς καμίνου
καὶ τὰ πάθη τεφρώσας
τῇ ἀσκήσει σου, ἱεράρχα,
180 ἐδόξασέ σου
σήμερον ὁ Θεὸς τὸ μνημόσυνον.

182-186 * Οὐκ ἐνάρκησας, πάτερ, πρὸς ἀγῶνας,
.... = Cg 314-318

187-191 Ὡς ἐν γῇ καὶ θαλάσσῃ τοὺς ἀγῶνας
.... = Cg 329-333

κοντάκ. et οἶκ. Ak. 97
heirm. ζ' EE 226, n. 324, Germani 177 Ὡς] Ὁ Bd Σ καμίνου] σποδιάς σου Q Bd Σ 178-181 ὑπὲρ χρυσὸν / ἐξέλαμψας καὶ τὸν κόσμον κατεφώτισας Q 181 ὁ Θεὸς] ἐπὶ γῆς Bd Σ 182 πρὸς] τοὺς Cg

192-196 Τοῦ μικροῦ σου ποιμνίου, ἱεράρχα,
.... = Cg 334-338

τριαδ. 197-201 Σὺν τῷ υἱῷ τὸν πατέρα προσκυνοῦμεν
.... = Cg 344-348

θεοτ. 202-206 * Χαῖρε, κούφη νεφέλη, χαῖρε, πύλη,
.... = Cg 349-353

ᾠδὴ η'. *Οἱ θεορρήμονες παῖδες ἐν καμίνῳ*

207-211 * Ἡ θεορρήμων σου γλῶττα ἐν τῷ κόσμῳ
.... = Cg 354-358

* Ἱερουργὲ τῶν ἀρρήτων μυστηρίων
καὶ μυστιπόλε τῶν ἄνω
καὶ τῆς τριάδος ὑπέρμαχε,
215 ἱκετεύων μὴ παύσῃ
σωθῆναι τὴν ποίμνην σου.

Ὁ ἑρμηνεὺς τῆς ἀγράφου θεωρίας
καὶ μυστικὸς λογογράφος
τῆς βασιλείας, Χρυσόστομε,
220 ἐλλαμφθῆναι μὴ παύσῃ
πρεσβεύων τὴν ποίμνην σου.

222-226 Ἱερομύστα τῆς ἄνω βασιλείας
.... = Cg 369-373

τριαδ. 227-231 Σὺν τῷ υἱῷ τὸν πατέρα προσκυνοῦμεν
.... = Cg 379-383

θεοτ. 232-236 * Ὑπερφυῶς ἐν γαστρί σου συλλαβοῦσα
.... = Cg 384-388

---

heirm. η' EE 227, n. 325, Joannis 212-216 troparium MR III,399 215 παύσῃ om. Pm 217 Ὁ] Ὡς Bd 220 μὴ παύσῃ] πρεσβεύων Bd 221 πρεσβεύων] μὴ παύσῃ Bd

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

237-240 * Ἄλλος χρυσορρόας ἐφάνης, πάγχρυσε πάτερ,
.... = Cg 397-400

241-244 Ἐκ τῶν θησαυρῶν τῆς καρδίας τῇ ἐκκλησίᾳ
.... = Cg 409-412

245-248 Σὺ διαδραμὼν τὸν τοῦ κόσμου γῦρον τῷ λόγῳ
.... = Cg 393-396

249-252 Ἀγαλλιασώμεθα πάντες καὶ εὐφρανθῶμεν,
.... = Cg 413-416

253-256 Ἄναρχε τριὰς καὶ μονάς, ἡ μία θεότης
.... = Cg 417-420

257-260 * Βάτον καιομένην πυρὶ καὶ μὴ φλεγομένην
.... = Cg 421-424

---

heirm. θ' EE 229, n. 328, Germani 245 τοῦ om. Pm

IN TRANSLATIONEM RELIQUIARUM S. JOANNIS CHRYSOSTOMI

Crypt. Δ.α. XV = Cg, ff. 213v-219
Mess. gr. 136 = Mf, ff. 60-73v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Χριστοκίχητον ἐνὶ στόματα σῷ ἱερῆα γεραίρω.
Ἐν δὲ τοῖς τριαδικοῖς καὶ θεοτοκίοις·
ταπεινοῦ Γεωργίου.

Ἦχος δ'.

ᾠδὴ α'. *Χῶρος εἰς*
ἅπαξ εἶδεν ἥλιον
ἀβυσσοκόλπιος
ἀβρόχοις ποσὶν
5 *Ἰσραηλιτῶν πεζοπορούμενος·*
θείῳ νεύματι γὰρ νάματα
ἑκατέρωθεν διεστῶτα
λαὸν διεσώσατο
ἐπινικίως βοῶντα
10 *τῷ λυτρωτῇ·*
ἐνδόξως δεδόξασται·
ἅλμῃ γὰρ
ποντώσας ὑπέροπλον
σθένος κατέκλυσεν.

Ῥύσιον
αὐχμηρῶν αἰσθήσεων
δίδου μοι πνεῦμα, Χριστέ,

---

tit. Ἕτερος κανὼν τοῦ χρυσοστόμου φέρων... Cg ὁ κανὼν... Γεώργιος Mf heirm. α' EE 110, n. 154, Georgii Siculi; textum heirm. integrum proferunt cdd. heirm. 1 εἰς cdd. 2 ἥλιος Cg 3 ἀβυσσοκόλπιον Cg 4 ποσὶν ἀβρόχοις Mf EE vv. 8-9 in Mf desunt canon 2 ἀγμηρῶν Cg ἀγμηρῶν Mf

σοφίας λόγον
5 βλύζοντι τὸν σὸν κατακοσμῆσαι σαφῶς
χρυσεπώνυμον θεράποντα
Ἰωάννην τὸν διδάσκαλον,
τὸ θεῖον διάδημα,
τῆς συμπαθείας τὸ σκεῦος,
10 ἁμαρτωλῶν
τὸ μέγα προσφύγιον,
κόσμου δὲ
παντὸς τὸ κελάδημα
τῶν χρυσορρόων φωνῶν.

14 15 || Ἴσχυε
ἐν ἐμοί, Χρυσόστομε,
ταῖς ἱκεσίαις σου
νοεῖν πρεπόντως
τὰ χρυσοτερπῆ τῶν σῶν θαυμάτων, διδοὺς
20 καλλιλόγοις ἐπαξίοις δὲ
κατὰ γνώμην περιπολίσαι
τὰ θεῖα τελέσματα
τῶν χρυσαυγῶν ἀρετῶν σου,
σκεῦος κἀμὲ
25 τοῦ πνεύματος ἅγιον,
ὅσιε,
δεικνύων ἐν χάριτι
τῶν προσευχῶν σου καινόν.

Στόμα σε
30 τοῦ Θεοῦ γινώσκομεν,
μάκαρ θεόσοφε·
βροντοφωνεῖς γὰρ
λόγια ἁγνὰ τῶν ζωτικῶν ἀρετῶν
καὶ τὴν κτίσιν ἐν ἀτόμῳ ῥοπῇ
35 περιτρέχεις χρυσέοις φθόγγοις,
ἐν οἷς εὐφραινόμενοι,
τὴν ἀεισέβαστον μνήμην

5 βλύζοντα Mf 14 φωνῶν] νοῶν Mf 15-28 troparium desideratur in Mf

ᾀσματικῶς
ὑμνοῦμέν σου σήμερον
40 ἅπαντες
πιστοὶ καὶ γεραίρομεν
τὴν ἀνακόμισιν.

Τίμιος
ὡς φωσφόρος ἥλιος
45 μετὰ τριάκοντα
χρόνους ἐκλάμψας,
κόσμον δᾳδουχεῖς ἡμεροφώτοις αὐγαῖς
τῶν δογμάτων σου, θεσπέσιε,
καὶ ἀτιθάσων ἀπαμβλύνεις
50 ἐχθρῶν συνακτήριον
ἐν τοῖς ἰδίοις μολήσας·
ὅθεν, σοφέ,
τὴν ξένην σου κοίμησιν
σέβοντες,
55 ὡς ἄλλην ἀφύπνωσιν
ὑμνοῦμεν τοῦ λυτρωτοῦ.

τριαδ. Τρίφωτον,
τρισαυγῆ, τρισήλιον
τοῖς χαρακτῆρσιν ὑμνῶ
60 τὴν μίαν φύσιν
τῆς τριαδικῆς μακαριότητος,
σέβων ἄναρχον πατέρα Θεὸν
καὶ Θεὸν ἄμφω καταγγέλλω
υἱὸν πατρὸς ἀνάρχου,
65 Θεὸν καὶ πνεῦμα κηρύττω,
ἀλλὰ θεῶν
τρισσέων ἀπίτω μοι
πάνδημος
εἰδώλων προσκύνησις·
70 εἷς γὰρ Θεὸς ἡ τριάς.

39 ὑμνοῦμέν σου] ἀνυμνοῦντες Cg 41 πιστῶς Mf 46 χρόνοις Cg 47 κόσμω Mf, ἡμεροφόρους αὐγὰς Mf 51 ἰδίοις] ἀδύτοις Mf 55-56 πιστῶς ἑορτάζομεν / τὴν ἀνακόμησιν Mf 61 τριαδικῆς] θεαρχικῆς Mf 65 καὶ θεὸν πατέρα κηρύττω Cg

ἑοτ. Ἅγιον
τῶν ἁγίων, ἄχραντε,
κυοφορήσασα,
καὶ μετὰ τόκον
75 ἄφθορος εὐθὺς διαμεμένηκας,
ὅπερ ἧς καὶ πρὸ τοῦ τόκου σου·
ὅθεν πάντες σε θεοτόκον
κυρίως δοξάζομεν
οἱ διὰ σοῦ σεσωσμένοι
214ᵛ 80 || τῶν Χερουβὶμ
καὶ πάσης τῆς κτίσεως·
μόνη γὰρ
ὑπέρτερος πέφυκας
καὶ ὑπεράγιος.

ᾠδὴ γ'. *Ὁ τὰς καρδίας ἐρευνῶν*
καὶ τοὺς νεφροὺς ἐμβατεύων
πρὸς γνῶσιν θεότητος,
Λόγε Θεοῦ ἀτρεκές,
5 *πενομένων πλουτιστά,*
κομώντων κατάπτωσις,
ἀπὸ κοπρίας παθῶν με
θᾶττον ἀνάστησον
στηρίζων ἐν πνεύματι
10 *τῆς σῆς αἰνέσεως*
καὶ βεβαιῶν
ἐν τῇ πέτρᾳ με, σῶτερ, τῆς πίστεως.

85 Ὁ τῶν ἀρρήτων ἑρμηνεύς,
τῆς ἐκκλησίας ὁ πάνδοξ,
ὁ γνώμων τῆς πίστεως,
τῶν λευϊτῶν ὁ φωστήρ,
πανδαισίαν ἱερὰν
90 ἡμῖν παρεσκεύασε

74 καὶ om. Mf 75 εὐθὺς] ἁγνὴ Mf 76 ὅπερ] ὥσπερ Mf heirm. γ' EE 111, n. 154, Georgii Siculi heirm. 5 post πενομένων librarius πλούτιον σταθμὸν exaraverat deinde, eisdem verbis deletis, πλουτιστὰ in margine scripsit in Cg 6 κομώντων κατάπτωσις desideratur in EE κομούντων Mf 11 καὶ βεβαιῶν deest in EE = 86 πάνδοξος Cg

τοῖς δαιτυμόσι, τὴν θείαν
καὶ φωτοφόρον αὐτοῦ
πανήγυριν· πάντες οὖν
συντόμως δράμωμεν
95 ψυχαῖς ἁγναῖς
ταῖς αἰσθήσεσιν ἀνακλινόμενοι.

Κορυφουμένην ἀπειλὴν
οὐκ ἐδειλίασας, μάκαρ,
ἀνάσσης, Χρυσόστομε·
100 πλήθει χρηστότητος,
συμπαθείᾳ δὲ πολλῇ
τὸν νοῦν πυρπολούμενος,
ἄλλην ἐπ' ἄλλην ὁδεύεις
χώραν, ὡς Παῦλος, σοφέ,
105 κινδύνοις τερπόμενος,
χαίρων ἐν θλίψεσι
ταῖς ἐκ στρατοῦ
φερομέναις σοι τοῦ περιέποντος.

Ἰσχνομυθήσας τὰ κρυπτὰ
110 τῶν ἀπορρήτων εἰκότως,
πρὸς ὕψος ἀνέδραμες
θεοπρεπῶν ἐννοιῶν
μυστικῶς διερευνῶν
τὰ βάθη τοῦ πνεύματος·
115 ὅθεν ἡμῖν ἀναβλύζεις
παγχρυσοβρύτους πηγὰς
ὑδάτων, Χρυσόστομε,
τῶν θησαυρῶν τοῦ Χριστοῦ,
μώμους ψυχῆς
120 καὶ τοῦ σώματος καθαγνιζούσας σαφῶς.

Χρυσοκατοίκητος αὐλὴ
ἡ σὴ καρδία, τρισμάκαρ,

94 συντόνως Mf 98 μὴ δειλιάσας παμμάκαρ Mf 99 ἀνάσσης] τῆς βασιλίσσης Cg 104 σοφὲ] ποτὲ Mf 106 ἐν] καὶ Mf 107-108 ταῖς ἐκ στρατοῦ φερομέναις] ταῖς ἐκστρατουμένας σοι Cg 108 περιέποντος] ὑπερέχοντος Mf 109 Ἰσχνοθυμήσας Cg 113 δὲ ἐρευνῶν Cg 115 ὅθεν] ἔνθεν Mf, ἀναβλύζεις] θησαυρίζεις Mf 116 πανχρυσοβότρυς Cg 118 Χριστοῦ] θεοῦ Mf 121 Χριστοκατοίκητος Cg

τοῦ πνεύματος γέγονε
σκιαζομένη φωτὶ
125 χαρισμάτων μυστικῶν
καὶ θείων ἐλλάμψεων,
f. 215 ὧν καὶ ἡμᾶς || μυηθῆναι,
πάτερ, ἱκέτευε,
σκεδάζων σκοτόμαιναν
130 τὴν τῶν φρενῶν ἡμῶν
καὶ τῶν παθῶν
ἐκκαθαίρων δὲ νέφος ταῖς σαῖς προσευχαῖς.

τριαδ. Προσκυνουμένη παρ' ἡμῶν
ἡ πανυπέρθεος φύσις
135 ὑμνείσθω τρισσεύουσα
ταῖς ἰδιότησι
τῶν προσώπων εἰδικῶς·
καὶ γὰρ ἀναρχότητι,
γεννήσει τε καὶ προόδῳ
140 τριὰς τιμᾶται πιστῶς·
πατὴρ γὰρ ἀγέννητος
καὶ γεννητὸς ὁ υἱός,
ἐκπορευτὸν
πνεῦμα θεῖόν τε, τριάς, μονὰς ὁ Θεός.

θεοτ. 145 Ἕνα γινώσκομεν ἐκ σοῦ
τῆς ὑπερφώτου τριάδος
τεχθέντα, πανύμνητε,
δίχα πατρὸς τοῖς ἐν γῇ,
τὸν αὐτὸν ἐν οὐρανοῖς
150 ἀμήτορα σέβομεν
Λόγον πρὸ πάντων αἰώνων
ἐν ὑποστάσει μιᾷ,
ἐν δύο ταῖς φύσεσι
θεανθρωπότητος,
155 τὴν Εὐτυχοῦς
μυσαττόμενοι κακοδοξίαν τομῶς.

---

129 σκοτόμηναν Cg 141 γὰρ] μὲν Mf 144 τε] δὲ Mf 153 ἐν] καὶ Mf

ᾠδὴ δ'. *Ἤχῳ εὐλάλῳ*
προδιαγνοὺς Ἀββακοὺμ

Ἡ θεία λύρα
τῶν ἀπορρήτων ᾠδῶν,
ἡ κινύρα τῶν μυστηρίων Χριστοῦ
160 αὖθις κέκραγε πιστῶς,
μυστικῶς ἠχήσασα
καὶ μετὰ πότμον χρυσοῦν
εἰρήνην τοῖς πᾶσι,
τοῖς ἐγγὺς καὶ τοῖς πόρρω,
165 τοῖς ξένοις καὶ πένησιν,
ἧς καὶ ἡμᾶς μετασχεῖν
ἀξίωσον, κύριε,
ταῖς Χρυσοστόμου εὐχαῖς.

Τῶν οὐρανίων
170 ὁ ἀπερίεργος νοῦς
θεοπτίαις ἐνοπτριζόμενος
πάλαι Παύλου τοῦ σοφοῦ
ἐνώπιον γέγονε
θεάμων συνασπισμός.
175 Ὢ θαύματος ὄγκος!
πῶς ὁ μύστης τοῦ λόγου
τῷ μύστῃ τοῦ πνεύματος
ταυτοφωνῶν προσλαλεῖ,
τῇ σχέσει θελγόμενος
180 τῆς ὁμοτρόπου ψυχῆς;

---

heirm. δ' EE 111 n. 154, Georgii Siculi; heirm. integer in cdd. invenitur, sed cum nullae sint variae lectiones, ipsius tantum initium damus
158 ᾠδῶν] ὁδῶν Mf 171 θεοπρίας Mf 174 συνασπισμῶν Mf 178 ταυτοφωνῶν] τοῦτο φρονεῖν Mf

---

157-165 Synax. Ecc. CP., (Selecta) 428[32-35]: Ἔπειτα....... ἡ τιμία σορὸς... πρὸς τὸν περιώνυμον φέρεται τῶν ἀποστόλων ναόν, ἔνθα δή... ὁ μὲν ἅγιος εἰς τὴν ἱερὰν καθέδραν ἀνενεχθεὶς καὶ τῷ θείῳ θρόνῳ ἐνιδρυθεὶς καὶ μυστικῶς τὰ μεμυκότα χείλη κινήσας καὶ εἰρήνην ἐπειπὼν τῷ ποιμνίῳ, τῇ ἑτοιμασθείσῃ σορῷ ἐναπετέθη... cfr. SAVILIUS, *Chrysostomi Opera Omnia*, VIII, 371[1-4]

215v || Ὄλβιον τέλος
ἐν ἐξορίᾳ λαχών,
μετανάστης γέγονας, ὅσιε,
πάλαι ὥσπερ Ἀβραάμ,
185 Βαβυλῶνα φθάνεις δὲ
τὴν ἀνακτόπολιν,
ὡς ἥλιος κόσμον
πυρφόροις ἀκτῖσιν
ἀστράπτων τῶν λόγων σου
190 καὶ δυσμενῶν ἐκτυφλοῖς
τὰ μάταια σκάμματα
καὶ τὰ σοφίσματα.

Νεκρὸς ἐν τάφῳ,
πάτερ, ὑπάρχων, ὡς ζῶν
195 μετανοίας ᾄδεις τὰ σύμβολα,
τοῖς προσκρούσασι Θεῷ
ὑπογράφων ἄφεσιν
καὶ λέγων προφητικῶς·
« οἱ ἐν ἁμαρτίαις
200 δεῦτε πρός με καὶ γνῶτε
συγχώρησιν ἄφατον
καὶ εὐσλαγχνίαν Θεοῦ
ἀνθρώποις παρέχοντος
μετανοοῦσι θερμῶς ».

205 Ἐν τοῖς ἀδύτοις
βυθοῖς εἰσδύσας, σοφέ,
τῶν ὑδάτων τῆς θεοπνεύστου γραφῆς,
τῷ νῷ σύνθετον αὐγὴν
θεωρίας εἵλκυσας
210 ἀκατακλύστῳ ψυχῇ,
ἧς τῇ ἐπιλάμψει
καὶ ἡμεῖς ἐλλαμφθῶμεν
οἱ πόθῳ τιμῶντές σου,
πάτερ, τὰ στίγματα

181-192 troparium om. Mf 197 ἐπιγράφων Mf 208 τῷ νῷ σύνθετον] νοοσύνθετον Mf

183-184 Gen. 11,31; 12,4-20; 13,1-18

215 καὶ πίστει γεραίροντες
τὴν θείαν ἔλευσιν.

Ἵλεως πᾶσιν,
ὦ μακαρία τριάς,
τοῖς πιστῶς σε θεολογοῦσι γενοῦ,
220 μόνε καὶ μονογενοῦς
Θεοῦ Λόγου πλούταρχε,
μονογεννῆτορ πατήρ,
καὶ μόνε ἐκ μόνου
φῶς φωτὸς καὶ σοφία
225 καὶ μόνον ἐκ μόνου δὲ
πνεῦμα εὐθές, ἀγαθόν,
τὸν κόσμον ἐλέησον
τὸν προσκυνοῦντά σε.

Νόμους παρῆλθες
230 τῆς ἀνθρωπείας μορφῆς,
παναγία κόρη θεόνυμφε,
δίχα ῥεύσεως Θεὸν
ἀκραιφνῶς κυήσασα,
τῇ πρὸς ἡμᾶς μετοχῇ
235 πτωχεύσαντα οἴκτῳ,
ἵν' ἡμεῖς τῇ ἐκείνου
πτωχείᾳ πλουτήσωμεν
οἱ μετὰ τόκον ἁγνὴν
παρθένον σε μέλποντες
240 θεογεννήτριαν.

ᾠδὴ ε'. *Νυκτομαχῶν τῶν παθῶν τῇ ἰλύι*

216 || Νυμφαγωγοὶ τρεῖς ὁμώνυμοι λύχνοι
τὴν ἐκκλησίαν Χριστοῦ φαιδρύνουσιν,
ἡ σφραγὶς τῶν προφητῶν Ἰωάννης,
Ἰωάννης δὲ πάλιν ὁ τῆς βροντῆς υἱὸς

216 τὴν ἀνακόμισιν Mf 218 μακαρία] παναγία Mf 220 μόνου καὶ μονογενὲς Cg 223 μόνε] μόνος Cg 225 μόνον] μόνε Cg 238 μετὰ τόκον] θεοτόκον Cg heirm. ε' EE 111, n. 154, Georgii Siculi; heirm. integrum tradunt cdd. 244 δὲ πάλιν] τε ἄλλος Mf

244 Marc. 3,17-18

245 καὶ σὺν αὐτοῖς
ὁ νῦν ἐκπέμπων σήμερον
βολίδας ἐκ στόματος
χρυσαυγεστάτους ἡμῖν,
ὁ μέγας Χρυσόστομος,
250 τῆς ἐκκλησίας ἡ κλείς.

« Ἰσοκλεὲς τῶν σοφῶν μου συμμύστων »,
Χριστὸς τῷ μύστῃ παρακελεύεται,
« τῷ Προδρόμῳ μὲν ὑπέκλινα κάραν
καὶ ὑπέστρωσα στέρνα τῷ Θεολόγῳ μου,
255 σοὶ δέ, σοφέ,
τὸ ἐν σοφίᾳ ἄπλετον
ἐπέδωκα στόμα μου
πρὸς φωτισμὸν τῶν ἐθνῶν
καὶ τεῖχος ἀκράδαντον
260 τῆς ἐκκλησίας μου ».

Στῦλος πυρὸς ἐν ἐρήμῳ τὸν πάλαι
Ἰσραηλίτην λαὸν ὡδήγησε,
σὺ δὲ λύχνος ἡλιόγλωττος κόσμον
ηὔγασας φωτοφόροις ἀκτῖσι λόγων, σοφέ,
265 ἐκ Κομάνων
αὖθις ἐκλάμπων σήμερον
τῇ αἴγλῃ τοῦ πνεύματος
χρυσοφανῶς τοῖς πιστοῖς,
ἐχθρῶν τὸ δυσκάθεκτον
270 θράσος διώκων τομῶς.

Τῆς ἐν Ἐδὲμ τετραρρύτου νοτίδος
ὡς πλέον, πάτερ, στόμα τὸ σὸν πλημμυρεῖ
μυρωδέστατον καὶ πότιμον νᾶμα,
τετραπέρατον κτίσιν περιπολοῦν ἀτρεκῶς

---

245 καὶ μετ' αὐτοὺς Mf 246 ἐκπέμπων] ἐκστίλβων Mf 251-260 troparium om. Mf 251 Ἰσοκλεεῖς Cg 263 σὺ] νῦν Mf κόσμω Mf 264 ηὔγασας φωτοφόροις] φωτοφόρος ἐπέστη Mf σοφῶν Mf 265 κομανῶν metri causa cdd. 268 χρυσοφωνῶν Cg 270 διώκων] διείργων Mf 272 πλημμυροῦν Cg 273 πότιμον] πολύτιμον Mf 274 κτίσιν] κόσμον Mf

---

261-262 Ex. 13,21-22 271-274 Gen. 2,10-14

275 καὶ τῶν πιστῶν
φρένας ἀρδεῦον χάριτι
τοῦ πνεύματος, ὅσιε,
καθὼς Χριστὸς ἐκβοᾷ·
« ἀντλήσατε νάματα
280 τῆς σωτηρίου πηγῆς ».

Ὁ μέγας ῥοῦς τῶν δογμάτων τοῦ λόγου
τὴν ἐκκλησίαν φθάσας ἐπεύφρανε,
μυστικῶς τε παρεσκεύασε ταύτην
ἐκβοᾶν· « μεγαλύνει Θεὸν ἡ δόξα μου
285 τὸν ἐραστὴν
καὶ νυμφοστόλον δόντα μοι,
χρυσοῦν || τά με στέμμασι (f. 216v)
τῶν διδαγμάτων αὐτοῦ,
ἐχθρῶν σφενδονίζοντα
290 τὰς ζιζανώδεις βουλάς ».

(τριαδ.) Οἱ τῷ φωτὶ τῷ τρισσῷ λαμπρυνθέντες
τρισσῶς τὸ θεῖον δοξολογήσωμεν,
Θεὸν ἄναρχον πατέρα τιμῶντες,
— οὐ γὰρ ἔκ τινος — Λόγον πατρὶ συνάναρχον,
295 ἐκπορευτὸν
πνεῦμα πιστῶς γεραίροντες,
τριάδα ἀχώριστον
μοναδικῇ τῇ μορφῇ,
τρισάγιον δύναμιν,
300 ὑφ' ἧς φρουρεῖται τὸ πᾶν.

(θεοτ.) Ὑπερφυῶς τὸν συνάναρχον Λόγον
πατρός, παρθένε, γαστρὶ βαστάσασα
βροτωθέντα καθ' ἡμᾶς ἑκουσίως,
οὐκ ἐστάντα δὲ ὅλως τῆς μακαρίας μορφῆς,

---

276 χάριτι] πάντοτε Mf 277 ὅσιε] χάριτι Mf 278 καθὰ Mf 279 Ἀντλήσατε] ἀντλήσας τὰ Cg 281 τῶ λόγω Mf 283 τε] δὲ Cg 286 δοῦσα cdd. 287 στέμμασι] στίγμασι Mf 293 ἄναρχον θεὸν . . . Cg 300 ἡ καὶ φρουροῦσα τὸ πᾶν Cg 302 βαστάσασα] χωρήσασα Mf

---

279-280 Is. 12,3

305 τῶν οὐρανῶν
σὺ πλατυτέρα πέφηνας
χωρήσασα, πάναγνε,
τὸν οὐδαμοῦ χωρητόν,
ὃν αἴτει τὰ σκάνδαλα
310 τῆς ἐκκλησίας τεμεῖν.

ᾠδὴ ϛ'. *Μυστικὸς ὑποφήτης*
τῆς ζωηφόρου ταφῆς
ὁ Ἰωνᾶς ἀναδέδεικται,
ὁλοφωΐῳ γαστρὶ
5 *θηρὸς τριημερεύσας ἄτερ φθορᾶς*
καὶ παθῶν ἐξαλύξας
δεσμὰ κραυγάζων πιστῶς·
« μετὰ φωνῆς
αἰνέσεως, κύριε,
10 *δέξαι με ἐκ βυθοῦ κατωτάτου,*
σῶτερ, καὶ σῶσόν με ».

Μυστικῶς ἀφυπνώσας
εἰς χώραν ἀλλοδαπήν,
τὸ γραφικὸν ἀνεπλήρωσας
ἔργῳ παράγγελμα,
315 τρισόλβιε, τὴν θείαν καὶ εὐκλεῆ
θεὶς ψυχήν σου ὡς μέγας
ὑπὲρ τῆς ποίμνης ποιμήν·
ὢ θαυμαστῆς
μιμήσεως τέλεσμα!
320 ὢ βουλῆς φιλανθρώπου καὶ πλήρους
δεσποτικῶν οἰκτιρμῶν!

---

heirm. ϛ' EE 111, n. 154, Georgii Siculi; heirm. integrum praebent cdd.
heirm. 1 Μυστικῶς Cg 2 ζωηφόρου] τριημέρου Mf EE 4 ὁλοφαΐου γαστρὸς Mf 5 ἄτερ] ἄνευ Mf 6 ἀξαλύξαι Mf EE 7 κραυγάζων] κράζει EE 10 βυθοῦ] ᾅδου Mf EE 312 ἀλλοδαπῆ cdd. 314 παράγγελλον Mf 315 εὐκλεᾶ Mf 320 πλήρεις cdd.

313-317 Joh. 10,11

Ἀβυσσόρρυτον πλάτος
σοφίας λόγων ἐν σοὶ
θεοπρεπῶς ἐχρημάτισεν,
325 ὡς Σολομῶντι τὸ πρίν·
κρουόμενον ἐγένου ὄργανον γὰρ
πνεύματι, θεομύστως
χρυσοφωνοῦν τοῖς πιστοῖς,
θαυμαστικῶς
330 ἀεὶ ἀλλοιούμενον,
ἣν ἡμῖν ἀπεγράψατο πάλαι
Δαβὶδ ἀλλοίωσιν.

Τίς ἐφίκοιτο λόγος
ἀνταμείβων σου τὸν νοῦν,
335 ὃν ἐκ Θεοῦ προκατείληφας;
τῆς θεοτόκου σεπτῶς
f. 217 ἐπί‖προσθεν καὶ βάσιν εἰσοδικήν,
ἐγκρατῶν ἐξουσίαν
τοῖς ἀντιμάχοις σου,

---

322 Ἀβυσσόβροτον Mf 326 ὄργανον] πνεύματι Mf 327 πνεύματι] ὄργανον Mf 331 ἀνεγράψατο Mf 334 ἀναμειβὼν Mf 336 τῇ θεοτόκω Cg 338 ἐκκρατῶν cdd. ἐξουσία cdd.

336-354 K. Diobouniotis, *Laudatio a Cosma Vestitore* in ΕΕΒΣ 2 (1925) 63-64: Ἐπεὶ καὶ Κυρίλλου, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου γενομένου Ἀλεξανδρείας, χάριν τῷ ἰδίῳ νέμοντος θείῳ Θεοφίλῳ καὶ πάπᾳ πρὸ αὐτοῦ τῆς αὐτῆς Ἀλεξανδρείας χρηματίσαντι μητροπόλεως, ἀποκήρυκτον ποιήσαντος πρὸς ὀλίγον τὸν Χρυσόστομον, φαίνεται καθ' ὕπνον ἰδεῖν ὅτι περ ἅμα τῇ Θεοτόκῳ συνῆν περιπατῶν ἐν τόπῳ μεγάλου φωτὸς ὁ Χρυσόστομος, ὃς ἰδὼν τὸν Κύριλλον ἐκεῖσε σπουδαίως εἰσελθόντα κωλύει τοῦτον πρὸς τὰ παρέσω πλησιάσαι ἐπεγκαλῶν δι' αὐτὸν τῇ Θεοτόκῳ καὶ λέγων· « ναί, Θεοφίλῳ δῶμεν ὅτι ἔπταισα ὡς ἐν ζῶσι τῷ ἔτι ζῶντι προσοχθίσας, Κυρίλλῳ δὲ μηδὲν ἡμαρτηκὼς διατί παρ' αὐτοῦ μετὰ θάνατον μάτην ἐχθραίνομαι, ὃν οὐδὲ τεθέαμαι, οὔτε μὴν ἐξ αὐτοῦ κατὰ τὴν πρόσκαιρον ἑωράθην ζωήν; » Ἐπὶ πολὺ δὲ καταβοῶντος αὐτοῦ μεσιτεῦσαι τούτοις τὴν Θεοτόκον εἰποῦσαν τῷ Χρυσοστόμῳ· « μὴ λυποῦ πρὸς Κύριλλον δι' ἐμέ, ἐμοὶ χαρίζει Κυρίλλῳ φιλούμενος, ἔργον ὅτι καλὸν εἰργάσατο εἰς ἐμέ, τὸν ὑβριστήν μου καταισχύνας Νεστόριον κεκοπιακὼς πολλὰ διὰ τὸ μεγαλῦναι καὶ κρατῆσαι τὸ ὄνομά μου. Ταύτην θεασάμενος τὴν ὀπτασίαν ὁ ἀοίδιμος Κύριλλος παρευθὺς κοινωνεῖ κατὰ ψυχήν, πίστιν καὶ ἀνάμνησιν ἐν ὅλαις ταῖς ὑπ' αὐτὸν ἐκκλησίαις τῷ Χρυσοστόμῳ πατρὶ καὶ ἀπὸ τότε μὴ μόνον καὶ αὐτὸν σὺν ὅλῳ τῷ κόσμῳ Χρυσόστομον προσαγορεύειν τὸν ὅσιον, ἀλλὰ καὶ χρήσεων αὐτῷ ἐπιμνησθῆναι διαφόρων...

330-332 Ps. 76,11

340 καὶ μαρτυρεῖ
ὁ πάνσοφος πρόμαχος
Κύριλλος τῆς ἁγνῆς θεοτόκου
καὶ τῶν ἐχθρῶν ἐλατήρ.

Ἀπ' ἀπτώτων κραθεὶς γὰρ
345 πατραδελφέων θυμῷ,
ἀνατροπὴν ἐποιήσατο
ἱερωσύνης τῆς σῆς·
παιδεύεται δ' οὖν αὖθις τῇ μυστικῇ
θεωρίᾳ τὴν βάσιν
350 ἀποκλειόμενος,
τῇ δέλτῳ δὲ
προβὰς τῆς θεόπαιδος,
ἄλλον σε κορυφάρχην κηρύττει
τῶν λευϊτῶν ἐναργῶς.

τριαδ. 355 Ὑπεράναρχε φύσις
ἀπεριόριστε,
ἡ ἐν τρισὶν ὑποστάσεσι
γνωριζομένη φρικτῶς
καὶ δόξῃ ἑνιαίᾳ, τοὺς εὐσεβῶς
360 μετ' ἀγγέλων πιστῶς σοι
προσδέχου κράζοντας·
« ἅγιος εἶ,
ἅγιος καὶ ἅγιος, δόξα σοι
τῷ Θεῷ ἡμῶν πέλει·
365 σὲ προσκυνοῦμεν βροτοί ».

θεοτ. Ὁ πατρῴοις ἀνάρχοις
κόλποις καθήμενος,
κόλποις ἁγνῆς κατεσκήνωσεν,
ἐπιφανεὶς τοῖς ἐν γῇ

340-342 καὶ μάρτυς κύριλλος ὁ θεῖος περίφημος πρόμαχος τῆς ἁγνῆς θεοτόκου Cg 344 Ἀφαπτώπτου Cg Ἐξ ἀπτώτων Mf 345 πατραδελφέω Mf 346 ἀνατροπτὴν Cg 348 πεπαίδευται Mf 350-351 ἀποκρουόμενος / τῇ δελτικῇ Cg 353 ἄλλον] πέτρον Mf 363-364 ὡς ἀληθῶς ἅγιος ἅγιος / αὐτὸς ὁ θεὸς ἡμῶν Mf 365 σὲ] ὃν Mf 366-376 aliud θεοτ. Mf tradit: Οὐρανὸν ὁ τανύσας / μόνῳ τῷ νεύματι, / ἐν σοί, ἁγνή, κατεσκήνωσε, / τοῖς ἐπιγείοις ἡμῖν / ὡς ἄλλον οὐρανόν σε προτεθεικὼς / καὶ ἐκ σοῦ ἀνατείλας, / πάντας ἐφώτισε· / τοῦτον, ἁγνή, / ὡς ποιητὴν καὶ κτίστην σου, / αἴτησαι πταισμάτων συγχώρησιν / τοῖς ὑμνοῦσί σε.

370 ἐκ ταύτης ἄτερ ῥύπου σὰρξ γεγονὼς
καὶ πατρὶ καταλλάξας,
δῶρον προσῆξε βροτούς·
ὃν εὐσεβῶς
Θεὸν καταγγέλλοντες, ἄφθορον
375 τὴν τεκοῦσαν ὑμνοῦμεν
εὐσεβοφρόνως πιστοί.

ᾠδὴ ζ'. *Σοβαρὸν βασιλέως Περσῶν διάταγμα*

Στυγητὸν βασιλίδος ποτὲ διόρισμα
συνόδῳ λυγρᾷ καθοπλισθὲν
οὐκ ἐνάρκησας, θεόστομε βροτέ,
380 ἀλλ' ἐβόας· « ἡ κτίσις — Δαβιτικῶς — τοῦ Θεοῦ
πᾶσα ἡ γῆ
καὶ τὸ πλήρωμα ταύτης εἰς τοὺς αἰῶνας ».

Ὡς πηγὴν καὶ σοφίαν καὶ νοῦν ἀπύθμαντον
γινώσκομεν ἅπαντες πιστοὶ
f. 217ᵛ 385 ποταμοὺς ἡμῖν ἐκβλύ||ζοντα χρηστῶν,
θεομύστων δογμάτων, ὑφ' ὧν ἀρδευόμενοι,
τὸν αἰνετὸν
καὶ Θεὸν τῶν πατέρων ὑπερυψοῦμεν.

Ἱλασσάμενον τέκος τῶν σῶν ἀνακτόρων
390 οὐκ ἔστησας βούλημα, σοφέ,

Mf post oden ϛ' profert κάθ. Εὐφράνθη μυστικῶς, quod ut κοντακ. exhibent MR III,391

heirm. ζ' EE 111, n. 154, Georgii Siculi; heirm. integrum tradunt cdd. 377 Στυγηρὸν Mf 378 λυγρῶ Cg 382 ταύτης] αὐτῆς Mf 383 Ὡς] Σὲ Mf 385 χρηστῶν] χρυσοὺς Mf 389-394 troparium desideratur in Mf 389 Ἱλασσόμενον Cg

---

389-394 SAVILIUS, o.c., 370[37-38]: ... ὁ βασιλεὺς τῇ τούτου λάρνακι προσπεσὼν καὶ τοὺς ὡραίους πόδας ἐκείνους καὶ εὐαγγελικοὺς δάκρυσι καταρραίνων, θρήνοις καὶ οἰμωγαῖς ἀνεκαλεῖτο τοῦ ἁγίου τὸν ἔλεον, συμπάθειαν τῇ μητρὶ τῶν εἰς αὐτὸν ἀτόπως τετολμημένων αὐτῇ ἐξαιτῶν καὶ τῆς συμπαθείας τεκμήριον, τὴν ἠρεμίαν γενέσθαι τῆς αὐτὴν φερούσης καταδεόμενος λάρνακος. Καὶ ὁ μὲν ηὔχετο, ὁ δὲ εἰσήκουσε καὶ τὴν συμπάθειαν ἐπρυτάνευσεν... καὶ ἡ λάρναξ τῆς περιφορᾶς ἀπηλλάττετο...

380-382 Ps. 23,1

ἀλλ' ἐπέστησας θεόπληγμον σάλον
βασιλίδος τῷ τύμβῳ παρενοχλοῦντα λυγρῶς.
Ὦ θαυμαστῆς
συμπαθείας πρὸ τέλους καὶ μετὰ τέλος!

395 Ἐν εὐσήμῳ, παμμάκαρ, ἤχῳ γηθόμενος,
ἀύλων αὐλίζῃ τοῖς χοροῖς
παριστάμενος τῷ θρόνῳ τοῦ Θεοῦ
καὶ πρεσβεύων ἀπαύστως ὑπὲρ τῆς ποίμνης σου,
τὸ τριφεγγὲς
400 καὶ τρισάγιον ᾄδων σὺν τούτοις ᾆσμα.

Ῥυθμὸς ἅγιος, μάκαρ, πιστῶν γεγένησαι,
ὡς Παῦλος ὁ μύστης τοῦ Χριστοῦ·
ἀκηλίδωτον γὰρ σκεῦος ἐκλογῆς
πεφυκὼς καὶ παρθένους πρὸς ζῆλον εἵλκυσας,
405 ᾧ οἱ δεινοὶ
μόμῳ ψόγου πληγέντες Χριστὸν ὑμνοῦμεν.

ιαδ. Ἱεροῖς τῶν πατέρων ὅροις ἑπόμενοι,
τριπλόκως ὑμνήσωμεν, πιστοί,
τὴν τρισάγιον θεότητα πιστῶς·
410 φῶς πατέρα, φῶς Λόγον, φῶς καὶ τὸ πνεῦμα τὸ ζῶν,
μοναδικῇ
τῇ οὐσίᾳ, τρισσοὶ δὲ τοῖς χαρακτῆρσιν.

οτ. Γηγενῶν ὡς λαχοῦσα τὸ καταφύγιον,
μὴ παύσῃ πρεσβεύειν ἐκτενῶς
415 ὅνπερ τέτοκας, πανάχραντε, Θεὸν
τοῦ προφθάσαι καὶ σῶσαι τοὺς ὀρθοδόξως σε
καὶ τὸν ἐκ σοῦ
μεθ' ἁγίων τιμῶντας ἐνθέοις τύποις.

---

394 τέλους Cg   395 τρισμάκαρ Mf   γηθόμενος] γενόμενος Cg   396 ἀύλοις Mf   τοῖς] νῦν Mf   397 θρόνω τῶ τοῦ θεοῦ Cg   401 Ρύθμος Mf   404 εἵλκυσας] ἤγειρας Mf   405 ὧν Mf   406 μονόψογοι Cg   ὑμνοῦσιν Mf   409 πιστῶς] πάντες Mf   411 μοναδικὴν Mf   412 τρισσῶς Cg

ᾠδὴ η'. *Ἡ πολυθρύλητος φλὸξ τῶν αἰχμαλώτων*

218 ‖ Ἡ πανηδύφωνος σάλπιγξ τοῦ θείου λόγου,
420 τὸ καινὸν τοῦ λόγου ὡράισμα,
τῆς ἑῴας ὁ φανώτατος
λύχνος, ὁ ζῶν μετὰ πότμον,
βοᾷ διωλύγιον ταῖς τῶν λόγων αὐγαῖς·
λοιπὸν θαρσεῖτε, τέκνα, θάρσος·
425 καθὰ Χριστὸς ἀφυπνώσας
μυστικῶς κατέβαλε,
πιστοῖς ἀνατείλας
τὸ τῶν διδαχῶν φῶς ὑμνῶν τὸν σωτῆρα
εἰς τοὺς αἰῶνας.

430 Ἀφηλιώτου χωρίου διῳκισμένου
ἱερεῖς αἰσχύνης ἐγράψαντο
σὺν ἀνάσσῃ σου, Χρυσόστομε,
ἐν οἷς τὸ μέγα δοχεῖον
τοῦ λόγου πειρώμενος Ἐπιφάνιον
435 γραφῇ πληροῖς θεοβουλεύτως
τὴν ὑπὸ σοῦ προφητείαν,
ἐν αὐτῷ πληρούμενος
αὐτὸς τὴν ἐκείνου,
τὸν δημιουργὸν εὐλογῶν καὶ δοξάζων
440 ἕνεκα πάντων.

Γνόφῳ ὑπέδυς, ὡς πάλαι Μωσῆς ὁ μέγας,
καὶ μικρόν τι πλέον δεδόξασαι

---

heirm. η' EE 111, n. 154, Georgi Siculi; heirm. integrum praebent cdd. 420 καινὸν] κλεινὸν Mf   τῶν λόγων Mf   426 καταβαλὼν Cg   427 ἀνέτειλαι Cg   428 τὸ om. Cg   ὑμνεῖν Mf   430 Ἀπηλιώτου χωρίω διωκισμένω Mf   432 σου] σε Mf   433-434 ἐν ... πειρώμενος om. Mf   438 τῆς Mf   441 Γνόφον Mf   ὑποδὺς Cg

---

433-438 SAVILIUS, o.c., 219[38-41]: Καὶ λαβὼν ὁ Ἰωάννης δίπτυχον ἔγραψεν Ἐπιφανίῳ· Ἐπιφάνιε σοφέ, σὺ συνήνεσας ἐπὶ τῇ ἐμῇ ἐξορίᾳ; οὐ μὴ ἔτι καθίσῃς ἐπὶ τοῦ θρόνου σου. Ὁμοίως δὲ καὶ Ἐπιφάνιος ἀντιγράφει· Ἰωάννη ἀθλητά, δέρου καὶ νίκα. Ἐπὶ δὲ τῷ τόπῳ ᾧ ἐξορισθῇς, οὐ μὴ φθάσῃς. cfr. SAVILIUS, o.c., 347[18-25]; K. DIOBOUNIOTIS, o.c., 62-63

ἐξ ἀλήκτου αὐγαζόμενος
καὶ τρισσοφώτου μονάδος,
445 ὑφ' ἧς τὰ χρυσόρρειθρα γράφεις ἀεὶ σύμβολα·
συνεντιθείς, ὦ θεῖε πάτερ,
καὶ παριστάμενος αἴτει
καὶ ἡμᾶς, Χρυσόστομε,
λαμφθῆναι ὑμνοῦντας
450 ὡς δημιουργὸν καὶ Θεὸν τῶν ἁπάντων
εἰς τοὺς αἰῶνας.

Ἐν εὐσπλαγχνίᾳ πολλῇ σε καὶ συμπαθείᾳ
ὁ Χριστὸς ὁρῶν, τρισμακάριστε,
Ἡλιού σοι ἐγχειρίζει σαφῶς
455 τῆς μετανοίας τὸ δόγμα
ἐφάς τῷ ὕψει σε παραθέμενος,
ὄφιν ὡς πάλαι ἐν ἐρήμῳ
ἄκος διδοῦντα τῇ θέᾳ
ἐν αὐτῷ καὶ λύοντα
460 δεσμοὺς ὀφλημάτων
τοῖς τὸν λυτρωτὴν μετὰ σοῦ εὐλογοῦσιν
εἰς τοὺς αἰῶνας.

Ῥητόρων ὕπουλον μισῶν καὶ φιλοσόφων,
εὐπρεποῦς φιλοσόφου, ὅσιε,

---

443 ἀλείπτου Cg   αὐγαζόμενος] ἀσπαζόμενος Mf   444 τρισσοφαοῦς Cg   445 ἀεὶ om. Mf   σύμβολα] δόγματα Mf   446 συνετιθεὶς cdd.   ὦ θεῖε] ὅσιε Mf   447 καὶ] ἢ Mf   449 ὑμνοῦντας] βοῶντας Mf   450-451 ὁ δημιουργὸς καὶ θεὸς τῶν πατέρων / εὐλογητὸς εἶ Mf   452 σε] τε Mf   453 παμμακάριστε Mf   454 ἡλίου Cg   σοι] σε Mf   458 διδῶντα Mf   459 ἐν αὐτῷ] ψυχικὴν Mf   461 τοῖς τὸν] τῶν τῷ Mf   εὐλογοῦσιν] μελῳδοῦσιν Mf   462 εὐλογητὸς εἶ Mf   463-473 troparium deest in Mf

---

441 Ex. 20,21   457-458 Num. 21,8-9

464-471 SAVILIUS, o.c., 158[42-44]: ... μιμητὴς γενόμενος ἐν πᾶσι Παύλου τοῦ ἁγιωτάτου ἀποστόλου καὶ τῶν θείων γραφῶν ἐξηγητὴς δόκιμος, διερμηνεύων καὶ σαφηνίζων τὰ πολλοῖς δυσνόητα.

465 τοῖς τοῦ Παύλου ἐτέρπου σεπτοῖς
λόγοις, ὡς μάλιστα φίλου
καὶ μύστου καὶ ῥήτορος συνυπάρχοντος·
φῶς γὰρ φωτὶ θεωρημάτων
κρυφιομύστως εὑρίσκων
470 καὶ εἰς βάθος ἄπλετον
χωρῶν νοημάτων,
τὸν δημιουργὸν ἐπανύμνεις, τρισμάκαρ,
εἰς τοὺς αἰῶνας.

218ᵛ τριαδ. ‖ Ῥεραντισμένοι τριδώρως τοῦ θείου δώρου
475 τῇ σεπτῇ ἐνεργείᾳ ἅπαντες,
τρισαγίως τὸ τρισήλιον φῶς
τῆς τρισηλίου μονάδος
τῇ αἴγλῃ λατρεύοντες, καταγγέλλομεν
σέλας ὡς ἕν· πατρὸς Θεοῦ γὰρ
480 υἱόν, πατρὸς καὶ Θεοῦ δέ,
καὶ Θεοῦ τοῦ πνεύματος·
θεότης γὰρ μία
ἡ τρισσοφεγγὴς τοῖς προσώποις οὐσία
εἰς τοὺς αἰῶνας.

θεοτ. 485 Ὡς ὑπερτέρα τῶν ἄνω θεωρημάτων
ἡ γαστήρ σου, παρθένε, φέρουσα
ἀπορρήτως Θεὸν γέγονεν,
ὃν ἐξ ἀμφοῖν ἀνυμνοῦμεν
ἐκ σοῦ προερχόμενον ὡς Θεάνθρωπον
490 καὶ σὲ παρθένον μετὰ τόκον
ὡς ἀσφαλῶς καὶ βεβαίως
προσκυνοῦμεν, ἄχραντε,
ὑμνοῦντες συμφώνως
τὸν δημιουργὸν καὶ Θεὸν τῶν ἁπάντων
495 εἰς τοὺς αἰῶνας.

---

477 τρισαγίου Mf   478 λατρεύοντες] τρισσεύοντα Mf   479 θεοῦ πατρός... Mf   487 Θεὸν] θεοτόκος Cg   489 ἐξ οὗ Cg   491 ὡς om. Cg   493 ὑμνοῦντες] βοῶντες Mf   494-495 καὶ Θεὸν ... αἰῶνας] εὐλογεῖτε τὰ ἔργα εἰς τοὺς αἰῶνας Mf

ᾠδὴ θ'. *Ἀκατάληπτος ὁ τρόπος τῆς λοχείας σου*

Ἀκατάληπτον τὸ πλοῦτος τῆς σοφίας σου,
ἀνερμήνευτον τὸ βάθος τῶν δογμάτων σου·
παλαιᾶς γὰρ καὶ τῆς νέας τοὺς νόας
παρελθὼν θεωρίας,
500 ὡς ἄλλος Παῦλος πλουτεῖς
καὶ διεξάγεις εἰς φῶς τῆς γραφῆς
τὰ ἀπόκρυφα, θεόμυστε βροτέ,
ἐφ' οἷς σωζόμενοι, Χριστὸν
προσκυνοῦντες ἀνυμνοῦμέν σε, Χρυσόστομε.

505 Ἱερόπρεπόν σε κῦδος ὁ Θεὸς παρασχὼν
ἀνακτόρων τῇ πολίχνῃ, τὴν ὑφήλιον
καταυγάζεις ταῖς τῶν λόγων σου, μάκαρ,
χρυσοφώτοις βολίσι
καὶ ἀπελαύνεις βροτῶν
510 νόσον φιλάργυρον οἰκτιρμοῖς
χαριζόμενος τὴν ἄσυλον ζωήν,
ἧς ἐπιτύχοιμεν ταῖς σαῖς
προσευχαῖς, τοῖς φιλοπτώχοις ἀριθμούμενοι.

Ῥηϊδίως τοῖς ἀγγέλοις στοιχειούμενος,
515 θεορρῆμον, ὑπὲρ πάντων τῷ δεσπότῃ Θεῷ
f. 219 ‖ μνημονεύων ἀενάως μὴ παύσῃ
τῶν ἐν κόσμῳ τελούντων
τὴν σὴν πανήγυριν
λύσιν δοθῆναι παθῶν, πειρασμῶν
520 καὶ κινδύνων τε καὶ θλίψεων πασῶν
ἀπαλλαγῆναι προσευχαῖς
ταῖς ὁσίαις σου, τρισμάκαρ, ἱερώτατε.

heirm. θ' EE 111, n. 154, Georgi Siculi; eundem integrum continet Cg
499 θεωρίαν Mf 500 παῦλος] ὄθτω (sic) Mf; in Cg verbum omnino deest
501 εἰς φῶς] σαφῶς Mf 502 θεόμυστε] θεόστομε Mf 504 ἀνυμνοῦμεν
προσκυνοῦντες ... Mf 505 Ἱερόπλουτον Mf 511 ἄσυλον ζωὴν] ἄυλον
μονὴν Cg 512 ἐπιτύχωμεν Cg 519 πειρασμῶν om. Cg 520 καὶ
κινδύνων ὁμοῦ τε καὶ τῶν θλίψεων πασῶν Cg 521 καὶ ἀπαλλαγῆναι ... Cg
522 ὁσίως Mf

Ὡς ἐν νόμῳ σοι τὸ πάλαι τρίχας, ὅσιε,
ἐκ καρδίας ἐριφώδεις προσενήνοχα
525 λόγων δῶρον, ὃ δεχόμενος, μάκαρ,
μὴ τὴν φράσιν προκρίνῃς,
ἀλλὰ τὴν πρόθεσιν,
ῥύσειας δέ με ταῖς σαῖς προσευχαῖς
ἐκ πταισμάτων κλυδωνούμενον πολλῶν
530 ψυχὴν ἐλλάμψαι δὲ φωτὶ
οὐρανίου κληρονόμον τε ζωῆς με δεικνύς.

Ἑνιαίαν σε τῇ φύσει, τοῖς προσώποις τρισὶν
ἀδιστάκτως προσκυνοῦμεν, τριὰς ἄκτιστε,
τῶν πατέρων στηριχθέντες τοῖς ὅροις,
535 ὧν ἡμῖν ὑπερλάμπει
εἷς, ὁ Χρυσόστομος,
ἐξόχως σήμερον, οὗ ταῖς λιταῖς
τὴν ὑφήλιον εἰρήνευσον καὶ νῦν
τοῖς συνελθοῦσι τὸν μισθόν,
540 βασιλείαν ἀποδοῦναι τὴν αἰώνιον.

θεοτ. Γηθοσύνως συνελθόντες προσκυνοῦμέν σου
τὴν εἰκόνα, θεοτόκε, καὶ αἰτοῦμέν σε
κακοδόξων τὰς βουλὰς διασπάσαι
καὶ τοῦ θράσους στερῆσαι
545 τῶν μεμηνότων εἰς σὲ
καὶ τὸν τεχθέντα ἐκ σοῦ, ὅν, ἁγνή,
καθικέτευε τὴν πίστιν ἀκραιφνῆ
καὶ ἀδιαίρετον ἡμᾶς
εἰς αἰῶνας συντηρῆσαι τῶν αἰώνων· ἀμήν.

524 ἐριφόδόυ Cg ἐριφῶδους Mf 525 ὃν Cg 526 φράσιν] φάσιν Mf
528 ῥύσιες cdd. 528 προσευχαῖς] εὐχοδαεῖς Cg 529 ἐκ πταισμάτων] καὶ
καταισμάτων Cg 530 ἐκλάμψαι Cg 531 οὐρανίω Cg τε] τῆς Cg 532 τοῖς]
καὶ Mf 533 προσκυνοῦμεν ἀδιστάκτως... Mf 537 οὗ ταῖς ἀπαύστοις λιταῖς
Ἰησοῦ Mf 540 βασιλείαν ἀποδοὺς τὴν ἐπουράνιον Mf 541-549 aliud θεοτ
in Mf: Γαβριὴλ σὺν τῷ ἀγγέλῳ ἐκβοήσωμεν / τῇ πανσέμνῳ καὶ πανάγνῳ τοῦ σωτῆρος
μητρί· / « χαῖρε, πόλις οὐρανῶν πλατυτέρα, / χαῖρε, γέφυρα πάντας / πρὸς ζωὴν
ἄγουσα, / χαῖρε, παλάτιον νοητόν, / χαῖρε, στάμνε μάννα ἔχουσα, Χριστόν, / χαῖρε,
λυχνία ἡ χρυσῆ, / χαῖρε, δόξα τῶν ὁσίων καὶ τὸ καύχημα. 541 συνελθῶτες Cg

523-524 Ex. 25,4; 35,5-6

27 IAN. *CANON* XXXV

IN TRANSLATIONEM RELIQUIARUM S. JOANNIS CHRYSOSTOMI

Crypt. Δ.α. V = Ch, ff. 139-141v
Crypt. Δ.α. XXXII = Ct, ff. 37v-39
Vat. gr. 2069 = Vb, ff. 134v-136

Κανὼν παρακλητικὸς φέρων ἀκροστιχίδα·
Ἕκτη δέησις τῷ Χρυσοστόμῳ πρέπει· Ἰωσήφ.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Κύματι θαλάσσης*
τὸν κρύψαντα πάλαι

* Ἐκ τῶν ἀναγκῶν με
τοῦ βίου, παμμάκαρ,
καὶ τῶν παγίδων με
ἐχθροῦ ἐξάρπασον
5 ἐπικουφίζων εὐχαῖς σου
τὸν κλοιὸν τῶν ἐγκλημάτων μου,
ἱερὲ Χρυσόστομε,
ἀγγέλων ἰσοστάσιε.

* Κατευωδιάζεις
10 τοῖς θείοις σου λόγοις
πιστῶν νοήματα·
αἱ σαὶ φιάλαι, παμμάκαρ,

Canonem usque ad oden η' M. Γεδεὼν in Ἀρχεῖον Ἐκκλησιαστικῆς Ἱστορίας. Ἐν Κωνσταντινουπόλει 1911, τόμ. Α' τεῦχος Δ' σελ. 493-496 edidit; M. Γεδεὼν litteris « ge » indicamus tit. Τῇ ἑσπέρα κανὼν παρακλητικὸς τοῦ χρυσοστόμου φέρων... et in margine Ἰωσὴφ Ch Ἕτερος κανὼν οὗ ἡ ἀκροστιχίς... et in margine Ἰωσὴφ Ct ... εἶτα εἰς τὸ μεσονύκτιον κανὼν τοῦ χρυσοστόμου φέρων... Vb Κανὼν ὁ ἕκτος τοῦ Ἰωσήφ. « Ἕκτη... ge
heirm. α' EE 164, n. 231, perperam Casiae tributus 4 τοῦ ἐχθροῦ λύτρωσαι ge 10 τοῖς θείοις] ἐνθέοις Ct ge σου om. Vb 12 σιαγόνες] σταγόνες ge

12-13 Cant. 6,2

ἀρωμάτων ἀπεδείχθησαν·
15 ὅθεν συνελθόντες σε
γεραίρομεν, Χρυσόστομε.

* Τῇ τῶν σῶν δογμάτων
πλημμύρᾳ βυθίσας
νόας αἱρέσεων,
20 πάτερ Χρυσόστομε,
ἐπιθυμίαις ἀτόποις
f. 139v || βυθιζόμενόν με πάντοτε
πρὸς λιμένα εὔδιον
τῆς μετανοίας ἴθυνον.

θεοτ. 25 * Ἡ εὐλογημένη
καὶ δεδοξασμένη
τοὺς σὲ δοξάζοντας
δόξης ἀξίωσον
ἐπιτυχεῖν ἀϊδίου
30 καὶ λαμπρότητος, πανάμωμε,
τῶν πιστῶν βοήθεια,
παρθένε, χρηματίζουσα.

ᾠδὴ γ'. *Σὲ τὸν ἐπὶ ὑδάτων*

* Δήμοις ἀρχιερέων,
Χρυσόστομε,
35 ἀπαύστως συγχορεύων,
σὺν τούτοις ἐκδυσώπει
τὸν ὑπεράγαθον κύριον
ὑπὲρ ἡμῶν, δεόμεθα,
τῶν εὐφημούντων σε
40 πίστει ὡς Θεοῦ θεράποντα.

* Ἔχει σε πᾶς ὁ κόσμος,
Χρυσόστομε,

14 ἀνεδείχθησαν ge 19 νόας] πλῆθος ge 29 ἀϊδίου] αἰωνίου Ct ge
heirm. γ' EE 164, n. 231, perperam Casiae tributus

παγκόσμιον φωστῆρα,
ἔχει ψυχή σε πᾶσα
45 ἀναψυχὴν ἁμαρτήμασι
φλογιζομένη πάντοτε
καὶ ἀπογνώσεως
φεύγει βόθρον ἀνυμνοῦσά σε.

* Ἤνθησας ὥσπερ κρίνον,
50 Χρυσόστομε,
ἐν ταῖς αὐλαῖς κυρίου·
διό με δυσωδίας
τῆς τῶν παθῶν ἐλευθέρωσον,
εὐωδιάζων πάντοτε
55 θείοις νοήμασι,
πάτερ, τὴν ἐμὴν διάνοιαν.

θεοτ. * Στήριξόν με, παρθένε,
πρεσβείαις σου
ἐν πέτρᾳ ἀληθείας
60 καὶ μὴ παραχωρήσῃς
ὑποσκελίζεσθαι πάντοτε
ὑποβολαῖς τοῦ πλάνου με,
θεοχαρίτωτε,
ἵνα πίστει μακαρίζω σε.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ὁ πάγχρυσος κάλαμος
τῆς ἐκκλησίας Χριστοῦ
ὑμνείσθω Χρυσόστομος,

---

44 πᾶσα om. Ct 46 πάντοτε] ὅσιε Ct ge 48 ἀνυμνοῦσα] εὐφημοῦσα Ct ge 61 πάντοτε] ἄχραντε Ct ge 62 ὑποβολαῖς] ταῖς προσβολαῖς Ct 64 versum om. Ct ἵνα] ὅπως ge

κάθ. deest in Ct ge heirm. καθ. HR 63; aliud κάθ. in Ct Τὴν σοφίαν ἐξ ὕψους καταμαθὼν MR II, 141

49-51 cfr. Ps. 91,13-14

ὁ μετανοίας λαμπτήρ,
5 ὁ δεύτερος Πρόδρομος·
πάντες οὖν συνελθόντες
οἱ πιστοὶ καταχρέως,
μνήμην αὐτοῦ τὴν θείαν
προσκυνοῦμεν σὺν πόθῳ·
10 πρεσβεύει γὰρ πρὸς κύριον
εἰς τὸ σωθῆναι ἡμᾶς.

ᾠδὴ δ'. *Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν*

65 * Ἱερολόγος ἱερώτατος
καὶ ποιμένων ποιμήν,
Χρυσόστομε, ἐδείχθης
καὶ ὁδηγὸς σωτήριος
πάντων τῶν πιστῶς
70 πειθαρχούντων ταῖς θείαις
διδασκαλίαις σου.

f. 140 * ‖ Σκανδάλων, πάτερ, πολυτρόπων με,
ὁρατῶν τε ἐχθρῶν
καὶ ἀοράτων ῥῦσαι
75 καὶ τῆς ἀποκειμένης μοι
δίκης φοβερᾶς,
προσφυγόντα τῇ σκέπῃ
τῇ σῇ, Χρυσόστομε.

* Τῶν ἀγαθῶν σοι τὴν ἀπόλαυσιν
80 Ἰησοῦς ὁ Χριστός,
Χρυσόστομε, παρέσχε·
τοῦτον οὖν καθικέτευε
πάντων τῶν κακῶν
τοὺς πιστῶς σε τιμῶντας
85 ἀπολυτρώσασθαι.

---

heirm. δ' EE 164, n. 231, perperam Casiae tributus
69 πιστῶν ge 77 προσφυγόντα] προσδραμόντα Ct ge 79 σοι τὴν] αὐτοῦ ge 81 παρέσχες Vb 83 τῶν κακῶν] δυσχερῶν ge

θεοτ. * Ὡς ἱλαστήριόν σε, ἄχραντε,
ὡς θερμὴν πρὸς Θεὸν
ἀντίληψιν πλουτοῦμεν
οἱ δοῦλοί σου, πανάμωμε·
90 λύτρωσαι ἡμᾶς
αἰωνίων βασάνων
ὑμνολογοῦντάς σε.

ᾠδὴ ε'. *Πρὸς σὲ ὀρθρίζω*
τὸν δι' εὐσπλαγχνίαν

* Χρυσήλατόν σε
σάλπιγγα φωνοῦσαν
95 τὸ σωτήριον μέλος,
Χρυσόστομε, εἰδότες
καὶ τοὺς εἰς βυθὸν
καταβάντας δεινῆς ἀπογνώσεως
ἀνελκύοντα, πίστει μακαρίζομεν.

100 * Ῥανίσι, πάτερ,
θείων διδαχῶν σου
ἀθυμίας ἐξαίρεις,
Χρυσόστομε, τὴν φλόγα
ἀπὸ τῶν ψυχῶν,
105 θεῖον ταύταις πυρσὸν ἀγαπήσεως
ἐπανάπτων ἑκάστοτε πρεσβείαις σου.

* Ὑψηλοτάταις,
μάκαρ, σαῖς πρεσβείαις
ἐκ βαράθρου πταισμάτων
110 ἀνάγαγέ με τάχος
καὶ τῷ βασιλεῖ
καὶ Θεῷ σεσωσμένον παράστησον
ἀνυμνοῦντα τὴν χάριν σου, Χρυσόστομε.

---

89 οἱ δοῦλοί σου] οἱ δου οἱ σοῦ Vb 90 λύτρωσαι] λύτρω Ct
heirm. ε' EE 163, n. 230, Cosmae 99 πίστει] πάτερ Ct ge 100 πάτερ] θείων Ct ge 101 θείων] πάτερ Ct ge 105 ταύτας Ct 106 πρεσβείαις σου] πανόλβιε Ct ge 108 σαῖς] σοῦ Ct ge 109 βαράθρων ge 110-113 pro ἀνάγαγε... Χρυσόστομε. scriptor Ct, omoioteleuti causa, vv. 117-120 (πανάμωμε παρθένε...) anteposuit, θεοτ. negligens et omittens

θεοτ. * Σαρκοῦται δίχα
115 τροπῆς ὁ δεσπότης
ἐξ ἁγνῶν σου αἱμάτων,
πανάμωμε παρθένε,
καὶ πάντας ἡμᾶς,
ὑπαχθέντας τῇ πλάνῃ, πρὸς θείαν ζωὴν
120 ἐπανάγει ὑμνοῦντάς σε, πανύμνητε.

ᾠδὴ ς'. *Ἄβυσσος*
ἐσχάτη ἁμαρτημάτων

* Ὄλβιος,
παμμάκαρ, θείοις χαρίσμασι γέγονας
καὶ ἐχρύσωσας τὴν οἰκουμένην
τοῖς χρυσαυγέσι σου λόγοις,
125 θεόφρον ἱεράρχα Χρυσόστομε.

f. 140v * ‖ Στόματος
ἀνάγεις ἐχθροῦ δολίου, Χρυσόστομε,
ἀπογνώσει τοὺς καταποθέντας,
τὴν τοῦ Θεοῦ εὐσπλαγχνίαν
130 πλατύνων τοῖς πανσόφοις σου δόγμασι.

* Τίμιον,
παμμάκαρ, κυρίου σκεῦος γενόμενος,
ἐξ ἀτίμων πράξεών με ῥῦσαι
τὸν σὲ τιμῶντα καὶ πόθῳ
135 τῇ σκέπῃ σου τῇ θείᾳ προστρέχοντα.

θεοτ. * Ὄμβρισον
σταγόνα μοι θείας, πάναγνε δέσποινα,
κατανύξεως, ὅπως πενθήσω
καὶ ἀπονίψωμαι ὅλον
140 τὸν ῥύπον τῶν ἀμέτρων πταισμάτων μου.

---

120 πανύμνητε] πανάμωμε ge
heirm. ς' EE 163, n. 229, Cosmae 122 χαρίσμασι] χρίσματι Ct 123 ἐχρύσωσας] ἐπλούτισας Ct ge 127 ἀνήγαγες ge 130 πλάτυνον ge 132 κυρίου σκεῦος παμμάκαρ... Ct Κυρίου σκεῦος, μάκαρ... ge 133 ἀτίμων πράξεών με] ἀτόπων με πράξεων ge 137 σταγόνα θείας με... Ct

Κοντάκιον.

Ἦχος α'. *Χορὸς ἀγγελικὸς*

Ηὐφράνθη μυστικῶς
ἡ Χριστοῦ ἐκκλησία
....

⟨Ὁ οἶκος.⟩ *Τὸ φοβερόν σου, κριτά,*

Ἡ λαμπὰς ἡ τῶν ἔργων μου
....

ᾠδὴ ζ'. *Οἱ παῖδες ἐν Βαβυλῶνι*
καμίνου φλόγα οὐκ ἔπτηξαν

* Μαρμαρυγαῖς σῶν δογμάτων
ἡ οἰκουμένη φωτίζεται,
ἱεράρχα σοφέ,
καὶ καρδίαι γνῶσιν θείαν εἰσδέχονται
145 τοῦ σκοτασμοῦ λυτρούμεναι
τῆς ἀγνοίας, Χρυσόστομε.

f. 141 * ‖ Ὡραϊσμένος τῷ κάλλει
τῶν ἀρετῶν, ὡραιότατε,
ὡραΐζεις ψυχὰς
150 τοῖς ὡραίοις καὶ παγχρύσοις σου δόγμασι
καὶ παριστᾷς τῷ κτίστῃ σου
σωζομένας, Χρυσόστομε.

* Πυρὸς γεέννης με ῥῦσαι
ταῖς θερμοτάταις πρεσβείαις σου

κοντ. et οἶκ., quorum tantum primum versum Vb profert, in MR III, 391 invenies; eadem desunt in Ct ge; aliud κοντάκ. in Ct Ἐκ τῶν οὐρανῶν ἐδέξω et οἶκ. Τῷ τῶν ὅλων ποιητῇ (ποιητὴν cd.) MR II, 148

heirm. ζ' EE 163, n. 229, Cosmae 141 σῶν] τῶν Ct 144 θείαν om. Ct 145 λυτρούμεναι] Χρυσόστομε ge 146 Χρυσόστομε] λυτρούμεναι ge 148 ὡραιότατε] ἱερώτατε Ct ge 152 σωζομένους ge

155 καὶ μελλούσης ἐκεῖ
εὐφροσύνης κληρονόμον ἀνάδειξον
καὶ ψυχοφθόρου λύπης με
ἐλευθέρωσον, πάνσοφε.

θεοτ. * Ῥομφαίᾳ τῆς ἁμαρτίας
160 καταβληθεὶς τεθανάτωμαι·
ἡ τεκοῦσα Χριστόν,
τὸν θανάτῳ καθελόντα τὸν θάνατον,
ζωοποιῷ πρεσβείᾳ σου
ζωοποίησον, σῶσόν με.

ᾠδὴ η'. *Νόμων πατρῴων οἱ μακαριστοὶ*

165 * Ἐν ἀμελείᾳ διανύων μου
τῆς παροικίας χρόνον τρέμω καὶ δέδοικα,
μήπως ἄφνω τοῦ θανάτου με
ἡ τομὴ καταλάβῃ
καὶ ὥσπερ δένδρον
170 ἄκαρπον εἰς πῦρ ἀποπεμφθῶ·
ἱεράρχα Χρυσόστομε,
οἰκτείρησον βοῶντα·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

175 * Πύρινον στόμα ἔσχες, ἔνδοξε,
φιλαργυρίας ὕλην ἐμπρήζων λόγοις σου
καὶ εἰς οἶκτον καὶ συμπάθειαν
κινῶν πάντων καρδίας·

---

158 πάνσοφε] ὅσιε Ct ge

heirm. η' EE 163, n. 229, Cosmae 162 καθελόνται Ct 165 διανύσας ge 170 πῦρ] γῆν Ct 172 οἰκτείρησον] οἴκτειρόν με Ct ge 173 post ὑμνεῖτε laudem detruncat Ct 176 ἐμπρήζων] ἐμπιπρῶν ge 177 συμπαθείαν Ct 178 κινεῖς ge κρινεῖς Ct πάντων] πιστῶν Ct ge

---

165-166 I Petr. ep. 1,17 169-170 Matth. 3,10

διὸ τὸν νοῦν μου
180 τὸν ἀσυμπαθῆ σαῖς προσευχαῖς
οἴκτου θείου ἐκπλήρωσον,
ἐνθέως μελῳδοῦντα·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

185 * Ἐν εὐταξίᾳ, ἱερώτατε,
καὶ πάσῃ κατανύξει διατηρῶν ἡμᾶς,
ὡς ποιμὴν θεοσυνέργητος
ὁδήγει ἀοράτως,
ὅπως, φυγόντες
190 πάσας τὰς τοῦ πλάνου μηχανάς,
ἐν ἀρρήτῳ βοήσωμεν,
Χρυσόστομε, γαλήνῃ·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. 195 * Ἱερωτάτη προετράνωσε
τῶν προφητῶν σε γλῶττα, κόρη πανάμωμε,
ὄρος πῖον, πύλην φέρουσαν
τὸν ἥλιον ἀφράστως
δικαιοσύνης,
200 πάναγνε, φωτίζοντα ἡμῶν
τὰς καρδίας ταῖς λάμψεσι
ταῖς θείαις τῶν βοώντων·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

---

183 post ὑμνεῖτε laudem detruncant Ch Ct Vb 188 ὁδηγεῖς Ct 191 ἐναρέτως βιώσωμεν Ct ge 192 γαλήνῃ] βοῶντες Ct ge 193-194 orat. omnino om. Ct 193. 203 post ὑμνεῖτε laudem recidit Ch 194 αὐτὸν εἰς τοὺς αἰῶνας] αὐτὸν εἰς πάντας τοὺς αἰῶνας Vb εἰς πάντας τοὺς αἰῶνας ge 195 Ἱερωτάτην Ct 196 κόρη γλῶττα Ct ge 200 πάναγνε] ἄχραντε Ct ge 202 τῶν om. Ct

---

197 ὄρος Ps. 67,16; πύλην Ez. 44,2

ᾠδὴ θ'. *Ἀπορεῖ πᾶσα
γλῶσσα εὐφημεῖν πρὸς ἀξίαν*

205 Ἰσχύι, πάτερ,
τοῦ παμβασιλέως ἁπάσας
τὰς πανουργίας
f. 141v ‖ ἔλυσας, Χρυσόστομε παμμάκαρ, τῶν δαιμόνων,
ὧν τῆς κακουργίας λύτρωσαι
210 τοὺς σὲ τιμῶντας
καὶ ἱεροῖς σε λόγοις γεραίροντας ἀεί,
ὅπως
ἀνεπιστρόφως τὰς θείας
τρίβους ὁδεύσωμεν.

215 Ὡς συμπαθείας
πέλαγος, σοφέ, κεκτημένος,
ἐκ τοῦ βυθοῦ με
τῶν ἁμαρτημάτων τῶν ἀμέτρων, χρυσορρῆμον,
δέομαι, ταχὺ ἀνάγαγε
220 καὶ σεσωσμένον
τῷ ἀγαθῷ δεσπότῃ παράστησον ταῖς σαῖς,
πάτερ,
ἱερωτάταις πρεσβείαις,
ὅπως δοξάζω σε.

225 Στειρεύουσάν μου,
μάκαρ, τὴν καρδίαν ἐκ πάντων
κατορθωμάτων
καὶ τῇ ἀμελείᾳ τῇ χρονίᾳ κρατουμένην,
δεῖξον εὐτεκνοῦσαν πράξεσι
230 τελειοτάταις
υἱόν με κατὰ χάριν ποιούσαις τοῦ πατρός,
μάκαρ,
τοῦ οὐρανίου εὐχαῖς σου,
ὅπως δοξάζω σε.

---

heirm. θ' EE 37, n. 49, Cosmae; heirm. ἦχ. β' pertinet et non ἦχ. πλ. β' (cfr. Commentarium) 210 τοὺς εὐφημοῦντας Ct 226 μάκαρ] πάτερ Ct 230 τελειωτάτως Ct 234 θείαις χρυσόστομε Ct

235 Ἡγιασμένε
φίλε, τοῦ κυρίου θεράπον,
ἁγίασόν μου,
δέομαι, Χρυσόστομε, καρδίαν καὶ τὰς φρένας
καὶ ὡς συμπαθὴς θεράπευσον
240 τὰ χρόνιά μου
καὶ ψυχοφθόρα πάθη, ὡς ἔχων πρὸς Θεόν,
πάτερ,
δυνατωτάτην πρεσβείαν
τὸν ὑπεράγαθον.

Θεοτ. 245 Φοβερωτάτης
λύτρωσαι, ἁγνή, μὲ ἀνάγκης,
ἡνίκα μέλλῃ
ἔρχεσθαι, παρθένε, ὁ υἱός σου καὶ δεσπότης
κρίσιν ἀληθῆ ποιήσασθαι
250 καὶ ἀποδοῦναι
ἑκάστῳ κατ' ἀξίαν, ἁγνή, τὰς ἀμοιβάς,
πάντων
παρεστηκότων ἐν τρόμῳ
τῶν ἄνω τάξεων.

---

236 φίλε] πάτερ Ct   242 μάκαρ Ct   253 παρισταμένων Ct

IN TRANSLATIONEM RELIQUIARUM S. JOANNIS CHRYSOSTOMI

Paris. gr. 259 = Pa, ff. 132-134v
Crypt. Δ.α. XXIV = Cy, ff. 169v-171
Barb. gr. 543 = Bb, ff. 166v-168

Ὁ κανών.

Ἦχος α'.

ᾠδὴ α'. *Ἄισωμεν πάντες λαοί*

* Χρύσεον στόμα Χριστοῦ,
ἱεροφάντα, ἐδείχθης·
ἐνοικήσας σὺν πατρὶ γὰρ καὶ πνεύματι
τῷ καθαρῷ ταμείῳ
5 τῆς θείας τε καὶ ἱερᾶς σου ψυχῆς
f. 170 || ὁ Λόγος τῇ εὐήχῳ
γλώττῃ σου φθέγγεται.

Ὥσπερ χρυσὸς καθαρθεὶς
ἑπταπλασίως τῷ κόσμῳ
10 διαπρέπουσιν οἱ χρύσεοι λόγοι σου,
οὓς ἐκ πυρίνης γλώττης
τοῦ πνεύματος ἡμῖν ἐβρόντησας,
παμμάκαρ Ἰωάννη,
μύρον εὐῶδες Χριστοῦ.

---

tit. Ὁ κανὼν εἰς τὸν ἅγιον ἰωάννην τὸν χρυσόστομον et in margine superiore ἰωάννου μοναχοῦ in Pa Ἑσπέρα ... ὁ κανὼν Bb
heirm. α' EE 4, n. 5, Joannis   1-7 troparium NS 26 (1931) 729   2 ἱεροφάντορ Bb   3 καὶ τῷ Bb NS   post πνεύματι delevit γὰρ Bb   4 ταμείῳ om. NS   5 τε] σου NS   7 γλώττης Bb   10 λόγοις Bb   14 χριστῷ Cy

15 Σὺ προμηθείᾳ Θεοῦ
πηγὴ δογμάτων ἐδείχθης
εὐσεβείας ἀναβλύζουσα νάματα
ποταμηδόν, παμμάκαρ
Χρυσόστομε, τῇ ἐκκλησίᾳ Χριστοῦ·
20 διό σου τὴν ὁσίαν
μνήμην δοξάζομεν.

θεοτ. * Ἄιδοντες πάντες πιστοὶ
τὴν ὑπερθαύμαστον κόρην,
τὴν τὸν Χριστὸν τῇ οἰκουμένῃ ἀνατείλασαν
25 καὶ χαρᾶς τὰ πάντα
πληρώσασαν τῆς ἀϊδίου ζωῆς,
ἀεὶ ἀνυμνήσωμεν,
ὅτι δεδόξασται.

ᾠδὴ γ'. *Στερέωσόν με, Χριστέ,*
ἐπὶ τὴν ἄσειστον πέτραν

Κατάκαρπος, λογική,
30 ἀμφιλαφής τε ἐλαία
σὺ ἑστηκὼς Θεοῦ ἐν οἴκῳ,
καρπὸν ἐκ χρυσέων σου χειλέων
ἅπασιν ἐλέους ἐξήνθισας.

Πτωχεύσαντα δι' ἡμᾶς
35 τὸν πλουτοδότην σωτῆρα
τοὺς τῷ ψευδεῖ κομῶντας πλούτῳ
μιμήσασθαι πέπεικας, διδάξας
ἅπαντα προέσθαι τοῖς πένησιν.

Μεσίτης ὤφθης πιστός,
40 οὐρανομήκης τε κλῖμαξ

---

15 Σὺ] Σὺν Pa 17 εὐσεβείας] εὐσεβεῖ Cy 19 ἐκκλησίαν Cy 20 ὁσίαν] οὐσίαν Bb 22-28 θεοτ. MR I,10; ipsum θεοτ. deest in Cy 22 Ἄιδοντες] Ἰδόντες Bb 26 πληρώσαντα Bb ζωῆς] δόξης Bb
heirm. γ' EE 4, n. 5, Joannis 31 σὺ ἑστηκὼς] συνεστηκὼς Cy 33 ἐλέους] ὁσίως Pa 36 ψεύδη Bb 38 πρόεσθαι Bb

---

29-31 Ps. 51,10 34-35 cfr. II Cor. 8,9

πρὸς οὐρανὸν ἐκ γῆς ἀνάγων
καὶ πάντας τοῖς λόγοις σου προσάγων,
πάτερ Ἰωάννη, Χριστῷ τῷ Θεῷ.

θεοτ. Ὡς μόνην ὑπερφυῶς
45 τὴν ὑπὲρ ἄνθρωπον χάριν
ἐν σῇ γαστρὶ εἰσδεξαμένην
ἀτρέπτως σκηνώσαντος, παρθένε,
πᾶσαι γενεαί σε δοξάζομεν.

θεοτ. Καταύγασον ὡς Θεὸς
50 τὴν σκοτισθεῖσαν τῷ γνόφῳ
τῶν ἡδονῶν διάνοιάν μου
f. 132v τῇ θείᾳ δυνάμει σου, ‖ πρεσβείαις
τῆς ἀπειρογάμως τεκούσης σε.

ᾠδὴ δ'. *Ἔλαμψεν ἡ χάρις σου τοῖς ἔθνεσι*
καὶ εἶδοσαν τὰ πέρατα τὴν δόξαν σου,
ὅτι διὰ τοῦ σταυροῦ
τὸν κόσμον ὅλον ἔσωσας.

Σὲ ἐτιθηνίσατο ἐκ μητρικῶν
55 ὠδίνων θεία χάρις, παμμακάριστε,
φωστῆρά τε ἀνέδειξε
δᾳδουχοῦντα τὰ πέρατα.

Σὺ τῷ Ἰωάννῃ ὡς τῆς κλήσεως
καὶ ζήλου ἐκοινώνησας, πανεύφημε,
60 τῷ λόγῳ τῆς ἀθλήσεως
βασιλίδι ἐλέγχοντι.

---

42 προάγων Cy 44-48 θεοτ. om. Cy 44 Ὡς μόνη παρὰ θεῷ Bb 46 δεξαμένην τοῖς σοῖς ἐν στέρνοις Bb 47 σκηνώσαντος subaudias Χριστοῦ: σκηνώσαντα Bb παρθένε] θεοτόκον Bb 48 σὲ πάντες πιστοὶ μεγαλύνομεν Bb 49-53 θεοτ. deest in Cy Bb post oden γ' in Bb invenies κάθ. Εὐφράνθη μυστικῶς... quod κοντακ. officio Cy post oden ς' tradit; idem in MR III, 391
heirm. δ' ineditus 54-57 troparium desideratur in Cy 57 τὰ πέρατα] ἀθλήσεως Bb post ἀθλήσεως addidit βασιλίδι ἐλέγχοντι Bb, cfr. vv. 60-61 58-65 troparia om. Bb 60 ἀθλήσεως] ἀληθείας Cy 61 βασιλεῖς διελέγχοντι Cy

---

58-61 Luc. 3,19

Σὺ ὡς Φινεὲς μὲν ἐξεκέντησας
τὴν πλάνην ὡς Ἠλίας δὲ διήλεγξας
κρατούντων παρανομίαν,
65 Ἰωάννη μακάριε.

Σοὶ κατεκοσμήθη, παμμακάριστε,
ὡς χρυσῷ κερασθεῖσα, ἡ τῶν πόλεων
ἐνδίκως βασιλεύουσα
ἁλουργὶς θείᾳ χάριτι.

θεοτ. 70 Μητέρα τοῦ κυρίου σὲ δοξάζομεν·
Θεὸν γὰρ σαρκωθέντα ἀπεκύησας,
ὃν ἀπαύστως πρέσβευε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

θεοτ. Σὺ μόνη ἐκύησας, πανάχραντε,
75 τὸν κτίστην τῶν ἁπάντων καὶ Θεὸν ἡμῶν·
διό σε ἱκετεύομεν
μὴ παύσῃ ἱκετεύουσα.

ᾠδὴ ε΄. *Ἐκ νυκτὸς ὀρθρίζοντες ὑμνοῦμέν σε, Χριστέ,*

Ἐναρέτῳ βίῳ σε καὶ λόγῳ ἀπλανεῖ
θεσμοθετοῦντα, ὅσιε,
80 ὁ δεσπότης κατελάμπρυνε,
διὰ σοῦ δὲ φωτίζει
τοὺς πόθῳ ὑμνοῦντάς σε.

Τοῖς πατράσι, πάτερ, προσετέθης ἀληθῶς,
καθάπερ σῖτος ὥριμος
85 τὴν ἐκ γῆς ἐκτιναξάμενος,

---

62 φηνὲς Cy 66-69 aliud troparium Cy Bb praebent: Φεύγει ὁ Θεσβίτης τὴν διώκτριαν / μοιχαλίδι δὲ τέθυται (τύθεται Bb) ὁ Πρόδρομος, / σὺν τούτοις καὶ Ἰωάννην / ἡ μαινὰς (ἡμέρας Bb) ἐξωστράκισεν 70-73 θεοτ. om. Cy; in Bb vero hoc dissimile legitur: Παρθένον μετὰ τόκον δοξάζομεν / συμφώνως θεοτόκον ἀνυμνοῦντές σε, / ὅτι ἐκ σοῦ τεχθεὶς ὁ Θεός, / τὸν κόσμον ὅλον ἔσωσεν 74-77 θεοτ. deest in Cy Bb
heirm. ε΄ EE 4, n. 5, Joannis 81 δὲ] τε Cy 82 τοῦ κόσμου τὰ πέρατα Cy 83 Τοῖς πατράσι, πάτερ,] Τοῖς ἱεράρχοις ὅσιε Cy

---

62-63 Num. 25,7-8 63-65 III Regn. 20,17-24 84 Job 5,26

παμμακάριστε, κόνιν
Θεῷ προσαγόμενος.

Ἐκ νυκτὸς ἀγνοίας με καὶ ζόφου τῶν παθῶν,
ἱερομύστα ὅσιε,
90 τὸν σωτῆρα καθικέτευε
ἐξελέσθαι καὶ σῶσαι
τῇ αἴγλῃ τοῦ πνεύματος.

133 θεοτ. * ‖ Τὰς ἡμῶν ἐλπίδας, θεοτόκε ἁγνή,
καὶ τὴν ἡμῶν πεποίθησιν
95 ἐπὶ σὲ ἀνατιθέμεθα·
εὐμενῆ ἡμῖν δίδου,
παρθένε, ὃν ἔτεκες.

ᾠδὴ ς΄. *Τὸν προφήτην διέσωσας*

Ὡς ὡραῖοι οἱ πόδες σου,
σωτηρίας τε κήρυκες,
100 ὁδὸν μαρτυρίου δραμόντες
Χριστοῦ, παμμακάριστε.

Ὑπερόριος, ἄπολις,
ἱεράρχα, γενόμενος,
ἀνάλωτος ὤφθης τῇ θείᾳ
105 δυνάμει ῥωννύμενος.

Τῶν παθῶν μου τὸν τάραχον
ταῖς εὐχαῖς σου κατεύνασον
καὶ πρὸς σωτηρίας λιμένα
προσόρμισον, ὅσιε.

θεοτ. 110 * Τοὺς εἰς σὲ καταφεύγοντας
ἀπὸ πάσης δεόμεθα
ῥῦσαι ἀπειλῆς ἡ τεκοῦσα
Χριστὸν τὸν Θεὸν ἡμῶν.

---

90 καθικέτευσον Cy 93-97 θεοτ. MR I,15 idem; θεοτ. desideratur in Cy
heirm. ς΄ EE 17, n. 22, Joannis 100 μαρτυρίων Bb 102 ἄπολες Bb 107 κταύνασον Cy καταύνασον Bb 109 καθόρμισον Cy 110-113 θεοτ. MR I, 16; idem θεοτ. om. Cy post oden ς΄ Cy profert κοντάκ. Εὐφράνθη μυστικῶς et οἶκ. Ἡ λαμπὰς ἡ τῶν ἔργων μου MR III, 391; ipsum officio καθ. Bd post oden γ΄ praebet; post oden ς΄ autem Bb tradit κοντάκ. Στεφηφόρος σήμερον et οἶκ. Ἀνατολὴ θεολαμπὴς Ax. 97

ᾠδὴ ζ′. *Ἀβραμιαῖοι παῖδες*
ἐν καμίνῳ τριάδα τυπώσαντες

Τῆς ἐκκλησίας, πάτερ,
115 δεδεγμένος θεόθεν τοὺς οἴακας,
ὥσπερ ὁλκάδα θείαν
σοφῶς ἐκυβέρνησας
ἀχειμάστως βοῶσαν·
« εὐλογητὸς εἶ, ὁ Θεός,
120 ὁ τῶν πατέρων ἡμῶν ».

Τὰς τῶν παθῶν ἀτάκτους,
Ἰωάννη, ὁρμὰς ἐχαλίνωσας,
καθυποτάξας λόγῳ
αὐτῶν τὸ δυσκάθεκτον
125 καὶ εὐρύθμως ἐβόας·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Ὁ συγκραθεὶς ἀσχέτως
τῇ φλογώσει τῆς σῆς ἀγαπήσεως
130 καὶ θεοφόρος ἄνθραξ
ἐξ αὐτῆς γενόμενος
Ἰωάννης βοᾷ σοι·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

135 Ἡ μυστικῶς σε, πάτερ,
οὐρανόθεν φωτίζουσα δύναμις
ἐκ τοῦ σεπτοῦ σου θρόνου

---

heirm. ζ′ EE 9, n. 11, Cosmae; heirm. integrum tradunt Pa Cy   Cy tantum tres strophas odes ζ′ profert, quarum ordo est 1,4,2   115 θεόθεν] θεόφρον Cy Bb   118 βοῶσα Bb βοᾶν σοι Cy   119 post Θεὸς invocationem varie detruncant Cy Pa Bb   123-125 pro καθυποτάξας ... ἐβόας in Bb legitur: καὶ θεοφόρος ἄνθραξ / ἐκ ταύτης γενόμενος / ἰωάννη βοᾷ σοι, cfr. vv. 130-132   126 post εὐλογητὸς varie orat. detruncant Cy Pa Bb   128-134 troparium desideratur in Cy Bb; Bb vero, in tertia sede, hoc τριαδ. refert: Τὴν ὁμοούσιον, πιστοί, / ὁμοφρόνως τριάδα ὑμνήσωμεν, / τὴν ἀδιαίρετόν τε / καὶ μίαν θεότητα, / ἣν ὑμνοῦντες βοῶμεν· / « εὐλογητὸς εἶ, κύριε ... (post κύριε orat. detruncatur)   132 ἰωάννη Pa   133 post εὐλογητὸς laudem excidit Pa   135-141 troparium deest in Bb

σκηπτὸς ἀναδέδεικται
τοῖς τοῦ Λόγου διώκταις,
140 θεοπρεπῶς τὴν κακίαν
ἐκκαθαίρουσα.

θεοτ. Τὴν ἀνυπέρβλητον, πιστοί,
καὶ ἁγίαν παρθένον ὑμνήσωμεν,
τὴν ὑπὲρ ἔννοιαν
f. 133v 145 τὸν κτίστην ‖ κυήσασαν,
ὃν ὑμνοῦντες, βοῶμεν·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η′. *Τὸν ἐν φλογὶ πυρὸς*
καιομένης καμίνου

Τὰς τοῦ ἀλάστορος
150 πυριφλέκτους βολίδας
ἔσβεσας δάκρυσι τοῖς σοῖς
καί, δροσισθεὶς τῇ χάριτι, θεοφόρε πάτερ,
« ὑμνεῖτε », ἔλεγες,
« καὶ ὑπερυψοῦτε
155 Χριστὸν εἰς τοὺς αἰῶνας ».

Ὡς βασιλεύσαντα
τῶν παθῶν, θεοφόρε,
σὲ ἐνυμφεύσατο Χριστὸς
τῇ βασιλίδι νύμφῃ θεοπρεπῶς βοώσῃ·
160 « ὑμνεῖτε κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας».

Τὴν θεηγόρον σου
οὐκ ἐπέδησε γλῶτταν

---

138 σκηπτὸς] σκίπω Cy   142-148 θεοτ. om. Cy   144 ἔννοιαν] νοῦν καὶ λόγον Bb   146 ὃν] ἣν Bb   147-148 post Θεὸς laudem detruncant Pa Bb

heirm. η′ EE 4, n. 5, Joannis   153 ὑμνοῦντα Bb   ἔλεγες] ἔψαλλες Cy Bb   154 post ὑπερυψοῦτε laudem intermittunt Cy Bb   159 βοῶντα Cy Bb   160. 174 post ὑμνεῖτε invocationem varie excidunt cdd.   163-169 troparium desideratur in Cy Bb

165 σιγῆς ὁ πρόξενος τάφος,
ἀλλὰ καὶ νῦν εὐήχως θεολογοῦσα ψάλλει·
« ὑμνεῖτε κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

170 Διὰ μαρτύρων σοι
ὁ Χριστός, Ἰωάννη,
« ἄνω ἐσόμεθα », φησί,
« καὶ τῆς ἐμῆς μεθέξεις ἀκαταλήπτου δόξης·
ὑμνεῖτε κύριον
175 καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Τὴν ἀκηλίδωτον
καὶ πανάμωμον κόρην,
τὴν ἀπορρήτως τεκοῦσαν
180 ὃν Χερουβὶμ δοξάζει ἀκαταπαύστοις ὕμνοις,
αἰνοῦμεν ἅπαντες
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Σὲ τὴν φαεινὴν λαμπάδα*

Τὸν εἰλικρινῆ σου βίον
185 ὡς θυσίαν εὐαγῆ

---

168 post ὑπερυψοῦτε invocationem excidit Pa 172 ἄνω] ἅμα Bb 173 μεθέξεως Bb 176 αὐτὸν εἰς] εἰς πάντας Bb post πάντας orat. excidit Bb 177 ante θεοτ., in quinta sede, hoc τριαδ. Bb tradit: Τὴν τρισυπόστατον / καὶ ὑπέρθεον φύσιν, / τὴν ἀσυγκρίτως τῶν ὄντων / ἀνακειμένην (ἀναχησμένην cd.) καὶ ἑαυτὴν γνωριζομένην / ὑμνεῖτε τὸν κύριον / καὶ ὑπερυψοῦτε... (post ὑπερυψοῦτε orat. detruncatur) 177-183 θεοτ. om. Cy 178 πανάμωμον] πανένδοξον Bb 180 ὃν] τὸν Bb 183 post ὑπερυψοῦμεν invocationem detruncat Bb
heirm. θ' EE 4, n. 5, Joannis 185 εὐαγῆ] ἐνάγει Bb

170-173 SAVILIUS, *Chrysostomi Opera Omnia*, VIII, 363[1-4]: Ὁ δὲ Βασιλίσκος ... ὄναρ ἐπιστὰς τῷ ἁγίῳ, « θάρσει, εἶπεν, ἀδελφέ, καὶ χαῖρε καὶ ἀγαλλία· αὔριον γὰρ ἅμα ἐσόμεθα ». cfr. Synax. Eccl. CP., (Selecta) 425[47-48]; PG 114, 1208[b-c]

184-186 Gen 4,4

τῷ Θεῷ προσενέγκας
ἐκ καθαρᾶς ὡς Ἄβελ τῆς συνειδήσεως,
πάτερ, δεδικαίωσαι.

Ὡς ἱερουργὸς κυρίου,
190 θεοφόρε, εὐπρεπῶς
ἐστολίσω χιτῶνα
δικαιοσύνης ἅμα καὶ σωτηρίας·
διό σε μακαρίζομεν.

Σὲ μετ' εὐφροσύνης, πάτερ,
195 ὑπεδέξατο φαιδρῶς
ἐκκλησία ὁσίων
καὶ ἐκλεκτῶν πανήγυρις πρωτοτόκων,
μεθ' ὧν σε μακαρίζομεν.

Τῆς τρισσοφαοῦς ἀκτῖνος
200 ἐκ θεότητος μιᾶς
δεδεγμένος τὴν αἴγλην,
τὴν κεκρυμμένην, πάτερ, ὑπὸ τὸ γράμμα
σὺ χάριν ἐφανέρωσας.

θεοτ. Σὲ τὴν ἀναλλοίωτον πάντες
205 καὶ τρισυπόστατον φύσιν,
τὴν τὰ πάντα ἐνδόξως
ἐκ τοῦ μὴ ὄντος ἄνω πλαστουργήσασαν,
ἐν ὕμνοις μεγαλύνομεν.

θεοτ. * Σὲ τὴν τοῦ φωτὸς νεφέλην
210 καὶ ἁγίαν κιβωτόν,
τὴν ὁλόφωτον πύλην
τοῦ νοητοῦ ἡλίου, ὡς θεοτόκον,
παρθένε, μεγαλύνομεν.

---

186 προσένεγκας Bb 187 ἐκ καθαρᾶς] ὡς καθάρας Cy post versum 190, scisso folio, verba legi non possunt in Bb 194 Σὲ] Σὺ Pa 198 μακαρίσωμεν Cy 200 μίας Cy 202 ὑπὸ τὸ γράμμα] ὑπὸ γράμματι Cy 203 σὺ om. Cy 203 ἐφανέρωσας] ἐφάνησαι Cy 204-213 θεοτ. desunt in Cy 209-213 θεοτ. MR II,13 213 παρθένε] ἐν ὕμνοις MR

---

209 cfr. Is. 19,1 211 Ez. 44,2

IN TRANSLATIONEM RELIQUIARUM S. JOANNIS CHRYSOSTOMI

Vat. gr. 2008 = Vm, ff. 28v-31

Ὁ κανὼν φέρων ἀκροστιχίδα· Πατέρων οὐρανίων κλέος ἀνεδείσω, πατριαρχῶν, προφητῶν, ἀποστόλων δώδεκα ἰσάριθμος.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Βοηθὸς καὶ σκεπαστὴς*
ἐγένετό μοι εἰς σωτηρίαν

Ποία γλῶσσα, ποῖος νοῦς
ἢ ποῖον στόμα ἀξίως φράσει,
πάγχρυσε, τὰ σὰ
κατορθώματα;
5 διό μου τῆς γλώττης
ἐφαπτόμενος, αὐτὸς
κίνησον πρὸς σὴν αἴνεσιν.

Ἀγαλλίαμα πιστῶν
καὶ εὐφροσύνη παντὸς τοῦ κόσμου
10 γέγονας, σοφὲ
Ἰωάννη, ποιμὴν
ἀεὶ ἐπιστρέφων
ἐκ τῆς πλάνης πρὸς Θεὸν
τὴν ποίμνην σου, μακάριε.

15 Τὸν μὲν κάλαμον τὸν σόν,
τὴν γλῶσσαν, πάτερ, συναποξύνας,

acrostichis: ἀνεδείσω pro ἀνεδύσω habeas
heirm. α' ΕΕ 170, n. 240, Andreae

ἔβαψας αὐτὸν
εἰς τὸ βάθος, σοφέ,
τῶν θείων δογμάτων
f. 29 20 καὶ συνέ‖γραψας ἡμῖν
τῆς τριάδος τὴν σύστασιν.

Ἐμιμήσω ἀληθῶς
τὸν ἐραστήν σου Χριστὸν καὶ πρᾶον
σὺ ἀναλαβὼν
25 τὸ σὸν φρόνημα,
ἠπίως τοῖς πᾶσι⟨ν⟩
ἐνουθέτεις τοὺς πτωχοὺς
ἐναρκεῖν πρὸς τὴν ἔνδειαν.

Ῥήμασί σου εὐσεβεῖς
30 σὺ ἐναπέθου τῇ ἐκκλησίᾳ,
κῆπον νοητόν,
τῶν γραφῶν ἀληθῶς,
σοφέ, διαλύσεις,
ἃς τρυγῶντες γλυκασμοὺς
35 ὑπὲρ μέλι ἡδύνουσιν.

Ὦ παράδεισε τερπνέ,
ὦ θεηρρύτα ποταμέ, πάτερ,
σύ, ὡς ἀληθῶς
ἐξ Ἐδὲμ νοητὸς
40 ἐκβαίνων, χωρίζει
ἀρχαῖς τέσσαρσιν, ἐν αἷς
ποτίζεις κόσμον ἅπαντα.

θεοτ. Ναυτιῶντά με σάλῳ,
τὸν λογισμόν μου, ἁγνὴ Μαρία,
45 εὔδιος λιμὴν
σὺ ὑπάρχουσα,

37 θεηρρύτα (sic) cd.

37-41 Gen. 2,10

εὐχαῖς τοῦ ποιμένος
κατευνάσασα, τῇ σῇ
γαλήνῃ ἐγκαθόρμισον.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

50 Ὄντως μοι
τῆς ψυχῆς τὸν χειμῶνα,
σοφέ, μετέβαλας
εἰς ἔαρ πνευματικόν,
πάτερ Χρυσόστομε.

55 Ὕψωσον
τὴν φωνήν σου, τρισμάκαρ,
πρὸς τὸν τῶν ὅλων Θεόν,
Χρυσόστομε, καὶ δεινῶν
τὴν ποίμνην λύτρωσον.

60 Ῥῦσαί με
τῶν δεινῶν μου πταισμάτων,
πάτερ Χρυσόστομε·
σὲ γὰρ κέκτημαι ἀεὶ
κράτος καὶ καύχημα.

65 Ἅπας σε
γηγενὴς ἀνακράζει,
θεομακάριστε,
πρεσβεύειν ὑπὲρ αὐτῶν,
ὅτι ἰσχύεις πολύ.

70 Νέκρωσον
ταῖς εὐχαῖς σου παντοῖα
πάθη, μακάριε,
χρυσουργῶν ἡμῶν ἀεὶ
ψυχὰς καὶ σώματα.

---

48 καταυνάσασα
heirm. β' EE 168, n. 235, Germani; heirm. integrum tradit 52 μετέβαλας pro μετέβαλες

75 Ἴδε μου
τὴν ταπείνωσιν, πάτερ,
καὶ πρόσχες, ἅγιε,
τὴν κρίσιν μου πρὸς Θεὸν
καὶ ἐξελοῦ με δεινῶν.

80 Ὡς πόλιν σε
ὀχυράν, τειχισμένην,
πίστει προστρέχομεν
οἱ τοῦ θείου σου, σοφέ,
λειψάνου νῦν δουλευταί.

θεοτ. 85 Νοσοῦσάν μου
τὴν ψυχήν, θεοτόκε,
αὐτή με ἴασαι
ταῖς εὐχαῖς τοῦ σοῦ πιστοῦ
λάτρου, ποιμένος σοφοῦ.

ᾠδὴ γ'. *Στερέωσον, κύριε,*
ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου

90 Κατέλαμψας, ὅσιε,
πᾶσαν τὴν πόλιν Ἀντιοχέων
ταῖς λαμπάσι τῶν δογμάτων σου,
ἱεράρχα,
καὶ κατορθωμάτων τοῖς πλήθεσι.

95 Λόγῳ καὶ πράξει, σοφὲ
ἱερομύστα, τὴν ἐκκλησίαν
κατεκόσμησας, μακάριε
Ἰωάννη,
χρύσεον τὸ στόμα κτησάμενος.

100 Ἐν τῇ πηγῇ, ὅσιε,
τῆς σῆς σοφίας πᾶσαν τὴν πλάνην

---

heirm. γ' EE 170, n. 240, Andreae

τῶν ἀνόμων ἐκατέκλυσας,
ἀποστήσας
τῆς φιλαργυρίας τὴν πόλιν σου.

105 Ὁ λόγος σου, ὅσιε,
βροντὴ ἐδείχθη τῇ οἰκουμένῃ
συγκυλίουσα τὰ δόγματα
τῶν ἀνόμων
καὶ τῆς εὐσεβείας κατόρθωμα.

110 Σὺ ἀληθῶς γέγονας
ποιμὴν καὶ μάρτυς τῇ προαιρέσει·
τῇ ἐνστάσει σου γάρ, ὅσιε,
βασιλίδα
ἤλεγξας· διό σε δοξάζομεν.

115 Ἀναβοᾷ σάλπιγγος
ὑψηλοτέρα, ἱερομάκαρ,
ὁ τῆς χήρας ἀφαιρούμενος
ἀμπελῶνα
ἐξοστρακισμὸν τὸν παράνομον.

θεοτ. 120 Νεφέλην σε ἅπαντες,
σκηνὴν καὶ πύλην, θεογεννῆτορ,
ἀνυμνοῦντες, δυσωποῦμέν σε
ἱκεσίαις
σῶσον τοῦ ποιμένος τὸ ποίμνιον.

ᾠδὴ δ'. *Ἀκήκοεν ὁ προφήτης*
τὴν ἔλευσίν σου, κύριε, καὶ ἐφοβήθη

125 Ἐξήνθησας ὥσπερ φοῖνιξ
καὶ ὡσεὶ κέδρος ὑψώθης ἐν τῷ Λιβάνῳ·
ἐν ταῖς διεξόδοις γάρ, μακάριε,

---

113 βασιλίδαν
heirm. δ' EE 170, n. 240, Andreae

---

120 Is. 19,1 121 πύλην Ez. 44,2 125 Ps. 91,13 126 Sir. 24,13
127-130 Ps. 1,3

29v τῶν πνευματικῶν ὑδάτων ‖ σὺ ἀληθῶς,
ἐνθέως, ἀξίως ἐδείχθης
130 πεφυτευμένος,
μακάριε Χρυσόστομε.

Διέσωσας, ἱεράρχα,
ὡς κιβωτὸν τὴν πόλιν σου ἐκ τῶν βαρβάρων·
μόνος γὰρ ἐλήλυθας, μακάριε,
135 ἱκεσίαις ὄντως ἱλεούμενος
τὸν σὸν ἐραστὴν καὶ σωτῆρα
Θεὸν τῶν ὅλων
καὶ τοῦτον ἐμετέστρεψας.

Ἐρχόμενον γὰρ ἰδών σε
140 ὁ λύκος ὁ δεινότατος σὲ τὸν ποιμένα
βακτηρίαν ἔχοντά σε, ὅσιε,
τὸν σταυρόν, μετέβαλε τὸ φρόνημα
καὶ ἔρριψεν αὐτοῦ τὰ ὅπλα,
οἷα πολέμου,
145 καὶ τοῖς ποσί σου ἔδραμεν.

Ἰσάριθμος, ἱεράρχα,
ἀπέλαβες ἐκ κυρίου πνεύματος χύσιν
τῶν σοφῶν καὶ θείων μαθητῶν αὐτοῦ·
οἷς γὰρ διελέγου, πνεῦμα ἅγιον
150 ἐλάμβανον πάντες, τὸν λόγον,
καὶ ἐκ τῆς πλάνης
ἐπέστρεφον, μακάριε.

Σὲ καθορῶν, ἱεράρχα,
ὁ πάλαι ἐκ παραδείσου τὸν κληρονόμον

132-145 SAVILIUS, *Chrysostomi Opera Omnia*, VIII, 329[illegible] ... τῆς πολιτείας ἁπάσης λίαν περιδεοῦς οὔσης καὶ μηδὲ τῶν πρέσβεων τινα [illegible]τείλασθαι πρὸς τὸν ἀποστάτην ἐκεῖνον ἀποτολμώσης..... ὁ γεννάδας τοῦτος καὶ [illegible]λόπαις ὡς ἀληθῶς πατὴρ καὶ φιλόπολις καὶ τῶν Χριστιανῶν ἀήττητος πρόμαχος..... ἔξεισι προθύμως τῆς πόλεως Δαυιδικῶς τῷ νέῳ τούτῳ μονομαχήσων Γολιάθ, [illegible]εραρθέντι πάνυ καὶ κατὰ τῆς Χριστοῦ ἐκκλησίας ὅπλα κινήσαντι..... Καὶ ... ὁ [illegible]ας..... τὴν κατ' εὐθὺ τοῦ τυράννου ἀπτοήτως ἐβάδιζεν. Ὃν ὡς ἤδη πλησίον πρὸς [illegible]ν ἥκοντα ὁ Γαϊνᾶς ἐθεάσατο, ἡττηθεὶς τῆς ἀγγελοειδοῦς ἐκείνης καὶ τιμίας ὄψεως, [illegible] περικείμενα αὐτῷ χρύσεα καταθέμενος ὅπλα, ἅμα τε αὐτὸς προσυπήντα καὶ [illegible] εὐλαβείας προσέπιπτε.....

155 ἐκβαλὼν Ἀδὰμ φθόνῳ τῆς βρώσεως,
τῇ μὲν βασιλίδι, ὡς τῇ Εὔᾳ ποτέ,
ὑπέβαλεν ἔχειν ἐλέγχων
δεινὸν τὸν φθόνον
καὶ κατὰ σοῦ ἐμαίνετο.

θεοτ. 160 Ὦ πόλις τοῦ Θεοῦ ἡμῶν,
τὴν πόλιν ἣν ἐπύργωσας, θεογεννῆτορ,
ἐκ κινδύνων καὶ φθορᾶς διάσωσον
καὶ ἐφόδου τῶν ἐθνῶν, πανύμνητε,
πρεσβεύοντος σὲ τὴν παρθένον
165 ὁ ἱεράρχης
καὶ πάνσοφος Χρυσόστομος.

ᾠδὴ ε'. *Ἐκ νυκτὸς ὀρθρίζοντα, φιλάνθρωπε,*

Πῶς σε μακαρίσωμεν, πανάγιε,
ἔνδοξε, ὅσιε
Ἰωάννη, τοῦ Χριστοῦ
170 ἱερομύστα, πάτερ;
οὐδεὶς γὰρ νοῦς ἐξειπεῖν
ἰσχύσει σου τὰ ἔργα.

Ἀθλητὴν καὶ μάρτυρα καὶ κήρυκα,
ἔνδοξε, λέγοντες,
175 κατ' ἀξίαν οὐδαμῶς
ἰσχύσομεν τοῦ φράσαι·
ἀλλὰ συγγνώμην ἡμῖν
παράσχου, χρυσολόγε.

Τὸν Ἠλίαν, ἅγιε, μιμούμενος,
180 ἔδησας ἔτεσιν
οὐ τρισίν, ἀλλὰ πολλοῖς
φιλαργυρίας ὕδωρ,

---

164 πρεσβεύοντος (sic) cd.
heirm. ε' EE 170, n. 240, Andreae

179-181 III Regn. 17,1

μεταβαλὼν τὴν ῥοὴν
εἰς τὰς πενήτων χεῖρας.

185 <P — — —́ — —́ — — — —́ — —
—́ — — —́ — —
— — —́ — — — —́
— — — —́ — —́ —
— —́ — —́ — — —́
190 — —́ — — — —́ —.>

Ἡπλωμένον, ἔνδοξε, τὸν δράκοντα,
πάνσοφε, ὅλοις μέν,
οἷς ἐβούλευσε τὸ πρὶν
χρυσομανεῖν ὁ ὄφις
195 καὶ ὥσπερ χλεύην αὐτὸν
ἔχοντες διεδίδουν.

θεοτ. Ἄνοιξόν μοι, ἄνοιξον, πανάχραντε
δέσποινα, εἴσοδον
βασιλείας τοῦ Θεοῦ,
200 τοῦ ἐκ σοῦ σαρκωθέντος,
ταῖς τοῦ ποιμένος εὐχαῖς,
τοῦ θείου Χρυσοστόμου.

ᾠδὴ ϛ'. *Ἐβόησα*
ἐν ὅλῃ καρδίᾳ μου
πρὸς τὸν οἰκτίρμονα Θεὸν

Ῥῦσαι λαὸν
καὶ πόλιν σου, παμμάκαρ,
205 ἐκ τῶν κινδύνων, ὡς ἀεὶ
παρεστὼς τῷ θρόνῳ
τῷ θείῳ μετ' ἀγγέλων
καὶ τῆς σῆς αὐλῆς ποίησον ἡμᾶς ἀξίους.

185-190 versi desiderantur 191 Ἡπλωμένον: Ἡ, more hymographorum, litterae I, cuius eundem sonum habet, officium explet 201 ποιμένου
heirm. ϛ' EE 170, n. 240, Andreae

Χαίρων ποτὲ
210 ὁ δράκων ὁ Βελίαρ
τὴν Ἰεζάβελ τὴν αἰσχρὰν
ἀδικίας βέλει
τοξεύει καὶ λαμβάνει
τοῦ Ἰσραηλίτου λοιπὸν τὸν ἀμπελῶνα.

215 Ὡσαύτως δὲ
καὶ ταύτην, ὡς ἐκ ῥάμνου
ἄκανθαν φύσασαν εὑρών,
Εὐδοξίαν, οὕτως
κινεῖ καὶ ἀφαιρεῖται
220 τὸν ἐν τῷ Ἑβδόμῳ ὄντα τὸν ἀμπελῶνα.

Νῦν δὲ λοιπὸν
τῇ θλίψει τρυχομένη
χήρα, ὑπάρχουσα αὐτοῦ
τοῦ ἀφαιρεθέντος
225 ἀμπελῶνος κυρία,
τὸν σοφὸν ποιμένα καλεῖ τοῦ οἰκτειρῆσαι.

Πολλοῖς λοιπὸν
τοῖς λόγοις σου, παμμάκαρ,
τὴν ἀδικήσασαν αὐτῷ

209-214 III Reg. 20,1-16

215-220 SAVILIUS, o.c., 342 7-11... ἦν δὲ τῷ προαστείῳ ἀμπελὼν τοῖς βασιλικοῖς ἀμπελῶσι συνδιακείμενος. Δι' αὐτοῦ τοίνυν ἡ Εὐδοξία παριοῦσα, χερσὶ ταῖς οἰκείαις σταφυλὴν δρεψαμένη κατεδηδόκει. Μαθοῦσα δὲ παρὰ τῶν συμπορευομένων... γυναικὸς τυγχάνειν τὸν ἀμπελῶνα, εὐθέως τοῦτον μὲν τοῖς βασιλικοῖς κελεύει προσκυρωθῆναι, τῇ χήρᾳ δὲ τὴν ὑπὲρ αὐτοῦ καθυπισχνεῖται τιμήν... cfr. PG 47, LXVII § ιε' e PG 114,1156 a

221-226 PG 47, LXVII § ιε': Ἡ δὲ χήρα οὐ κατεδέξατο, ἀλλὰ προσέπεσεν τῷ Ἰωάννῃ, ὅπως ἀποδοθῇ αὐτῇ ὁ ἀμπελὼν αὐτῆς...

227-232 PG 114,1156 b-c: Ὁ μὲν ..... γράφει τῇ βασιλίδι, πρὸς ἔλεον ὅπως εἶχε παρακαλῶν, πατέρων τε εὐσεβείας ὑπομιμνήσκων καὶ φόβου Θεοῦ καὶ τὴν ἔννοιαν αὐτῇ τοῦ φοβεροῦ βήματος ἐμβάλλων εἰς τὴν ψυχήν..... Αὕτη τοιγαροῦν ἡ σκληρά τε καὶ βαρυκάρδιος..... οὐ μόνον οὐκ ἐδυσωπήθη τὰ γράμματα καὶ τοῦ στείλαντος τὸ ἀξίωμα, ἀλλὰ καὶ πολὺ τὸ πικρὸν ἐφάνη κατὰ ψυχὴν ἔχουσα...... cfr. Chrysostomi Epistulam ad Eudoxiam, PG 64,496 b-c

230 ἐκμειλίξας ταύτην,
τὴν νέαν Ἰεζάβελ,
οὐδαμῶς ὑπέκυψέ σου τῇ νουθεσίᾳ.

θεοτ. Ῥῦσαι λαὸν
καὶ πόλιν ἐκ κινδύνων,
235 μήτηρ τοῦ πάντων λυτρωτοῦ,
καὶ τῆς βασιλείας
μετόχους τοῦ υἱοῦ σου
καταξίωσον ταῖς εὐχαῖς τοῦ Χρυσοστόμου.

f. 30 ‖ ᾠδὴ ζ'. *Ἡμάρτομεν,*
ἠνομήσαμεν

Ὅτε λοιπὸν
240 τὴν ἀναίσχυντον
ἐκαθεῖδες, Χρυσόστομε πάτερ,
ὄφεως πονηροῦ συνεργίᾳ,
ἀνεκήρυξας
καὶ ταύτῃ προσέφησας·
245 « ἀπόδος τὸν ἀμπελῶνα
τῇ χήρᾳ, μήπως
ὡς Ἰεζάβελ κριθῇς ».

Φωνήσασα
ἡ ἀπευκταία
250 τοὺς προστάτας, δεινοὺς παραστάτας,

---

heirm. ζ' EE 171, n. 240, Andreae

245-247 PG 114,1157 a: Ἀπόδος οὖν, ἔφη, τῇ γυναικὶ τὸ ἴδιον. Τί γὰρ καὶ τῇ Ἀχαὰβ γυναικὶ ὁμοιοῦν σεαυτὴν ἐσπούδασας; cfr. SAVILIUS, o.c., 343 26-28

248-253 PG 47, LXVII § ιε': ... κελεύει τοῖς δορυφόροις αὐτῆς κλεῖσαι τὰς θύρας ἔμπροσθεν Ἰωάννου, ὅπως μὴ εἰσέλθῃ καὶ λαλήσῃ αὐτῇ.

246-247 III Regn. 20,23

τοῦτον συναπωθήσαντες ὤμοις
ἐκατέπληττον
τὸν μέγαν Χρυσόστομον·
ἀλλὰ πάντα ὑπέφερες,
255 μακάριε,
διὰ τὸν σὸν ἐραστήν.

Ἦλθέ ποτε
ἡ βασίλισσα
ἡ μαχήσασα τὸν θεοφόρον
260 ἐν τῇ τοῦ βασιλέως καὶ Θεοῦ
ἐκκλησίᾳ τε
καὶ θύρας οὐκ ἔασε
τῆς θείας λειτουργίας,
ὡς ἔθος ἐστίν,
265 ἀλλὰ ἀπείργησε.

Τὸ σύμβολον
ἐκτελέσαντες
καὶ τὴν ἅπασαν μυσταγωγίαν,
ἦλθεν ὡς ἀναιδὴς τῷ προσώπῳ
270 καὶ τὴν γύμνωσιν
τῇ κάρᾳ προσέπηξεν,
ἀλλ᾽ αὐτός, παμμακάριστε,
πραείᾳ φωνῇ
ταύτην ἐστόλισας.

275 Ὢ, ποταπὴ
τότε γέγονεν
ἡ μαινὰς αὕτη, ἡ Εὐδοξία,
ὅτε μὲν τὸ παλλίον ὁ μέγας
καὶ Χρυσόστομος
280 ἐκ τῶν μεταφρένων αὐτῆς

257-265 SAVILIUS o.c., 343^{35}-344^{3}: Οὕτω τῶν βασιλείων ἄπρακτος ὁ μέγας ἐξεληλυθὼς καὶ τῷ πατριαρχείῳ ἐπαναστρέψας, τοὺς ἐπὶ τῶν θυρῶν τεταγμένους προσκαλεσάμενος παραγγέλει αὐτοῖς τῇ Εὐδοξίᾳ παραγενομένῃ μὴ συγχωρῆσαι τὴν εἴσοδον. Μικρὸν τὸ ἐν μέσῳ... Εὐδοξία καὶ αὐτὴ σὺν ἅπασιν ἐπεφοίτα... Ὡς δὲ ταῖς πύλαις προσήγγισεν ἄνωθεν διὰ τῶν ὑπερῴων εἰσελθεῖν βουλομένη, εὐθὺς κατέναντι ταύτης τὰς θύρας ἀπέκλεισεν. cfr. PG 114, 1157[a].

ἀναλαβὼν ἐσκέπασε,
φωνῇ πραείᾳ
ταῦτα εἰπὼν πρὸς αὐτήν.

« Νόει, τέκνον,
285 τίνι προσῆλθες,
τίνι ἕστηκας μεταλαβοῦσα·
εἰ μὲν ἐμοὶ τῷ πένητι ἧκες,
οὐδὲ οὕτως σε
ἔδει ταῦτα οὕτως ποιεῖν·
290 ἀλλὰ τῷ βασιλεῖ τῶν αἰώνων
προσῆλθες· λοιπὸν
φόβῳ καλύπτου σαυτήν ».

θεοτ. Ἀπόρθητον
σὲ προσφύγιον,
295 θεονύμφευτε μήτηρ ἁγία,
πάντες οἱ ἐπὶ σὲ προσιόντες
ἐξαιτούμεθα·
κινδύνων καὶ θλίψεων
πάντας ἡμᾶς ῥυσθῆναι
300 λιτάζου Χριστὸν
σὺν τῷ ποιμένι, σεμνή.

ᾠδὴ η΄. *Ὃν στρατιαὶ οὐρανῶν δοξάζουσι*

Πάντα πληρῶν,
ἱεράρχα ἅγιε,
τὸν βασιλέα Θεὸν
305 ἔσπευδες λοιπὸν
τοῦ ἀποθεραπεύειν·
ἡ δὲ καὶ μαινομένη
ἐν τῇ ἐξορίᾳ
προσέταξέ σε ἐξιέναι.

---

heirm. η΄ EE 171, n. 240, Andreae 286 μεταβαλοῦσα

310 Ὅτε λοιπὸν
ἐξορίζου, ἅγιε,
τὸ πῦρ τὸ ἐξ οὐρανοῦ
ἄραν τὴν δεκτὴν
Ἄβελ θυσίαν, πάτερ,
315 ἐξελθὸν ἀοράτως,
ἔλαβε τῶν νώτων
καὶ ταύτην καῦσαν, συνεξῆλθεν.

Στέλλει δέ σοι
ὁρισμῷ πορεύεσθαι
320 τετάρτην καταλαβεῖν
τὴν Ἀρμενίαν
— αὕτη γὰρ καὶ καλεῖται
ἡ Κουκουσὸς — καὶ φθάσας
οἶκον Ἀρμενίου,
325 ἐν τῇ Κομάνῃ ἐκοιμήθης.

Τὴν σὴν ὁ σὸς
στεφανίτης κύριος
προφανερῶν βιοτὴν.
τῆς ἐκδημίας,
330 μάρτυς ὁ Βασιλίσκος
κατ' ὄναρ σοι προσλέγει·
« δεῦρο, Ἰωάννη,
καὶ σὺν ἐμοὶ στέφος κομίζου ».

316 νόων

310-317 SAVILIUS, o.c., 356 36-41: Καθ' ἣν δὲ ἡμέραν ὁ τῶν πιστῶν ἥλιος ὑπεροριζόμενος ἀπ' αὐτῶν ἔδυ, πῦρ θεῖον ἀπὸ μέσου τοῦ θρόνου, ἐν ᾧ καθήμενος ταῖς ἱεραῖς διδασκαλίαις τοὺς ἀκούοντας κατεπύρσευεν, ἐξ οὐδεμιᾶς ἀνθρωπίνης αἰτίας αὐτόματον ἀναφθέν, καὶ εἰς ὕψος διὰ τῶν ἁλύσεων, ὄφεως τρόπον, ἕρψαν καὶ τὴν στέγην διαφαγόν, ἐπὶ νῶτον ἐκτετίνακτο τοῦ πατριαρχείου. Ἐντεῦθεν ἐπὶ τὸν βασιλικὸν οἶκον τῆς συγκλήτου γερουσίας ..... διαδραμόν, εἰς τέλος τοῦτον κατελυμήνατο .... cfr. PG 47, LXXVI § κγ'; PG 107,285 c; PG 114,1185 d

330-333 SAVILIUS, o.c., 363 1-4: Ὁ δὲ Βασιλίσκος..., ἐπίσκοπος μὲν τῶν αὐτῶν ἐγένετο Κομάνων, ἐν Νικομηδείᾳ δὲ κατὰ τοῦ Μαξιμιανοῦ μαρτυρήσας καιρούς, ... ὄναρ ἐπιστὰς τῷ ἁγίῳ, « θάρσει, εἶπεν, ἀδελφέ, καὶ χαῖρε καὶ ἀγαλλία· αὔριον γὰρ ἅμα ἐσόμεθα ». cfr. Synax. Eccl. CP., (Selecta) 425 47-48; PG 114, 1208 b-c

312-314 Gen. 4,4

Ὁ οὐρανὸς
335 μετεκλήθη καὶ ἡγεῖ
τὴν ψυχήν σου, ἀθλητά,
ἅγιε πάτερ,
ταύτην ὑπὸ ἀγγέλων
χαρᾷ ἀνεκλαλήτῳ·
340 σὴ δὲ ποίμνη πᾶσα
οὐκ ἐσιώπα θρηνῳδοῦσα.

Λαοί σε δὲ
τῆς ποίμνης σου, ἔνδοξε,
ὡς πρόβατα στεναγμῷ
345 σὲ ἐπεζήτουν,
τὸν διδάσκαλον παῖδες,
γυναῖκες τὸν νυμφίον,
πένητες τὸν πλοῦτον,
ἡ ἐκκλησία δὲ τὸν ἡγεμόνα.

350 Ὡς οὐ πολὺς
χρόνος ἐπαρέδραμεν,
ἐξέψυξε καὶ ἡ σὲ
ἄνομος μαινὰς
μαίνουσα Εὐδοξία,
355 τὸ ταύτης δὲ μνημεῖον
ὅλον ἐκλονεῖτο
ἀλάλητα καταβοῶντα.

Νέος λοιπὸν
ὁ αὐτῆς παῖς δέχεται
360 τοῦ Βυζαντίου κρατεῖν

335 μετεβλήθη 357 καταβοῶντα pro καταβοῶν habeas

350-354 SAVILIUS, o.c., 368 37-44: Αἱμορίας γὰρ ἡ δύστηνος περιπεσοῦσα συμφορᾷ... μετ' οἰμωγῆς ἀφάτου καὶ ὀδύνης ἐξέψυξε...

355-357 SAVILIUS, o.c., 369 1-2: Καὶ ἴσασι πάντες... τὸν κλόνον ἐκεῖνον καὶ τὸν φρικτὸν συσσεισμὸν ἐπὶ τριάκοντα καὶ τρισὶ τερατουργούμενον ἔτεσι...

358-365 Synax. Eccl. CP., (Selecta) 428: ... Θεοδοσίου υἱοῦ Ἀρκαδίου τὴν βασιλείαν ὑποζωσαμένου ἀνακομίζεται... τὸ σῶμα τοῦ παμμάκαρος Ἰωάννου... cfr. SAVILIUS, o.c., 369 5-10

τὸ ἀνακτορεῖν,
γίνεται δὲ οἰκέτης·
ἀντὶ τῆς κυησάσης
πέμπει καὶ κομίζει
365 τὸ λείψανόν σου, ἱεράρχα.

Δεῦρο λοιπόν,
ὁ λαὸς τοῦ κυρίου,
ἀκούσατε ἀψευδὲς
θαῦμα καὶ φρικτόν·
f. 30v 370 πλεί||ους γὰρ χρόνοι ἦσαν
τριάκοντα, ἐλθόντα
λείψανον τοῦ ποιμένος
ἐπὶ τὸν τόπον Ρουφινιάναις.

Ὡς δὲ αὐτὸν
375 ἀκατίῳ ἔβαλον
περάσαι καὶ εἰσελθεῖν
πόλεως ἔνδον,
ἄφνω μένει ὁλκάδα
ἀποπλεύσασα μόνη,*
380 ἦλθεν ἐν τῷ τόπῳ,
ὁ ἀμπελὼν ἐν ᾧ ὑπῆρχεν.

Δεικνύων οὖν
ταῦτα, ὦ Χρυσόστομε,
ὡς Ἰωάννης ἡμῖν
385 ἄλλος Βαπτιστής,
σὺ καὶ μετὰ τοῦ τέλους
βασίλισσαν ἐλέγχων·

---

370 πλείοις γὰρ χρόνοις 371 ἐλθόντα pro ἐλθὸν 382-387 periodus sententia prima caret

---

374-387 SAVILIUS o.c., 370[11]: Τότε γάρ τις αἰφνίδιον καταιγὶς καὶ ζάλη σφοδρὰ καὶ πᾶσιν ἀθρόως ἐπιπεσοῦσα, ἄλλοθεν ἄλλο τῶν πλοίων, ὡς εἶχε φορᾶς, κατὰ τὸ ἄστυ διήλαυνεν, ἐκείνου μόνου ταῖς τῶν πνευμάτων βίαις οὐκ εἴξαντος... Ὃ καὶ κύμασι καὶ πνοαῖς ἀντιβαῖνον ὑπὲρ λόγον ἐφέρετο καὶ τὸ τῆς ὁρμῆς τέλος ἀμπελὼν ὁ τῆς χήρας, καθ' ὃν... προσετάκη τῇ χέρσῳ, ἔργῳ τῆς πάλαι ἀδικίας καταβοῶν... cfr. K. DIOBOUNIOTIS, *Laudatio a Cosma Vestitore*, in ΕΕΒΣ 22 (1925) 25

ὁ βασιλεὺς ὅθεν
ἐλθών, πιστῶς σε προσεκύνει.

390 Ἐπὶ τῶν δύο
νώτων ἐβάστασε
σέ, ὥσπερ κρίνον, ἰδών,
ῥόδον τοῦ Θεοῦ,
φέρων τῶν Ἀποστόλων
395 ἐπὶ τὸν θεῖον δόμον·
ὅθεν σε καθίσας
ἐπὶ τοῦ θρόνου ἱλεοῦτο.

Καταλαβὼν
καὶ καθήσας ἔνθρονος,
400 ὡς ἀληθῶς ἐμμελεῖς
ὄντως οἰκετῶν
ἐδέξω τὰς δεήσεις
καὶ ἀναστάς, σφραγίσας,
πᾶσι τὴν εἰρήνην
405 παρέσχες, πάτερ ἱεράρχα.

Αὖθις αὐτὸς
ὁ πιστὸς μὲν βασιλεὺς
λαβὼν ἐπ' ὤμοις αὐτόν,
ἔδραμεν εὐθὺς
410 ἐπὶ τὸν ἀστατοῦντα
τύμβον τῆς βασιλίσσης·
τούτῳ δὲ προσψαύσας,
ἑδραίωσεν· ὢ ξένον θαῦμα!

θεοτ. Ἱκέτευε
415 τῷ κυρίῳ, ἄχραντε
παρθένε, μήτηρ Θεοῦ,
σῶσαι τὸν λαὸν

390-405 Synax. Eccl. CP., (Selecta) 428[33-35]: Ἔπειτα βασιλικῷ ὀχήματι ἡ τιμία σορὸς ἐποχουμένη πρὸς τὸν περιώνυμον φέρεται τῶν ἀποστόλων ναόν, ἔνθα δὴ καὶ καταλαβόντες ὁ μὲν ἅγιος εἰς τὴν ἱερὰν καθέδραν ἀνενεχθεὶς καὶ τῷ θείῳ θρόνῳ ἐνιδρυθεὶς καὶ μυστικῶς τὰ μεμυκότα χείλη κινήσας καὶ εἰρήνην ἐπειπὼν τῷ ποιμνίῳ τῇ ἑτοιμασθείσῃ σορῷ ἐναπετέθη ... cfr. SAVILIUS, o.c., 370[39]-371[1-4]

πίστει τὸν ἐκτελοῦντα
τὴν μνήμην τοῦ ποιμένος,
420 πάσης ἐκκαθαίρων
τῆς θλίψεως καὶ τῶν κινδύνων.

ᾠδὴ θ'. *Ἀσπόρου συλλήψεως*
ὁ τόκος ἀνερμήνευτος

Συνδράμετε ἅπαντες
καὶ δεῦτε κατοπτεύσωμεν
τὸν ἱερέα,
425 τὸ μέγα κειμήλιον
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν,
τὸν θεῖον Ἰωάννην
καὶ ὥσπερ ζῶντα αὐτὸν ἀεὶ
στερνισάμενοι ἐν πίστει,
430 προσκυνοῦντες ἀσπασώμεθα.

Ἀνάλαμψον, ἡ πόλις,
καὶ χόρευε, βασίλεια·
ἡ ἐκκλησία
Χριστοῦ γὰρ ἀπέλαβεν
435 ὃν καὶ ἐμνηστεύσατο
ποιμαίνειν ἐν εἰρήνῃ
τὸν περιούσιον λαόν,
τὸ βασίλειον καὶ μέγα
ἱεράτευμα πιστοῦ σου πατρός.

440 Ῥανάτωσαν τὰ ὄρη
εὐφροσύνην, ὡς γέγραπται,
καὶ οἱ βουνοὶ δὲ
τὸ γάλα ῥυήτωσαν·
ἠλέησε κύριος
445 τὸν λαόν, ἀποδώσας

---

heirm. θ' ΕΕ 171, n. 240, Andreae

440-441 Is. 49,13 442 Il. 4,18

τὸν μετὰ χρόνον τῆς αὐτοῦ
θείας ποίμνης ἐκβληθέντα,
Ἰωάννην τὸν Χρυσόστομον.

Ἱκέτευε, ὅσιε,
450 ὡς παρρησίαν νῦν τυχὼν
μετὰ ἀγγέλων
τῷ θρόνῳ παρίστασθαι,
ῥυσθῆναι τοὺς δούλους σου
τοὺς πόθῳ ἐκτελοῦντας
455 τὴν ἀξιέπαινον, σοφέ,
τοῦ λειψάνου σου καὶ θείαν
ἀνακόμισιν, Χρυσόστομε.

Θαυμάσατε ἅπαντες
οἱ καθορῶντες ἔνδοξα
460 ὄντως καὶ θεῖα
μυστήρια! πῶς ἐστιν
ὁ πάλαι ἐν κυρίῳ
κοιμηθεὶς ἐν εἰρήνῃ;
πῶς ἄρτι ζῶν καὶ ὡς φαιδρὸν
465 ῥόδον οὕτως καθορᾶται
ὁ μακάριος Χρυσόστομος;

Μεγάλα τὰ ἔργα σου
καὶ θαυμαστά, μακρόθυμε
σωτὴρ τοῦ κόσμου,
470 ὅτι καὶ θανούμενοι,
ὡς ζῶντες εὐφραίνονται
καὶ βρύουν τὰς ἰάσεις,
ὥσπερ ὁ μέγας σου ποιμὴν
Ἰωάννης, οὗ πρεσβείαις
475 σῶσον πάντας ὡς φιλάνθρωπος.

Ὁ κόσμος εὐφραίνεται,
τῶν οὐρανῶν τὰ τάγματα,
ἀμφότεροι δὲ

---

474 Ἰωάννου

χορείας ποιούμενοι,
480 οἱ ἄγγελοι ἅμα δὲ
ἀνθρώπων ὁμηγύρεις,
σὲ τὸν πατέρα καὶ Θεὸν
ἀνυμνοῦσι, τὸν ποιμένα
εἰσδεχθέντες, τὸν Χρυσόστομον.

θεοτ. 485 Σὺ μόνη εἶ γέφυρα
ἡ ἀπλανῶς ἀπάγουσα,
θεογεννῆτορ,
πρὸς Θεὸν τοὺς πόθῳ σοι
πιστῶς καταφεύγοντας·
f. 31 490 ‖ διὸ κἀμοί, Μαρία,
ἀεὶ συμμάχου κατ' ἐχθρῶν
νικητὴν ἀναδειχθῆναι
Χρυσοστόμου ταῖς ἐντεύξεσι.

---

489 καταφεύοντας

IN TRANSLATIONEM RELIQUIARUM S. JOANNIS CHRYSOSTOMI

Paris. Suppl. gr. 32 = Sa, ff. 193-194
Paris. gr. 1615 = Pn, ff. 332-343v

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

Ἐδόθη τοῖς πέρασιν ἀληθὴς
διδάσκαλος πνέων
τὴν ἀλήθειαν καὶ σαφῶς
τὸν λόγον τοῖς πᾶσι διανέμων
5 καὶ πρὸς ζωὴν ὁδηγῶν τὴν αἰώνιον.

Ἐμάνησαν γλῶσσαι τὰς ἑαυτῶν
ἐσθίουσαι σάρκας,
τὸν ἀπρόσιτον ἀρετῇ
ὀνείδεσι βάλλουσαι καὶ μώμοις·
10 ἀλλ' ἀντεστράφη τὰ βέλη τοῖς πέμπουσιν.

Ἐπάνοδον σώματος ἱεροῦ,
ὑπὲρ ἀληθείας
ὑπερόριον βιοτὴν
καὶ τέλος ἀείμνηστον εὑρόντος,
15 τοῦ Χρυσοστόμου πιστῶς ἑορτάζομεν.

θεοτ. Τοῦ βίου προστάτιν σε ἀσφαλῆ,
ἐλπίδων τε πέρας

Εἰς τὸν ὄρθρον κανόνες... τῶν ἁγίων καὶ τοῦ χρυσοστόμου Pn
heirm. α' EE 220, n. 315, Joannis 1 Ἐδόθης Pn 3 ἀληθείαν Sa
11-15 aliud troparium Pn profert, vide p. 508 14 εὑρόντες Sa 16 προστάτην Sa σε] τε Pn 17 ἐλπίδαν Pn

κατευθύνουσαν τὴν ἐμὴν
πορείαν ἀπρόσκοπον, παρθένε,
20 ἐν διαθέσει ψυχῆς ἐπιγράφομαι.

ᾠδὴ γʹ. *Οὐρανίας ἁψῖδος*

Οὐρανίων ἁψίδων
καὶ τῆς ἐκεῖ λήξεως
ἀντὶ τῶν ἐνταῦθά σου πόνων,
ὧν ἐκαρτέρησας
25 φθόνῳ μαχόμενος
ἐλευθερίᾳ σῆς γλώσσης,
ὁ Χριστὸς ἠξίωσε,
μάκαρ Χρυσόστομε.

Ἡ σοφή σου καρδία
30 καὶ τὸ γλυκύ, πάντιμε,
τῆς δημηγορίας καὶ ὄντως
πᾶσιν ἁπτόμενον
ψυχῆς, ἀνέπεισε
καταφρονεῖν τῶν ἐν βίῳ
35 καὶ πρὸς ἓν ἐπείγεσθαι,
τὰ ἐπουράνια.

Τὸ τοῦ Παύλου τοῦ θείου
περιφανῶς βλέπομεν·
καὶ συνασθενεῖς ἀσθενοῦσιν
40 καὶ κινδυνεύουσι,
μάκαρ Χρυσόστομε,
συγκινδυνεύεις προθύμως·
διὰ τοῦτο πίστει σε
νῦν μακαρίζομεν.

θεοτ. 45 Ἡ ἐμὴ προστασία
καὶ τὸ ἐμὸν καύχημα

---

18 κατευθύνουσα Pn 20 ἐπιγράφομεν Pn
heirm. γʹ EE 220, n. 315, Joannis 29-36 troparium om. Pn 35 ἐπείγεισθαι Sa

---

37-39 II Cor. 11,29

σὺ εἶ, θεοτόκε παρθένε,
καὶ οὐκ ἐκστήσομαι
τῆς σῆς χρηστότητος
50 καὶ τοῦ ἐλέους οὐδόλως,
ἀλλ' ἐν σοὶ σωθήσομαι
πάσης κακώσεως.

Κάθισμα.

Ἦχος αʹ. *Τὸν τάφον σου, σωτήρ,*

Δογμάτων ἀστραπαῖς
....

ᾠδὴ δʹ. *Ἐπέβης ἐφ' ἵππους*

Ἀμίμητε λόγοις,
θαυμασιώτερε πράξεσι,
55 ταῖς πρεσβείαις ἁγίαις ἐνάγεις ἡμᾶς
πρὸς πολιτείας θείας κατάστασιν, ψάλλοντας
ἐπιγνώμονι λόγῳ·
« δόξα τῇ δυνάμει σου, κύριε ».

Γλυκύστομε ῥῆτορ,
60 ἐπαγωγὲ πρὸς εὐπείθειαν,
ἡ γλυκύτης τῶν λόγων σου πείθει με,
ταῖς ἡδοναῖς εἰπόντα χαίρειν, βοᾶν μετ' ἐκπλήξεως
τῷ δεσπότῃ τῶν ὅλων·
« δόξα τῇ δυνάμει σου, κύριε ».

65 Ἐδόθη σοι χύμα
καρδίας νοῦς ἀνεξάντλητος
καὶ πηγὴ ἁλλομένου ἐξ ὕδατος

---

51 σωθήσομαι] ῥυσθήσομαι Pn κάθ. MR III, 387; aliud κάθ. in Pn, vide p. 509
heirm. δʹ EE 221, n. 316, Joannis 53-58 troparium deest in Pn 57 ἐπιγνώμον Sa 58.64 post δόξα laus detruncatur in Sa 59 Γλυκύστομε] Ἡλυκόστομε Pn 65-70 troparium om. Pn

τοῦ ἐνεργοῦντος πνεύματος ἐν σοί, μακάριε,
εἰς κοινὴν σωτηρίαν,
70 ὃ διηνεκῶς ἀρυόμεθα.

θεοτ. Ἡ κτίσις ὑμνεῖ σου
τὴν ἀπειρόγαμον σύλληψιν,
ὡς ἀσπόρως κυήσασαν ὁρῶσά σε
τὸν ἐκ χοὸς τὸν πρῶτον βροτὸν διαπλάσαντα
75 καὶ συμφώνως βοᾷ σοι·
« δόξα τῇ κυήσει σου, πάναγνε ».

ᾠδὴ ε′. *Τὸν ζόφον τῆς ψυχῆς μου*

Ἐρρέτω πᾶσα δόξα,
ὁ φιλότιμος ὄγκος οἰχέσθω μοι,
τῶν ἐν τῷ βίῳ ἡδέων
80 ὁ ἔρως ἀπαρνείσθω·
ἐμὸς γὰρ ἔρως ἐστὶ
τοῦ Χρυσοστόμου τὴν χάριν
κροτεῖν ἀγαλλόμενος.

Συνέλθετέ μοι πᾶσαι
85 τῶν πιστῶν αἱ χορεῖαι ἐν χάριτι·
ἐθέλω πάντας χορεύειν
καὶ χαίρειν καὶ πρὸς ὕμνους
ἐγηγερμένους ὁρμᾶν·
κατεμπιπρᾷ μου τὰς φρένας
90 ὁ θεῖος Χρυσόστομος.

Ἀπέραντος ἡ δόξα
f. 193v τοῦ σοφοῦ Χρυσο‖στόμου, Χριστὲ ὁ Θεός,
ὅτι καὶ πόνοις ἀπείροις
καὶ κόποις ἀνενδότοις

73 κύουσαν Pn 74 τὸν om. Sa βροτὸν] ἀδὰμ Pn 75 βοᾷ σοι] βοῶσα Pn 76 δόξα τῇ δυνάμει σου κύριε Pn
heirm. ε′ EE 228, n. 327, Andreae 77 Ἐρρήτω Sa Ἡρρέτω Pn 84 Συνέλθατε Sa ‿μου Pn 87 post χαίρεν om. καὶ Pn 88 ὁρμᾶν] ὁρῶν Pn 89 καταπιμπρᾶ Pn

95 καὶ ἐξορίαις συχναῖς
ἀνταλλαξάμενος ταύτην,
εὐκαίρως ἐκτήσατο.

θεοτ. Παρθένε παναγία,
δίδου μοι χεῖρα συνήθως τῷ δούλῳ σου
100 διευθετοῦσα τὰς τρίβους,
συντρίβουσα τὰ σκῶλα,
τὴν ἄνωθέν μου ῥοπὴν
σὺ χορηγοῦσα καὶ βίον
δεικνῦσα θεάρεστον.

ᾠδὴ ϛ′. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

105 Τὴν δέησιν τὴν ἐμήν, Χρυσόστομε,
ταύτην ἴσθι διαθέσει καρδίας
ἐπιτελεῖν
τὰς σεπτὰς ἑορτάς σου
καὶ εὐφροσύνης ὑπόθεσιν ἔχειν με
110 τὸ ὄνομα τὸ θαυμαστόν,
τὸ τριπόθητον χρῆμα τὸ τίμιον.

Χρυσόστομε καὶ χρυσὲ τὴν καρδίαν
καὶ τὸ ὅλον χρυσαυγίζουσα φύσις
καὶ τῶν ἠθῶν
115 τὸ σεμνὸν ἐκμαγεῖον
καὶ τῆς γλυκύτητος ὅλον σου πεῖθει με·
μετάδος καὶ τρόπους καὶ σοφῶν
διδαγμάτων τοῖς σὲ μακαρίζουσιν.

Ἐπάνοδον ἱερὰν ἐκτελοῦντες
120 ἐπανέλθωμεν πρὸς ὕψος ἐνθέου
ἐπαγωγῆς,
τοῦ σοφοῦ διδασκάλου

99 μοι om. Pn 101 σκῶλα] κῶλα Pn 102 τὴν om. Pn 103 σύ] καὶ Sa
heirm. ϛ′ EE 219, n. 314, Joannis 110 τὸ ὄνομα] σὺν ὄνομα Pn 112-118 aliud troparium Pn tradit, vide p. 510 116 ὅλος cd. 117 μετάδους Sa 119-125 troparium desideratur in Pn

ἐκμελετῶντες τὰ θεῖα διδάγματα·
ἀπόδειξις γὰρ ἐναργὴς
125 μαθητῶν συνιέντων τὰ πράγματα.

θεοτ. Πῶς ἔτεκες ἀπειράνδρως, παρθένε;
τίς ὁ τρόπος τῆς καινῆς σου λοχείας;
Θεός ἐστιν
ὁ τεχθεὶς καὶ ζητεῖσθαι
130 τὰ τοῖς ἀνθρώποις ληπτὰ ἀκατάλληλον·
ὁ κύριος γὰρ τοῦ παντὸς
καὶ τοὺς νόμους καινίζει τῆς φύσεως.

Κοντάκιον.

Ἦχος α'. *Χορὸς ἀγγελικὸς*

Εὐφράνθη μυστικῶς
....

Ὁ οἶκος. ⟨*Τὸ φοβερόν σου κριτήριον*⟩

Ἡ λαμπὰς ἡ τῶν ἔργων μου
....

ᾠδὴ ζ'. *Παῖδες Ἑβραίων ἐν καμίνῳ*

Ὅσοι τὸν μέγαν ἱεράρχην,
τὸν Χρυσόστομον, διδάσκαλον αὐχεῖτε,
135 συνελθόντες λαμπρὰν
συστήσασθε χορείαν
καὶ μελῳδοῦντες λέγετε·
« ὁ Θεός, εὐλογητὸς εἶ ».

---

126 πῶς] Ὡς Pn
κοντάκ. et οἶκ. MR III,391; οἶκ. om. Pn
heirm. ζ' EE 220, n. 315, Joannis 136 συστήσατε Pn 137 λέγετε] ψάλλετε Pn

Ἤθελον, μόνε χρυσολόγε,
140 ἑορτῆς παρεστηκυίας ἐπανόδου,
ἐν ᾗ σώματος χοῦς
ἐδόθη τοῖς ποθοῦσιν,
τῶν χοϊκῶν ἐκρύσασθαι
καὶ χορεύειν σὺν ἀγγέλοις.

145 Ἔρως δισσὸς ὁ πυρπολῶν με,
τίνι δώσω τὴν ῥοπὴν ἐξαποροῦμαι,
ἀποστόλων σεπτῶν
ἀστεῖα κατοικία,
καὶ ὁ χρυσὸς ἐν δόγμασι
150 τῷ λειψάνῳ κατευφραίνει.

θεοτ. Ἔχε με δοῦλον ἐξ εὐνοίας
σοὶ δουλούμενον καὶ δίδου σωτηρίαν,
ἵνα χαίρων κροτῶ
καὶ μέλπω σοι, παρθένε·
155 « εὐλογημένος, πάναγνε,
ὁ καρπὸς τῆς κοιλίας σου ».

f. 194 ‖ ᾠδὴ η'. *Ὁ στενάζων ἐν ὕδασι*

Ἐπεφάνη σωτήριος
ἡμέρα πᾶσιν ἡμῖν,
οἷς ὁ χρόνος αὔξει
160 τὴν προθυμίαν
καὶ συνέλευσιν
οὐ τροπὴν πέφευγεν
ἐμποιεῖν, οὐχὶ κόρον, ἀλλὰ μᾶλλον
ἕλκει καὶ συνάπτει
165 ἡ τοῦ Χρυσοστόμου τοῦ μακαριωτάτου.

---

139 Ἤθελον λόγε χρυσολόγου Sa 143 ἐκρήγνυσθαι Pn 144 χορεύεις Sa
145-150 tropario caret Pn 152 σοὶ δουλούμενον] συνδουλούμενον Sa 156 post καρπὸς cetera om. Sa ode η' in Sa omnino dissimilis est illius odes canonis qui traditur in Pn
heirm. η' EE 228, n. 327, Andreae heirm. Ὁ om. Sa

155-156 Luc. 1,42-43

Τὴν ῥοπὴν τῆς καρδίας μου
αὐτὸς γινώσκεις, σοφέ,
τῆς ψυχῆς τὴν φλόγα,
τὴν ἐκπυροῦσαν
170 τὰς αἰσθήσεις μου
πρὸς τὸν σὸν ἔπαινον,
πρὸς τὴν σὴν εὐφημίαν, θεοφόρε·
ἄξια τὰ γέρα
τῶν ἐλπιζομένων ἡμῖν ἀποδοθείη.

175 Οἱ τὴν σὴν νῦν ἐπάνοδον
περικροτοῦντες ἡμεῖς
καὶ ταῖς σαῖς πρεσβείαις
περιλαμφθῆναι
καὶ τυχεῖν ἀγαθῶν
180 πάντες αἰτούμεθα·
ἀλλὰ δίδου τὰς χάριτας ἀφθόνως
ἔχων παρρησίαν,
ὡς ἡγιασμένος ὅλος καὶ θεοφόρος.

θεοτ. Ὁ τοῦ γένους κηδόμενος
185 τοῦ τῶν ἀνθρώπων Θεός,
κενωθεὶς δι' οἶκτον
ἐν τῇ παρθένῳ
καὶ πατὴρ καὶ υἱὸς
ταύτης γενόμενος,
190 τὸ σαθρόν τε καὶ χαῦνον τῆς οὐσίας
ἔδειξε καὶ θεῖον
καὶ τῆς εὐσεβείας τῆς πρὶν ἠξιωμένης.

ᾠδὴ θ'. *Ἔφριξε*
πᾶσα ἀκοή

Ἔφριξε
πᾶσα ἀκοή,
195 ὅτι γλῶσσαι πονηραὶ καὶ παράνομοι

---

oden θ' Pn diversam ac Sa tradit
heirm. θ' EE 222, n. 317, Joannis

μηδὲν ἐχόμενον
θεοσεβείας ἐκμελετήσασαι
ἀλλ' ἢ βασκαίνειν τοῖς καλοῖς,
τὸν λύχνον τὸν φαίνοντα
200 τῆς διακρίσεως
ἐν ἀφρόνων ὀφθαλμοῖς σβέσαι ἔδοξαν.

Ἔπρεπε
θλίψεσι πολλαῖς
ὑπερόριον γενόμενον πλείονος
205 καὶ διαμένοντα
καρποὺς εὐκλείας κληρονομῆσαί σε·
οὕτω τιμᾷ τοὺς ἀληθεῖς
θεράποντας κύριος,
διὰ τῶν θλίψεων
210 προξενῶν τὴν αἰωνίαν ἀνάπαυσιν.

Ἤγγικεν
χρόνος ὁ καλὸς
τὴν δι' ἔτους ποθουμένην μοι σήμερον
σεπτὴν ἐπάνοδον
215 πανηγυρίζειν με προτρεπόμενος
καὶ χαίρω κάθαρσιν ψυχῆς
αὐτὴν λογιζόμενος
καὶ πρὸς διάχυσιν
καὶ σαρκὸς ἐκ τῆς χαρᾶς περιτρέπομαι.

θεοτ. 220 Ἔσο μοι,
κόρη, βοηθὸς
